This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

## Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.
+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.
+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.
+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

## About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at http://books.google.com/

BIB. COLL.
PICTAV. S. J.

Digitized by Google

Digitized by Google

Digitized by Google

X 216/5

Digitized by Google

Digitized by Google

# ANTHOLOGIA GRAECA

AD FIDEM

CODICIS OLIM PALATINI NUNC PARISINI

EX APOGRAPHO GOTHANO

EDITA.

CURAVIT

EPIGRAMMATA IN CODICE PALATINO DESIDERATA

ET

ANNOTATIONEM CRITICAM

ADIECIT

FRIDERICUS JACOBS,

D. SAX. GOTH. A CONSIL. AUL. ORDINIS MERITORUM CIVIL.

CORONAE BAVARICAE EQUES.

TOMUS SECUNDUS.

LIPSIAE

US IMPRESSUM TYPIS HERTELIO-BREITKOPFIANIS

VENDITUR IN LIBRARIA DYCKIANA

1814.

BIBLIOTHEQUE S. J.
Les Fontaines
60 - CHANTILLY

Digitized by Google

Digitized by Google

Secundo huic Anthologiae nostrae volumini, (quod praeter textum Palatini Codicis duplicem complectitur Appendicem, alteram epigrammatum eorum, quae a Planude ex copiosiore codice excerpta in Palatinis membranis desiderantur, alteram ex variis antiquitatis scriptoribus, qui epigrammata data occasione excitaverunt, marmoribusque litteratis concinnatam *), ita ut

*) Ad ea, quae *Brunkius* ex iisdem fontibus derivata in Analecta recepit, quaeque nos, pro instituti nostri ratione, repetivimus omnia, plurima accesserunt, partim ab illo neglecta, partim post Analecta demum edita in lucem protracta. Haec non omnia optimae notae sunt, ut nec in antiquioribus omnia. Inprimis autem illa, quae ex marmoribus a festinantibus interdum aut parum doctis peregrinatoribus negligenter descripta sunt, et lacunis foedantur et vitiis metricis, quae, utrum descriptorum negligentiae tribuenda sint, an auctorum, non ubique constat. In his nonnulla sunt prorsus *ἄμετρα*, ut p. 823. nr. 209. v. 9. p. 830. nr. 233.

Digitized by Google

hoc volumine totum epigrammatum corpus, qua
adumbravi in Praefatione ad primum Tomu
absolutum videri debeat) pauca quaedam prae
tionis loco praemittenda duxi. Ac primum qu
dem satis faciendum esse existimavi officio er
virum eximium, omnique et eruditionis et hum
nitatis laude florentissimum, *Godofredum Hen*
*cum Schaeferum*, qui, quum et bibliopolae, v
honestissimi, meisque precibus permotus cha
tarum corrigendarum laborem suscepisset, e
qua pollet, diligentia effecit, ut hoc volumen
typographorum peccatis priore haud paulo sit p
rius. Neque tamen intra hos fines suam er
me voluntatem subsistere passus, notulas in

v. 3, 4., quae *Brunkius*, ut metri quandam speciem restitue
pro arbitrio mutavit. Nos ab eiusmodi locis corrigendis abstin
dum duximus. Sic reliqui etiam ὀκτὼ μόνοις (p. 831. nr. 237. v.
quod, quamvis metro adversans, sincere tamen scriptum est,
plurima alia, quae suo loco notabimus. Caeterum epigramm
alterius huius Appendicis in duas classes distribui, quarum p
ea habet, quae certis auctoribus inscribuntur, altera τὰ ἀδέσπο
Disposui autem omnia, cum scriptores, tum singula epigramm
secundum elementarem ordinem, quo ordine pauca quaedam
commmoda multo pluribus commodis compensari videbantur.

Digitized by Google

corrigendum enatas et in schedulas coniectas perquam humaniter mecum communicavit. Quas viri doctissimi observationes, quae mihi haud paucis in locis ad textum rectius constituendum profuerunt, summa cum fide inseremus notis criticis nostris, quae tertio eoque ultimo huius operis volumine comprehensae, hoc ipso anno, si deus voluerit, publice prodibunt. In his etiam expromentur emendationes et observationes nondum editae, quas viri doctissimi mihique amicissimi, *Passovius*, *Graefius* *), *Spitznerus*, aliique mecum per litteras communicaverunt; quibus omnibus pro sua erga me voluntate publice hîc gratias ago.

Caeterum quam verum sit, quod *diem diem docere* dicunt, in nulla fortasse alia arte magis

*) Unam *Graefii* correctionem, plane egregiam, non possum, quin hoc loco commemorem. Est ea in *Christodori* Ecphrasi v. 261., ubi vulgo legitur: *λυρόκτιτος ἀνδράσι Θήβη*. Cod. Pal. *βιόκτιτος* offert, unde lenissima mutatione *μιτόκτιτος* effeceram. Sed verum procul dubio vidit Vir doctissimus, qui *βοόκτιτος* correxit ex *Nonni* Dion. L. xxv. 415. p. 666. *τεῦξε λυροδμήτοιο βοόκτιτα τείχεα Θήβης*. Cf. *Eurip.* Phoen. v. 642.

Digitized by Google

BIB. COLL.
PICTAV. S. J.

Digitized by Google

Digitized by Google

X 216/5

Digitized by Google

Digitized by Google

# ANTHOLOGIA GRAECA

AD FIDEM

CODICIS OLIM PALATINI NUNC PARISINI

EX APOGRAPHO GOTHANO

EDITA.

CURAVIT

EPIGRAMMATA IN CODICE PALATINO DESIDERATA

ET

ANNOTATIONEM CRITICAM

ADIECIT

FRIDERICUS JACOBS,

D. SAX. GOTH. A CONSIL. AUL. ORDINIS MERITORUM CIVIL.

CORONAE BAVARICAE EQUES.

*TOMUS SECUNDUS.*

LIPSIAE

US IMPRESSUM TYPIS HERTELIO-BREITKOPFIANIS

VENDITUR IN LIBRARIA DYCKIANA

1814.

BIBLIOTHEQUE S. J.

Les Fontaines

60 - CHANTILLY

Digitized by Google

Digitized by Google

Secundo huic Anthologiae nostrae volumini, quod praeter textum Palatini Codicis duplicem complectitur Appendicem, alteram epigrammatum eorum, quae a Planude ex copiosiore codice excerpta in Palatinis membranis desiderantur, alteram ex variis antiquitatis scriptoribus, qui epigrammata data occasione excitaverunt, marmoribusque litteratis concinnatam *), ita ut

*) Ad ea, quae *Brunkius* ex iisdem fontibus derivata in Analecta recepit, quaeque nos, pro instituti nostri ratione, repetivimus omnia, plurima accesserunt, partim ab illo neglecta, partim post Analecta demum edita in lucem protracta. Haec non omnia optimae notae sunt, ut nec in antiquioribus omnia. Inprimis autem illa, quae ex marmoribus a festinantibus interdum aut parum doctis peregrinatoribus negligenter descripta sunt, et lacunis foedantur et vitiis metricis, quae, utrum descriptorum negligentiae tribuenda sint, an auctorum, non ubique constat. In his nonnulla sunt prorsus *ἄμετρα*, ut p. 823. nr. 209. v. 9. p. 830. nr. 233.

Digitized by Google

hoc volumine totum epigrammatum corpus, qua adumbravi in Praefatione ad primum Tomur absolutum videri debeat) pauca quaedam praef tionis loco praemittenda duxi. Ac primum qu dem satis faciendum esse existimavi officio er virum eximium, omnique et eruditionis et hum nitatis laude florentissimum, *Godofredum Henr cum Schaeferum*, qui, quum et bibliopolae, vi honestissimi, meisque precibus permotus cha tarum corrigendarum laborem suscepisset, e qua pollet, diligentia effecit, ut hoc volumen typographorum peccatis priore haud paulo sit pı rius. Neque tamen intra hos fines suam er me voluntatem subsistere passus, notulas int

---

v. 3, 4., quae *Brunkius*, ut metri quandam speciem restitue pro arbitrio mutavit. Nos ab eiusmodi locis corrigendis abstin dum duximus. Sic reliqui etiam ὀκτὼ μόνοις (p. 831. nr. 237. v. quod, quamvis metro adversans, sincere tamen scriptum est, plurima alia, quae suo loco notabimus. Caeterum epigramm alterius huius Appendicis in duas classes distribui, quarum pr ea habet, quae certis auctoribus inscribuntur, altera τὰ ἀδέσπο Disposui autem omnia, cum scriptores, tum singula epigramm secundum elementarem ordinem, quo ordine pauca quaedam commmoda multo pluribus commodis compensari videbantur.

Digitized by Google

corrigendum enatas et in schedulas coniectas perquam humaniter mecum communicavit. Quas viri doctissimi observationes, quae mihi haud paucis in locis ad textum rectius constituendum profuerunt, summa cum fide inseremus notis criticis nostris, quae tertio eoque ultimo huius operis volumine comprehensae, hoc ipso anno, si deus voluerit, publice prodibunt. In his etiam expromentur emendationes et observationes nondum editae, quas viri doctissimi mihique amicissimi, *Passovius*, *Graefius* *), *Spitznerus*, aliique mecum per litteras communicaverunt; quibus omnibus pro sua erga me voluntate publice hîc gratias ago.

Caeterum quam verum sit, quod *diem diem docere* dicunt, in nulla fortasse alia arte magis

*) Unam *Graefii* correctionem, plane egregiam, non possum, quin hoc loco commemorem. Est ea in *Christodori* Ecphrasi v. 261., ubi vulgo legitur: *λυρόκτιτος ἀνδράσι Θήβη*. Cod. Pal. *βιόκτιτος* offert, unde lenissima mutatione *μιτόκτιτος* effeceram. Sed verum procul dubio vidit Vir doctissimus, qui *βοόκτιτος* correxit ex *Nonni* Dion. L. xxv. 415. p. 666. *τεῦξε λυροδμήτοιο βοόκτιτα τείχεα Θήβης*. Cf. *Eurip.* Phoen. v. 642.

elucet, quam in hac, quae a iudicando nomen habet. Quae quum magnam partem in rebus minutissimis, vocabulorum formis litterarumque apicibus recte ponendis cernatur, quae nemo facile reperitur — infinita enim sunt — qui omnia omni tempore in promptu habeat, non magnopere mirandum est, si eos, qui in illa arte versantur, magis fere quam alius cuiusquam artis professores, erroribus obnoxios viderimus. In corruptis praesertim locis, ingenii ope emendandis, quanta sit vis temporis et opportunitatis cuiusdam, nemo ignorat, nisi qui totam huius rei rationem ignoret. Sic plura in primo huius Anthologiae volumine asterisco notata sunt, quae postea, quomodo emendanda essent, sponte vidi; ut p. 144. (p. 119. Cod. Pal.) nr. 209. primum distichon duabus tribusve litteris, quae crebro inter se permutari solent, emendatis, sic procul dubio legendum est:

*Σῆ, Παφίη Κυθέρεια, παρ' ἠόνι *) εἶδε Κλέανδρος*
*Νικοῦν ἐν χαροποῖς κύμασι νηχομένην.*

---

*) De hiatu, minime illo vituperando, vide *Hermann.* ad Orph. p. 730.

Digitized by Google

ubi Ionicae formae in *Νικοῦν* ignoratio lectioni corrumpendae occasionem dedisse videtur. Ibid. p. 283. (p. 197. Cod.) nr. 295. in verbis *σπόγγον καλάμων ψαίστορ᾽ ἀπὸ Κνιδίων* mihi satis facere non poterat lectio a *Brunkio* in textum recepta: *ψαίστορα τῶν Κνιδίων.* Erat, qui vitium in ultima voce quaereret, quam tamen veterum loca, in Animadverss. T. II. P. I. p. 162. de *calamis Cnidiis* a nobis excitata satis, ni fallor, a correctionibus tuentur. Scribendum est autem:

*σπόγγον ἔχεν καλάμων ψαίστορ᾽ ἀλὸς Κνιδίων.*

In *Apollonidae* epigr. p. 264. (p. 185. Cod.) nr. 239. v. 1. *Toupii* coniecturam adoptaverat *Brunkius: γλυκερὸν θέρος ἀντὶ νομαίων,* ex *Suida,* qui in *σμήνη* T. III. p. 342. *ἀντινομαίων* offert, ubi Pal. membr. *ἀμφινομέων* habent. Neutra harum lectionum vera, sed earum inter se comparatio ad verum ducit. Scribendum enim, nisi omnia fallunt:

*Σμήνεος ἔκ με ταμὼν γλυκερὸν θέρος, αἰγινομεῦ Πάν.*

restituto nomine dei, quod abesse nullo modo

Digitized by Google

poterat. In his plurimisque aliis locis, in quibus vera se mihi lectio serius, quam vellem, obtulit, nunc minime poenitet, quod mihi a Brunkianis emendationibus admittendis cavi; sunt autem alia quaedam, in quibus lectiones Brunkiani textus, aut falsae, aut minus certae, etiamnum locum me invito obtinent. Quum enim textus noster maximam partem ex duobus exemplis Lipsiensis Analectorum editionis dissectis et in eum ordinem, quem Cod. Palatinus exhibet, dispositis, expressus sit, accidit interdum, ut lectiones tollendae, praesertim si vitium esset in una alterave littera, aut meam, aut operarum aciem fallerent. Sic T. I. p. 274. (p. 193. Cod.) nr. 267. v. 1. ἵσταθι relictum est pro ἕσταθι, quod reposueram, membr. lectione ἕσταθι in marg. notata. Ib. p. 440. (p. 245. Cod.) nr. 440. v. 10. in epigr. *Leonidae* recte deleta est interlocutoris nota, sed eadem neglecta v. 1^mo^ et 3^tio^, ubi, specie dialogi relicta, capiti cum exitu non convenit. Etiam in *Hedyli* epigr. p. 282. (p. 197. Cod.) nr. 292. v. 2. temere secutus sum *Brunkium*, quamvis eleganter scribentem: καὶ

*ληρῶν χρύσεοι οἱ κάλαμοι,* praeeunte *Dorvillio* in Vanno crit. p. 189. quum membr. lectioni, *οἱ χρύσεοι κάλαμοι,* et *Suidas* patrocinetur et *Planudes.* Et recte sane. Nam in voce *χρύσεος* primam interdum corripi, quod doctissimos viros latuerat, nunc post *Hermanni* observationem non dubitatur. Non magis verum videtur, quod post *Brunkium* p. 353. (p. 232. Cod.) nr. 171. v. 3tio, quamvis *Planude* praeeunte, dedimus: *Ποίμανδρος ὁ Μάλλιος.* Scr. *Μάλιος* cum membr. Pal. Sed de his et hoc genus aliis in notis monebitur. Nunc hoc unum addam, uti *Brunkius* in primae personae pronomine *τῷ ὀρθοτονουμένῳ* sexcentis in locis abusus est, ita me in secunda persona interdum tonum, qui inclinandus erat, perperam erexisse. Scribebam Gothae a. d. XXII. Martii cIↄIↄcccxv.

# IX.

## ΕΠΙΓΡΑΜΜΑΤΑ
## ΕΠΙΔΕΙΚΤΙΚΑ.

Digitized by Google

Digitized by Google

# IX.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΕΠΙΔΕΙΚΤΙΚΑ.

[P]. 1. *ΠΟΛΥΑΙΝΟΥ ΣΑΡΔΙΑΝΟΥ.*

Δορκάδος ἀρτιτόκοιο τιθηνητήριον οὖθαρ
  ἔμπλεον οἰδούσης πικρὸν ἔτυψεν ἔχις.
νεβρὸς δ' ἰυμιγῆ θηλὴν σπάσε, καὶ τὸ δυςαλθὲς
  τραύματος ἐξ ὀλοοῦ πικρὸν ἔβροξε γάλα.
ᾅδην δ' ἠλλάξαντο, καὶ αὐτίκα νηλεϊ μοίρῃ
  ἣν ἔπορεν γαστήρ, μαστὸς ἀφεῖλε χάριν.

2. *ΤΙΒΕΡΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.*

Κεμμάδος ἀρτιτόκου μαζοῖς βρίθουσι γάλακτος
  ἡ φονίη δακέτων ἰὸν ἐνῆκεν ἔχις.
φαρμαχθὲν δ' ἰῷ μητρὸς γάλα νεβρὸς ἀμέλξας
  χείλεσι, τὸν κείνης ἐξέπιεν θάνατον.

---

No. 1. V. 2. εἰδοῦσα. P. — λυγρὸς ἔτυψεν. Br. V. 5. νηλαίῃ.

### 3. ΑΝΤΙΠΑΤΡΟΥ, οἱ δὲ ΠΛΑΤΩΝΟΣ.

Εἰνοδίην καρύην με παρερχομένοις ἐφύτευσαν
    παισὶ λιθοβλήτου παίγνιον εὐστοχίης.
πάντας δ' ἀκρέμονάς τε καὶ εὐθαλέας ὀροδάμνους
    κέκλασμαι, πυκιναῖς χέρμασι βαλλομένη.
δένδρεσιν εὐκάρποις οὐδὲν πλέον· ἦ γὰρ ἔγωγε
    δυςδαίμων ἐς ἐμὴν ὕβριν ἐκαρποφόρουν.

### 4. ΚΥΛΛΗΝΙΟΥ.

Ἡ πάρος ἐν δρυμοῖσι νόθης ζείδωρος ὀπώρης
    ἀχράς, θηροβότου πρέμνον ἐρημοσύνης,
ὀθνείοις ὄζοισι μετέμφυτος, ἥμερα θάλλω,
    οὐκ ἐμὸν ἡμετέροις κλωσὶ φέρουσα βάρος.
πολλή σοι, φυτοεργέ, πόνου χάρις· εἵνεκα σεῖο
    ἀχρὰς ἐν εὐκάρποις δένδρεσιν ἐγγράφομαι.

### 5. ΠΑΛΛΑΔΑ.

Ὄχνη, χειρὸς ἐμῆς γλυκερὸς πόνος, ἣ μὲν ἐφ' ὑγρῷ
φλοιῷ φύλλον ἔδησα θέρει· πτόρθος δ' ἐπὶ δένδρῳ
ῥιζωθείς, δένδροιο τομῇ καὶ καρπὸν ἄμειψεν.
νέρθε μὲν ἀχράς ἔτ' ἔστιν, ὕπερθε δ' ἄρ' εὔπνοος
    ὄχνη.

---

Nr. 3. V. 5. εἰ γάρ. P. Nr. 4. V. 1. νοθή. P. Nr. 5. V. 1. Ὄγχνη. Plan. V. 2. φλοιῷ φλοιόν. Plan. V. 3. ἀμείψας. P. V. 4. ὄγχνη. Pl.

Digitized by Google

### 6. ΤΟΥ ΑΥΤΟΥ.

Ἀχρὰς ἔην· σέο χερσὶ μυρίπνοον * ὄχνην ἔθηκας,
δένδρῳ πτόρθον ἐνείς· σὴν χάριν εἰς σὲ φέρω.

[P] 7. ΙΟΥΛΙΟΥ ΠΟΛΥΑΙΝΟΥ.

Εἰ καί σευ πολύφωνος ἀεὶ πίμπλησιν ἀκουὰς
ἢ φόβος εὐχομένων, ἢ χάρις εὐξαμένων,
Ζεῦ Σχερίης ἐφέπων ἱερὸν πέδον, ἀλλὰ καὶ ἡμέων
κλῦθι, καὶ ἀψευδεῖ νεῦσον ὑποσχεσίῃ,
ἤδη μοι ξενίης εἶναι πέρας, ἐν δέ με πάτρῃ
ζώειν, τῶν δολιχῶν παυσάμενον καμάτων.

### 8. ΤΟΥ ΑΥΤΟΥ.

Ἐλπὶς ἀεὶ βιότου κλέπτει χρόνον· ἡ πυμάτη δὲ
ἠὼς τὰς πολλὰς ἔφθασεν ἀσχολίας.

### 9. ΤΟΥ ΑΥΤΟΥ.

Πολλάκις εὐξαμένῳ μοι ἀεὶ θυμήρες ἔδωκας
τέκμαρ ἀκυμάντου, Ζεῦ πάτερ, εὐπλοΐης·
δώῃς μοι καὶ τοῦτον ἔτι πλόον, ἠδὲ σαώσοις
ἤδη, καὶ καμάτων ὅρμισον εἰς λιμένας.
οἶκος καὶ πάτρῃ βιότου χάρις· αἱ δὲ περισσαὶ
φροντίδες ἀνθρώποις οὐ βίος, ἀλλὰ πόνος.

---

Nr. 6. V. 1. ἀχρὰς ἦν. — Fort. ὄζον ἔθηκας. V. 2. πτόρθον ἐρεῖς. P. Nr. 8. cohaeret cum nr. 7. in P. — Nr. 9. V. 3. δοίης. Plan. σαώσαις. Ib. V. 5. 6. peculiare sunt Epigramma in Plan.

## 10. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Πούλυπος εἰναλίῃ ποτ' ἐπὶ προβλῆτι τανυσθεὶς
ἠελίῳ ψύχειν πολλὸν ἀνῆκε πόδα·
οὔπω δ' ἦν πέτρῃ ἴκελος χρόα, τοὔνεκα καί μιν
αἰετὸς ἐκ νεφέων ὀξὺς ἔμαρψεν ἰδών·
πλοχμοῖς δ' εἱλιχθεὶς πέσεν εἰς ἅλα δύσμορος· ἦ ῥα
ἄμφω καὶ θήρης ἤμβροτε καὶ βιότου.

## 11. ΦΙΛΙΠΠΟΥ, οἱ δὲ ἸΣΙΔΩΡΟΥ.

Πηρὸς ὁ μὲν γυίοις, ὁ δ' ἄρ' ὄμμασιν· ἀμφότεροι δὲ
εἰς αὐτοὺς τὸ τύχης ἐνδεὲς ἠράνισαν.
τυφλὸς γὰρ λιπόγυιον ἐπωμάδιον βάρος αἴρων,
ταῖς κείνου φωναῖς ἀτραπὸν ὠρθοβάτει·
πάντα δὲ ταῦτ' ἐδίδαξε πικρὴ πάντολμος ἀνάγκη
ἀλλήλοις μερίσαι τοὐλλιπὲς εἰς τέλεον.

## 12. ΛΕΩΝΙΔΟΥ.

Τυφλὸς ἀλητεύων χωλὸν πόδας ἠέρταζεν,
ὄμμασιν ἀλλοτρίοις ἀντερανιζόμενος.
ἄμφω δ' ἡμιτελεῖς πρὸς ἑνὸς φύσιν ἡρμόσθησαν,
τοὐλλιπὲς ἀλλήλοις ἀντιπαρασχόμενοι.

---

Nr. 10. V. 5. δ' om. P. Nr. 11. V. 4. ὀρθοβάτει. P. V. 6. εἰς ἔλεον. P.

### 13. ΠΛΑΤΩΝΟΣ ΝΕΩΤΕΡΟΥ.

Ἀνέρα τις λιπόγυιον ὑπὲρ νώτοιο λιπαυγὴς
ἦγε, πόδας χρήσας, ὄμματα χρησάμενος.
[P] ἄμφω μὲν πηροὶ καὶ ἀλήμονες, ἀλλ' ὁ μὲν, ὄψεις,
ὃς δέ, βάσεις· ἄλλου δ' ἄλλος ὑπηρεσίῃ·
τυφλὸς γὰρ χωλοῖο κατωμάδιον βάρος αἴρων
ἀτραπὸν ὀθνείοις ὄμμασιν ἀκροβάτει.
ἡ μία δ' ἀμφοτέροις ἤρκει φύσις· ἐν γὰρ ἑκάστῳ
τοὐλλιπὲς ἀλλήλοις εἰς ὅλον ἠράνισαν.

### 14. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Αἰγιαλοῦ τενάγεσσιν ὑποπλώοντα λαθραίῃ
εἰρεσίῃ Φαίδων εἴςιδε πουλυπόδην·
μάρψας δ' ὠκὺς ἔριψεν ἐπὶ χθόνα, πρὶν περὶ χεῖρας
πλέξασθαι βρυχδὴν ὀκτατόνους ἕλικας·
δισκευθεὶς δ' ἐπὶ θάμνον ἐς οἰκία δειλὰ λαγωοῦ,
εἰληδὸν ταχινοῦ πτωκὸς ἔδησε πόδας·
εἷλε δ' ἁλούς· σὺ δ' ἄελπτον ἔχεις γέρας ἀμφοτέρωθεν,
ἄγρης χερσαίης, πρέσβυ, καὶ εἰναλίης.

---

Nr. 13. V. 4. ὁ δὲ β. P. V. 5. ἄρας. Pl. V. 6. ἀκριβατεῖ. P.
Nr. 14. V. 2. πολυπόδην. P.

Digitized by Google

15. ΑΔΕΣΠΟΤΟΝ.

Αὐτὸ τὸ πῦρ καύσειν διζήμενος, οὗτος, ὁ νύκτωρ
τὸν καλὸν ἱμείρων λύχνον ἀναφλογίσαι,
δεῦρ' ἀπ' ἐμῆς ψυχῆς ἅψον σέλας· ἔνδοθι γάρ μοι
καιόμενον πολλὴν ἐξανίησι φλόγα.

16. ΜΕΛΕΑΓΡΟΥ.

Τρισσαὶ μὲν Χάριτες, τρεῖς δὲ γλυκυπάρθενοι Ὧραι·
τρεῖς δ' ἐμὲ θηλυμανεῖς οἰστροβολοῦσι Πόθοι.
ἦ γάρ τοι τρία τόξα κατείρυσεν, ὡς ἄρα μέλλων
οὐχὶ μίαν τρώσειν, τρεῖς δ' ἐν ἐμοὶ κραδίας;

17. ΓΕΡΜΑΝΙΚΟΥ ΚΑΙΣΑΡΟΣ.

Οὔρεος ἐξ ὑπάτοιο λαγὼς πέσεν ἔς ποτε βένθος,
ἐκπροφυγεῖν μεμαὼς τρηχὺν ὀδόντα κυνός.
ἀλλ' οὐδ' ὣς ἤλυξε κακὸν μόρον· αὐτίκα γάρ μιν
εἰνάλιος μάρψας πνεύματος ὠρφάνισεν.
ἐκ πυρός, ὡς αἶνος, πέσες εἰς φλόγα· ἦ ῥά σε δαίμων
κὴν ἁλί, κὴν χέρσῳ θρέψε κύνεσσι βοράν.

Nr. 15. V. 3. γάρ μιν. P. Nr. 16. V. 3. ἦ γὰρ Ἔρως. Bt. κατήρυσεν. P. Nr. 17. V. 1. ποτί. P. V. 4. ὀρφάνισεν. P. V. 5. αἰνός. P.

18. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ κυνὸς εἷλε κύων με. τί τὸ ξένον; εἰς ἐμὲ θῆρες
ὑγροὶ καὶ πεζοὶ θυμὸν ἔχουσιν ἕνα.
αἰθέρα λοιπὸν ἔχοιτε, λαγοὶ, βατόν. ἀλλὰ φοβοῦμαι,
Οὐρανέ· καὶ σὺ φέρεις ἀστερόεντα κύνα.

[P] 19. ΑΡΧΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ὁ πρὶν ἀελλοπόδων λάμψας πλέον Αἰετὸς ἵππων,
ὁ πρὶν ὕπαι μίτραις κῶλα καθαψάμενος,
ὃν Φοίβου χρησμῳδὸς ἀέθλιον ἔστεφε Πυθώ,
ὀρνύμενον πτανοῖς ὠκυπέταις ἴκελον,
καὶ Νεμέη βλοσυροῖο τιθηνήτειρα λέοντος,
Πῖσά τε, καὶ δοιὰς ᾐόνας Ἰσθμὸς ἔχων,
νῦν κλοιῷ δειρὴν πεπεδημένος, οἷα χαλινῷ,
καρπὸν ἐλᾷ Δηοῦς ὀκριόεντι λίθῳ,
ἴσαν μοῖραν ἔχων Ἡρακλέϊ· καὶ γὰρ ἐκεῖνος
τόσσ᾽ ἀνύσας δούλαν ζεῦγλαν ἐφηρμόσατο.

20. ΑΛΛΟ.

Ὁ πρὶν ἐπ᾽ Ἀλφειῷ στεφανηφόρος, ὦ 'νερ, ὁ τὸ πρὶν
δισσάκι κηρυχθεὶς Κασταλίης παρ᾽ ὕδωρ,
ὁ πρὶν ἐγὼ Νεμέῃ βεβοημένος, ὁ πρὶν ἐπ᾽ Ἰσθμῷ
πῶλος, ὁ πρὶν πτηνοῖς ἶσα δραμὼν ἀνέμοις,

---

Nr. 18. V. 2. καὶ θυμόν. P. Nr. 19. V. 7. δειρῇ. P. χαλινόν. Ib. V. 8. ἐλαΐ. P. ἐλᾷ. Plan. ἀλεῖ. Br. V. 9. ἡρακλεῖ. P. Nr. 20. V. 4. Fort. πτηνοῖς, ἶσα δραμὼν τ᾽ ἄν.

νῦν ὅτε γηραιός, γυροδρόμον ἠνίδε πέτρον
δινεύω, στρεφέων ὕβρις, ἐλαυνόμενος.

### 21. ΑΔΕΣΠΟΤΟΝ.

Σοί, πατρὶ Θεσσαλίῃ πωλοτρόφε, μέμψιν ἀνάπτω
Πήγασος, ὡς ἀδίκου τέρματος ἠντίασα,
ὃς Πυθοῖ, κὴν Ἰσθμῷ ἐκώμασα, κὴπὶ Νέμειον
Ζῆνα, καὶ Ἀρκαδικοὺς ἤλυθον ἀκρέμονας·
νῦν δὲ βάρος πέτρης Νισυρίτιδος ἔγκυκλον ἕλκω,
λεπτύνων Δηοῦς καρπὸν ἀπ' ἀσταχύων.

### 22. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Νηδύϊ βριθομένην δάμαλιν Λητωΐδι κούρῃ
στῆσαν νηοκόροι θῦμα χαριζόμενοι,
ἧς αἴδην μέλλοντα προέφθασεν εὔστοχος ὠδίς,
πέμφθη δ' εἰς ἀγέλην τεκνογονεῖν ἄφετος.
ἡ θεὸς ὠδίνων γὰρ ἐπίσκοπος οὐδ' ἐδίκαζεν
τικτούσας κτείνειν, ἃς ἐλεεῖν ἔμαθεν.

### 23. ΑΝΤΙΠΑΤΡΟΥ.

Γειαρότης Ἄρχιππος, ὅτ' ἐκ νούσοιο βαρείης
ἄρτι λιποψυχέων ἔρρεεν εἰς Ἀΐδην,

---

Nr. 21. V. 3. Ἰσθμόν. P. V. 4. Ζᾶνα et Ἀρκαδικᾶς. P. Fort. Ἀρκαδίας. V. 5. Νισυρήτιδος. P. Nr. 22. V. 1. Λητωΐδη. P. V. 2. θαῦμα. P. Nr. 23. V. 2. Fort. ἔρρεπεν c. Scaligero.

Digitized by Google

εἶπε τάδ' υἱήεσσιν· Ἰὼ φίλα τέκνα, μάκελλαν
καὶ τὸν ἀροτρητὴν στέρξατέ μοι βίοτον·
μὴ σφαλερῆς αἰνεῖτε πόνον στονόεντα θαλάσσης,
καὶ βαρὺν ἀτηρῆς ναυτιλίης κάματον.
ὅσσον μητρυιῆς γλυκερωτέρη ἔπλετο μήτηρ,
τόσσον ἁλὸς πολιῆς γαῖα ποθεινοτέρη.

[P] 24. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἄστρα μὲν ἠμαύρωσε καὶ ἱερὰ κύκλα σελήνης
ἄξονα δινήσας ἔμπυρος ἠέλιος·
ὑμνοπόλους δ' ἀγεληδὸν ἀπημάλδυνεν Ὅμηρος,
λαμπρότατον Μουσῶν φέγγος ἀνασχόμενος.

25. ΤΟΥ ΑΥΤΟΥ.

Γράμμα τόδ' Ἀρήτοιο δαήμονος, ὅς ποτε λεπτῇ
φροντίδι δηναιοὺς ἀστέρας ἐφράσατο,
ἀπλανέας τ' ἄμφω καὶ ἀλήμονας, οἷσιν ἐναργὴς
ἰλλόμενος κύκλοις οὐρανὸς ἐνδέδεται.
αἰνείσθω δὲ καμὼν ἔργον μέγα, καὶ Διὸς εἶναι
δεύτερος, ὅστις ἔθηκ' ἄστρα φαεινότερα.

---

V. 4. ἀροτριτήν. P. V. 6. ἀτειρῆς. P. Nr. 25. V. 4. ὀλλόμενος. P.

### 26. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Τάςδε θεογλώσσους Ἑλικὼν ἔθρεψε γυναῖκας
ὕμνοις, καὶ Μακεδὼν Πιερίας σκόπελος,
Πρήξιλλαν, Μοιρώ, Ἀνύτης στόμα, θῆλυν Ὅμηρον,
Λεσβιάδων Σαπφὼ κόσμον ἐϋπλοκάμων,
Ἤρινναν, Τελέσιλλαν ἀγακλέα, καὶ σέ, Κόριννα,
θοῦριν Ἀθηναίης ἀσπίδα μελψαμέναν,
Νοσσίδα θηλύγλωσσον, ἰδὲ γλυκυαχέα Μύρτιν,
πάσας ἀενάων ἐργάτιδας σελίδων.
ἐννέα μὲν Μούσας μέγας Οὐρανός· ἐννέα δ' αὐτὰς
Γαῖα τέκεν, θνατοῖς ἄφθιτον εὐφροσύναν.

### 27. ΑΡΧΙΟΥ, οἱ δὲ ΠΑΡΜΕΝΙΩΝΟΣ.

Εὔφημος γλώσσῃ παραμείβεο τὴν λάλον Ἠχώ,
κοὐ λάλον· ἥν τι κλύω, τοῦτ' ἀπαμειβομέναν.
εἰς σὲ γὰρ ὃν σὺ λέγεις στρέψω λόγον· ἢν δὲ σιωπᾷς,
σιγήσω. τίς ἐμεῦ γλῶσσα δικαιοτέρη;

### 28. ΠΟΜΠΗΐΟΥ, οἱ δὲ ΜΑΡΚΟΥ ΝΕΩΤΕΡΟΥ.

Εἰ καὶ ἐρημαίη κέχυμαι κόνις ἔνθα Μυκήνη,
εἰ καὶ ἀμαυροτέρη παντὸς ἰδεῖν σκοπέλου,
Ἴλου τις καθορῶν κλεινὴν πόλιν, ἧς ἐπάτησα
τείχεα, καὶ Πριάμου πάντ' ἐκένωσα δόμον,
γνώσεται ἔνθεν ὅσον πάρος ἔσθενον. εἰ δέ με γῆρας
ὕβρισεν, ἀρκοῦμαι μάρτυρι Μαιονίδῃ.

Digitized by Google

29. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Τόλμα, νεῶν ἀρχηγέ, (σὺ γὰρ δρόμον ηὕραο πόντου,
καὶ ψυχὰς ἀνδρῶν κέρδεσιν ἠρέθισας)
οἷον ἐτεκτήνω δόλιον ξύλον, οἷον ἐνῆκας
ἀνθρώποις θανάτῳ κέρδος ἐλεγχόμενον;
ἦν ὄντως μερόπων χρύσεον γένος, εὖτ᾽ ἀπὸ χέρσου
τηλόθεν, ὡς Ἀΐδης, πόντος ἀπεβλέπετο.

30. ΖΗΛΩΤΟΥ, οἱ δὲ ΒΑΣΣΟΥ.

Ἐκλάσθην ἐπὶ γῆς ἀνέμῳ πίτυς· ἐς τί με πόντῳ
στέλλετε ναυηγὸν κλῶνα πρὸ ναυτιλίης;

31. ΑΔΗΛΟΝ.

Ἐς τί πίτυν πελάγει πιστεύετε, γομφωτῆρες,
ἧς πολὺς ἐξ ὀρέων ῥίζαν ἔλυσε Νότος;
αἴσιον οὐκ ἔσομαι πόντου σκάφος, ἐχθρὸν ἀήταις
δένδρεον. ἐν χέρσῳ τὰς ἁλὸς οἶδα τύχας.

32. ΑΔΕΣΠΟΤΟΝ.

Ἀρτιπαγῆ ῥοθίαισιν ἐπὶ κροκάλαισί με νῆα,
καὶ μήπω χαροποῦ κύματος ἁψαμέναν,
οὐδ᾽ ἀνέμεινε θάλασσα· τὸ δ᾽ ἄγριον ἐπλήμμυρεν
χεῦμα, καὶ ἐκ σταθερῶν ἥρπασεν ἠϊόνων
ὁλκάδα τὰν δείλαιαν ἀεὶ κλόνος, ἦ γε τὰ πόντου
χεύματα κὴν χέρσῳ λοίγια κὴν πελάγει.

---

Nr. 29. V. 3. ἐνεῖκας. P. V. 5. εἰ ἀπό. P. εἴγ᾽ Br.

33. ΚΥΛΛΗΝΙΟΥ.

Οὔπω ναῦς, καὶ ὄλωλα· τί δ' ἂν πλέον, εἰ βυθὸν
ἔγνων,
ἔτλην; φεῦ, πάσαις ὁλκάσι μοῖρα κλύδων.

34. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Μυρία με τρίψασαν ἀμετρήτοιο θαλάσσης
κύματα, καὶ χέρσῳ βαιὸν ἐρεισαμένην,
ὤλεσεν οὐχὶ θάλασσα, νεῶν φόβος, ἀλλ' ἐπὶ γαίης
Ἥφαιστος. τίς ἐρεῖ πόντον ἀπιστότερον;
ἔνθεν ἔφυν ἀπόλωλα· παρ' ἠϊόνεσσι δὲ κεῖμαι,
χέρσῳ τὴν πελάγευς ἐλπίδα μεμφομένη.

35. ΤΟΥ ΑΥΤΟΥ.

Ἄρτι με πηγνυμένην ἀκάτου τρόπιν ἔσπασε γείτων
πόντος, κὴν χέρσῳ εἰς ἐμὲ μηνάμενος.

36. ΣΕΚΟΥΝΔΟΥ.

Ὁλκὰς ἀμετρήτου πελάγευς ἀνύσασα κέλευθον,
καὶ τοσάκις χαροποῖς κύμασι νηξαμένη,
ἣν ὁ μέλας οὔτ' Εὖρος ἐπόντισεν, οὔτ' ἐπὶ χέρσον
ἤλασε χειμερίων ἄγριον οἶδμα Νότων,
ἐν πυρὶ νῦν ναυηγὸς ἐγὼ χθονὶ μέμφομ' ἀπίστῳ,
νῦν ἁλὸς ἡμετέρης ὕδατα διζομένη.

---

Nr. 36. V. 2. τοσσάκις. P. Fort. κέλευθον τοσσάκι καὶ χ. cum Schaefero. V. 6. ὕδατος (α). P.

### 37. ΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

α Σιγήσας ἄρυσαι. β τίνος οὕνεκα; α μηκέτ' ἀρύου.
β τεῦ χάριν; α Ἡσυχίης ἡδὺ λέλογχα ποτόν.
β δύςκολος ἡ κρήνη. α γεῦσαι, καὶ μᾶλλον ἐρεῖς με
δύςκολον. β ὢ πικροῦ νάματος. α ὢ λαλιῆς.

### 38. ΑΔΕΣΠΟΤΟΝ.

Εἰ μὲν ἀνὴρ ἥκεις, ἄρυσαι, ξένε, τῆσδ' ἀπὸ πηγῆς·
εἰ δὲ φύσει μαλακός, μή με πίῃς πρόφασιν.
ἄῤῥεν ἐγὼ ποτόν εἰμι, καὶ ἀνδράσι μοῦνον ἀρέσκω.
τοῖς δὲ φύσει μαλακοῖς ἡ φύσις ἐστὶν ὕδωρ.

### 39. ΜΟΥΣΙΚΙΟΥ.

Ἁ Κύπρις Μούσαισι· κοράσια, τὰν Ἀφροδίταν
τιμᾶτ', ἢ τὸν Ἔρων ὔμμιν ἐφοπλίσομαι.
χαὶ Μοῦσαι ποτὶ Κύπριν· Ἄρει τὰ στωμύλα ταῦτα·
ἡμῖν δ' οὐ πέταται τοῦτο τὸ παιδάριον.

### 40. ΖΩΣΙΜΟΥ ΘΑΣΙΟΥ.

Οὐ μόνον ὑσμίνῃσι καὶ ἐν στονόεντι κυδοιμῷ
ῥυομ' ἀρειτόλμου θυμὸν Ἀναξιμένυυς,
ἀλλὰ καὶ ἐκ πόντου, ὁπότ' ἔσχισε νῆα θάλασσα,
ἀσπίς, ἐφ' ἡμετέρης νηξάμενον σανίδος.

---

Nr. 37. V. 2. ἡσυχίοις. Nr. 39. V. 2. ἔρωτ'. Diog. ἔρον. Pl. V. 3. Κύπρι. P. V. 4. ἀμῖν. Br. Nr. 40. V. 2. Ἀνιξαμένους. P. V. 4. νηξαμένης. P.

εἰμὶ δὲ κὴν πελάγει καὶ ἐπὶ χθονὸς ἐλπὶς ἐκείνῳ,
τὸν θρασὺν ἐκ διπλῶν ῥυσαμένη θανάτων.

41. ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Ἡ πάρος ἀντιπάλων ἐπιήρανος ἀσπὶς ἀκόντων,
ἡ φόνιον στυγνοῦ κῦμα φέρουσα μόθου,
ἄγριον οὐδ᾽ ὅτε πόντος ἐπὶ κλόνον ἤλασε φωτί,
καὶ πικρὴ ναυτέων ἔπλεθ᾽ ἁλιφθορίη,
συζυγίης ἀμέλησα· καλὸν δέ σε φόρτον ἄγουσα,
ναὶ φίλος, εὐκταίων ἄχρις ἔβην λιμένων.

42. ΙΟΥΛΙΟΥ ΛΕΩΝΙΔΟΥ.

Εἰν ἑνὶ κινδύνους ἔφυγον δύο Μυρτίλος ὅπλῳ,
τὸν μέν, ἀριστεύσας· τὸν δ᾽, ἐπινηξάμενος,
Ἀργέστης ὅτ᾽ ἔδυσε νεὼς τρόπιν. ἀσπίδα δ᾽ ἔσχον
σωθεὶς κεκριμένην κύματι καὶ πολέμῳ.

43. ΠΑΡΜΕΝΙΩΝΟΣ ΜΑΚΕΔΟΝΟΣ.

Ἀρκεῖ μοι χλαίνης λιτὸν σκέπας, οὐδὲ τραπέζαις
δουλεύσω, Μουσέων ἄνθεα βοσκόμενος.
μισῶ πλοῦτον ἄνουν, κολάκων τροφόν, οὐδὲ παρ᾽ ὀφρὺν
στήσομαι· οἶδ᾽ ὀλίγης δαιτὸς ἐλευθερίην.

---

V. 6. θάνατον. P. Nr. 42. V. 1. Ἀ. εἰ ἐνί. P. V. 3. δ᾽ ὅτ᾽. P. ἀσπίδ᾽ ἔσχον. P. V. 4. Fort. κύμασι. Nr. 43. V. 1. τραπέζας.

[P] 44. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Χρυσὸν ἀνὴρ εὑρὼν ἔλιπεν βρόχον· αὐτὰρ ὁ χρυσὸν
ὃν λίπεν οὐχ εὑρὼν ἧψεν ὃν εὗρε βρόχον.

45. ΠΛΑΤΩΝΟΣ ΤΟΥ ΜΕΓΑΛΟΥ.

Χρυσὸν ἀνὴρ ὁ μὲν εὗρεν, ὁ δ' ὤλεσεν· ὧν ὁ μὲν εὑρὼν
ῥίψεν· ὁ δ' οὐχ εὑρὼν λυγρὸν ἔδησε βρόχον.

46. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Πηρὸς ἄπαις, ἢ φέγγος ἰδεῖν, ἢ παῖδα τεκέσθαι
εὐξαμένη, δοιῆς ἔμμορεν εὐτυχίης·
τίκτε γὰρ εὐθὺς ἄελπτα μετ' οὐ πολύ, καὶ τριποθήτου
αὐτῆμαρ γλυκερὸν φέγγος ἐςεῖδε φάους.
Ἄρτεμις ἀμφοτέροισιν ὑπήκοος, ἥ τε λοχείης
μαῖα, καὶ ἀργεννῶν φωςφόρος ἡ σελάων.

47. ΑΔΕΣΠΟΤΟΝ.

Τὸν λύκον ἐξ ἰδίων μαζῶν τρέφω οὐκ ἐθέλουσα,
ἀλλά μ' ἀναγκάζει ποιμένος ἀφροσύνη.
αὐξηθεὶς δ' ὑπ' ἐμοῦ, κατ' ἐμοῦ πάλι θηρίον ἔσται.
ἡ χάρις ἀλλάξαι τὴν φύσιν οὐ δύναται.

---

Nr. 46. V. 3. γὰρ υἱόν. Br. V. 6. η σελ. P. εἴ σ. Br.

## 48. ΑΔΕΣΠΟΤΟΝ.

Ζεὺς κύκνος, ταῦρος, σάτυρος, χρυσὸς δι' ἔρωτα
Λήδης, Εὐρώπης, Ἀντιόπης, Δανάης.

## 49. ΑΔΗΛΟΝ.

Ἐλπὶς καὶ σὺ Τύχη, μέγα χαίρετε· τὸν λιμέν' εὗρον.
οὐδὲν ἐμοὶ χ' ὑμῖν· παίζετε τοὺς μετ' ἐμέ.

## 50. ΜΙΜΝΕΡΜΟΥ.

Τὴν σαυτοῦ φρένα τέρπε, δυσηλεγέων δὲ πολιτῶν
ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

## 51. ΠΛΑΤΩΝΟΣ.

Αἰὼν πάντα φέρει. δολιχὸς χρόνος οἶδεν ἀμείβειν
οὔνομα, καὶ μορφήν, καὶ φύσιν, ἠδὲ τύχην.

## 52. ΚΑΡΠΥΛΛΙΔΟΥΣ.

Ἰχθῦς ἀγκίστρῳ τις ἀπ' ᾐόνος εὔτριχι βάλλων
εἵλκυσε ναυαγοῦ κρᾶτα λιποτριχέα.
οἰκτείρας δὲ νέκυν τὸν ἀσώματον, ἐξ ἀσιδήρου
χειρὸς ἐπισκάπτων λιτὸν ἔχωσε τάφον·
εὗρε δὲ κευθόμενον χρυσοῦ κτέαρ. ἦ ῥα δικαίοις
ἀνδράσιν εὐσεβίης οὐκ ἀπόλωλε χάρις.

---

Nr. 49. V. 1. καὶ τύχη. P. Nr. 51. V. 2. ἢ δέ. P. Nr. 52. V. 1. ἰχθύς. P. ἰχθύας. Pl. V. 3. νέκυν ἀσώμ. P. V. 5. δικαίως. P.

### 53. ΝΙΚΟΜΗΔΟΥΣ, οἱ δὲ ΒΑΣΣΟΥ. ἀναστρεφόμενον.

Ἱπποκράτης φάος ἦν μερόπων, καὶ σώετο λαῶν
ἔθνεα, καὶ νεκύων ἦν σπάνις εἰν Ἀΐδη.

### 54. ΜΕΝΕΚΡΑΤΟΥΣ.

Γῆρας ἐπὰν μὲν ἀπῇ, πᾶς εὔχεται· ἢν δέ ποτ' ἔλθῃ,
μέμφεται. ἔστι δ' ἀεὶ κρεῖσσον ὀφειλόμενον.

### 55. ΛΟΥΚΙΛΛΙΟΥ, οἱ δὲ ΜΕΝΕΚΡΑΤΟΥΣ ΣΑΜΙΟΥ.

Εἴ τις γηράσας ζῆν εὔχεται, ἄξιός ἐστι
γηράσκειν πολλῶν εἰς ἐτέων δεκάδας.

[ℙ] ### 56. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἕβρου Θρηϊκίου κρυμῷ πεπεδημένον ὕδωρ
νήπιος ἐμβαίνων, οὐκ ἔφυγεν θάνατον·
ἐς ποταμὸν δ' ἤδη λαγαρούμενον ἴχνος ὀλισθών,
κρυμῷ τοὺς ἁπαλοὺς αὐχένας ἀμφεκάρη.
καὶ τὸ μὲν ἐξεσύρη λοιπὸν δέμας· ἡ δὲ μένουσα
ὄψις ἀναγκαίην εἶχε τάφου πρόφασιν.
δύσμορος ἧς ὠδῖνα διείλατο πῦρ τε καὶ ὕδωρ·
ἀμφοτέρων δὲ δοκῶν, οὐδενός ἐστιν ὅλως.

---

Nr. 55. V. 2. πολλάς. Br. Nr. 56. V. 2. ἐκβαίνων. P. εἰσβ. Br. V. 7. διείλετο. Br. V. 8. ὅλος. Plan.

### 57. ΠΑΜΦΙΛΟΥ.

Τίπτε παναμέριος, Πανδιονὶ κάμμορε κούρα,
μυρομένα κελαδεῖς τραυλὰ διὰ στομάτων;
ἤ τοι παρθενίας πόθος ἵκετο, τάν τοι ἀπηύρα
Θρηΐκιος Τηρεὺς αἰνὰ βιησάμενος;

### 58. ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ κραναᾶς Βαβυλῶνος ἐπίδρομον ἅρμασι τεῖχος,
καὶ τὸν ἐπ' Ἀλφειῷ Ζᾶνα κατηυγασάμην,
κάπων τ' αἰώρημα, καὶ Ἠελίοιο κολοσσόν,
καὶ μέγαν αἰπεινᾶν πυραμίδων κάματον,
μνᾶμά τε Μαυσωλοῖο πελώριον· ἀλλ' ὅτ' ἐσεῖδον
Ἀρτέμιδος νεφέων ἄχρι θέοντα δόμον,
κεῖνα μὲν ἠμαύρωτο· τί κεῖνα δέ; νόσφιν Ὀλύμπου
Ἅλιος οὐδέν πω τοῖον ἐπηυγάσατο.

### 59. ΑΝΤΙΠΑΤΡΟΥ.

Τέσσαρες αἰωροῦσι τανυπτερύγων ἐπὶ νώτων
Νῖκαι ἰσηρίθμους υἱέας ἀθανάτων·
ἃ μὲν Ἀθηναίαν πολεμαδόκον, ἃ δ' Ἀφροδίταν,
ἃ δὲ τὸν Ἀλκείδαν, ἃ δ' ἀφόβητον Ἄρη,

---

Nr. 57. V. 3. παρθενίης. P. Nr. 58. V. 3. που του τ' αἰ. P. V. 5. Μαυσώλοιο. Br. V. 7. δὲ κὴν ιδε. P. V. 8. ἐπαυγάσατο. P. Nr. 59. V. 1. αἰωροῦσιν τὰν πτερύγων. P. V. 2. νίκα καί. P. V. 4. τὰν Ἀλ. P. ἃ δ' ἀμφίβοντον. Ib.

σεῖο κατ' εὐόροφον γραπτὸν τέγος· ἐς δὲ νέονται
οὐρανόν, ὦ Ῥώμας, Γαῖε, πάτρας ἔρυμα.
θείη ἀνίκατον μὲν ὁ βουφάγος· ἁ δέ [σε] Κύπρις
εὔγαμον· εὔμητιν Παλλάς· ἄτρεστον Ἄρης.

60. ΔΙΟΔΩΡΟΥ.

Πύργος ὅδ' εἰναλίης ἐπὶ χοιράδος, οὔνομα νήσῳ
ταὐτὸν ἔχων, ὅρμου σύμβολόν εἰμι Φάρος.

61. ΑΔΕΣΠΟΤΟΝ.

Γυμνὸν ἰδοῦσα Λάκαινα παλίντροπον ἐκ πολέμοιο
παῖδ' ἐὸν ἐς πάτραν ὠκὺν ἱέντα πόδα,
[P] ἀντίη ἀΐξασα δι' ἥπατος ἤλασε λόγχαν,
ἄῤῥενα ῥηξαμένα φθόγγον ἐπὶ κταμένῳ·
ἀλλότριον Σπάρτας, εἶπεν, γένος, ἔῤῥε πρὸς Ἅιδαν,
ἔῤῥ', ἐπεὶ ἐψεύσω πατρίδα καὶ γενέταν.

62. ΕΥΗΝΟΥ ΣΙΚΕΛΙΩΤΟΥ.

Ξεῖνοι, τὴν περίβωτον ἐμὲ πτόλιν, Ἴλιον ἱρήν,
τὴν πάρος εὐπύργοις τείχεσι κληζομένην,
αἰῶνος τέφρη κατεδήδοκεν· ἀλλ' ἐν Ὁμήρῳ
κεῖμαι, χαλκείων ἕρκος ἔχουσα πυλῶν.
οὐκέτι με σκάψει Τρωοφθόρα δούρατ' Ἀχαιῶν,
πάντων δ' Ἑλλήνων κείσομαι ἐν στόματι.

---

V. 6. γαῖαν. P. V. 7. ὁ μὲν ὁ. P. ἁ δὲ Κ. P. Nr. 60. V. 2. σύμβολα. P. Nr. 61. V. 2. ἐόντα πόδα. P. hoc loco. V. 6. γενέτην. P.

Digitized by Google

63. ΑΣΚΛΗΠΙΑΔΟΥ.

ΛΥΔΗ καὶ γένος εἰμὶ καὶ οὔνομα· τῶν δ' ἀπὸ Κόδρου
σεμνοτέρη πασῶν εἰμὶ δι' Ἀντίμαχον.
τίς γὰρ ἔμ' οὐκ ἤεισε; τίς οὐκ ἀνελέξατο Λύδην,
τὸ ξυνὸν Μουσῶν γράμμα καὶ Ἀντιμάχου;

64. ΑΣΚΛΗΠΙΑΔΟΥ, οἱ δὲ ἈΡΧΙΟΥ.

Αὐταί ποιμαίνοντα μεσαμβρινὰ μῆλά σε Μοῦσαι
ἔδρακον ἐν κραναοῖς οὔρεσιν, Ἡσίοδε,
καί σοι καλλιπέτηλον, ἐρυσσάμεναι περὶ πᾶσαι,
ὤρεξαν δάφνας ἱερὸν ἀκρέμονα,
δῶκαν δὲ κράνας Ἑλικωνίδος ἔνθεον ὕδωρ,
τὸ πτανοῦ πώλου πρόσθεν ἔκοψεν ὄνυξ,
οὗ σὺ κορεσσάμενος μακάρων γένος, ἔργα τε μολπαῖς
καὶ γένος ἀρχαίων ἔγραφες ἡμιθέων.

65. ἈΔΕΣΠΟΤΟΝ.

Γῇ μὲν ἔαρ κόσμος πολυδένδρεον· αἰθέρι δ', ἄστρα·
Ἑλλάδι δ', ἥδε χθών· οἵδε δέ, τῇ πόλει.

---

Nr. 64. V. 1. μεσαμερινά. P. V. 5. κρῆνας. P. V. 8. ἠϊθέων. P.
Nr. 65. V. 1. πολυδένδρεος. P. V. 2. τῆδε πόλει. Plan.

### 66. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Μναμοσύναν ἕλε θάμβος, ὅτ' ἔκλυε τᾶς μελιφώνου
 Σαπφοῦς, μὴ δεκάταν Μοῦσαν ἔχουσι βροτοί.

### 67. ΑΔΕΣΠΟΤΟΝ.

Στήλην μητρυιῆς, μικρὰν λίθον, ἔστεφε κοῦρος,
 ὡς βίον, ἠλλάχθαι καὶ τρόπον οἰόμενος·
ἡ δὲ τάφῳ κλινθεῖσα κατέκτανε παῖδα πεσοῦσα.
 φεύγετε μητρυιῆς καὶ τάφον οἱ πρόγονοι.

### 68. ΑΔΕΣΠΟΤΟΝ.

Μητρυιαὶ προγόνοισιν ἀεὶ κακόν· οὐδὲ φιλοῦσαι
 σώζουσιν· Φαίδρην γνῶθι καὶ Ἱππόλυτον.

### 69. ΠΑΡΜΕΝΙΩΝΟΣ ΜΑΚΕΔΟΝΟΣ.

Μητρυιῆς δύςμηνις ἀεὶ χόλος, οὐδ' ἐν ἔρωτι
 ἤπιος. οἶδα πάθη σώφρονος Ἱππολύτου.

### [¶] 70. ΜΝΑΣΑΛΚΟΥ.

Τραυλὰ μινυρομένα, Πανδιονὶ παρθένε, φωνᾷ,
 Τηρέος οὐ θεμιτῶν ἁψαμένα λεχέων,
τίπτε παναμέριος γοάεις ἀνὰ δῶμα, χελιδόν;
 παῦε, ἐπεί σε μένει καὶ κατόπιν δάκρυα.

---

Nr. 67. V. 1. *μιαράν.* Bentl. V. 2. *βίου.* P. V. 3. *κλινθέντα.* Br. Nr. 69. V. 1. *δύςμηνος.* P. Nr. 70. V. 1. *μινυρομένη.* P. V. 4. *παῦσαι.* Pl.

71. *ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.*

*Κλῶνες ἀπηόριοι ταναῆς δρυός, εὔσκιον ὕψος*
*ἀνδράσιν ἄκρητον καῦμα φυλασσομένοις,*
*εὐπέταλοι, κεράμων στεγανώτεροι, οἰκία φαττῶν,*
*οἰκία τεττίγων, ἔνδιοι ἀκρέμονες,*
*κἠμὲ τὸν ὑμετέραισιν ὑποκλινθέντα κόμαισιν*
*ῥύσασθ᾽, ἀκτίνων ἠελίου φυγάδα.*

72. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Εὔκολος Ἑρμείας, ὦ ποιμένες, ἐν δὲ γάλακτι*
*χαίρων, καὶ δρυΐνῳ σπενδόμενος μέλιτι·*
*ἀλλ᾽ οὐχ Ἡρακλέης· ἕνα δὲ κτίλον ἢ παχὺν ἄρνα*
*αἰτεῖ, καὶ πάντως ἓν θύος ἐκλέγεται.*
*ἀλλὰ λύκους εἴργει. τί δὲ τὸ πλέον, εἰ τὸ φυλαχθὲν*
*ὄλλυται εἴτε λύκοις, εἴθ᾽ ὑπὸ τοῦ φύλακος;*

73. *ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.*

*Εὐβοϊκοῦ κόλποιο παλινδίνητε θάλασσα,*
*πλαγκτὸν ὕδωρ, ἰδίοις ῥεύμασιν ἀντίπαλον,*
*ἠελίῳ κὴν νυκτὶ τεταγμένον ἐς τρίς, ἄπιστον,*
*ναυσὶν ὅσον πέμπεις χεῦμα δανειζόμενον.*
*θαῦμα βίου, θαμβῶ σε τὸ μυρίον, οὐδὲ ματεύω*
*σὴν στάσιν. ἀῤῥήτῳ ταῦτα μέμηλε φύσει.*

---

No. 71. V. 3. *φωτῶν.* P. V. 5. *τὴν ὑμετέροισιν.* P. V. 6. *φυγάδων* (α above δ). P. Nr. 72. V. 6. *λύκος.* P. Nr. 73. V. 5. *μαντεύω.* P. Fort. *οὐδὲ ματ.*

74. ΑΔΕΣΠΟΤΟΝ.

Ἀγρὸς Ἀχαιμενίδου γενόμην ποτέ, νῦν δὲ Μενίππου·
καὶ πάλιν ἐξ ἑτέρου βήσομαι εἰς ἕτερον.
καὶ γὰρ ἐκεῖνος ἔχειν μέ ποτ' ᾤετο, καὶ πάλιν οὗτος
οἴεται· εἰμὶ δ' ὅλως οὐδενός, ἀλλὰ Τύχης.

75. ΕΥΗΝΟΥ ΑΣΚΑΛΩΝΙΤΟΥ.

Κἤν με φάγῃς ἐπὶ ῥίζαν, ὅμως ἔτι καρποφορήσω,
ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ.

76. ΑΝΤΙΠΑΤΡΟΥ.

Δισσᾶν ἐκ βροχίδων ἁ μὲν μία πίονα κίχλαν,
ἁ μία δ' ἱππείᾳ κόσσυφον εἷλε πάγᾳ.
ἀλλὰ τὸ μὲν κίχλας θαλερὸν δέμας ἐς φάος Ἠοῦς
οὐκέτ' ἀπὸ πλεκτᾶς ἧκε δεραιοπέδας·
[P] ἁ δ' αὖθις μεθέηκε τὸν ἱερόν. ἦν ἄρ' ἀοιδῶν
φειδὼ κἠν κωφαῖς, ξεῖνε, λινοστασίαις.

77. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Πριομένα κάλλει Γανυμήδεος εἶπέ ποθ' Ἥρα,
θυμοβόρον ζάλου κέντρον ἔχουσα νόῳ·

---

Nr. 76. V. 3. ἀλλὰ μὲν κίχλης. P. V. 4. δερειοπέδας. P.

Digitized by Google

Ἄρσεν πῦρ ἔτεκεν Τροία Διΐ· τοιγὰρ ἐγὼ πῦρ
πέμψω ἐπὶ Τροίᾳ, πῆμα φέροντα Πάριν·
ἥξει δ' Ἰλιάδαις οὐκ αἰετός, ἀλλ' ἐπὶ θοίναν
γῦπες, ὅταν Δαναοὶ σκῦλα φέρωσι πόνων.

78. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Μὴ μέμψῃ μ' ἀπέπειρον ἀεὶ θάλλουσαν ὀπώρην
ἀχράδα, τὴν καρποῖς πάντοτε βριθομένην.
ὁππόσα γὰρ κλαδίοισι πεπαίνομεν, ἄλλος ἐφέλκει·
ὁππόσα δ' ὠμὰ μένει, μητρὶ περικρέμαται.

79. ΤΟΥ ΑΥΤΟΥ.

Αὐτοθελὴς καρποὺς ἀποτέμνομαι, ἀλλὰ πεπείρους
πάντοτε· μὴ σκληροῖς τύπτε με χερμαδίοις.
μηνίσει καὶ Βάκχος ἐνυβρίζοντι τὰ κείνου
ἔργα· Λυκούργειος μὴ λαθέτω σε τύχη.

80. ΤΟΥ ΑΥΤΟΥ.

Μάντιες ἀστερόεσσαν ὅσοι ζητεῖτε κέλευθον,
ἔῤῥοιτ' εἰκαίης ψευδολόγοι σοφίης.
ὑμέας ἀφροσύνη μαιώσατο, τόλμα δ' ἔτικτεν,
τλήμονας, οὐδ' ἰδίην εἰδότας ἀκλείην.

---

Nr. 77. V. 5. ἀετός. P. Nr. 78. V. 3. κλάδοισι. P. Nr. 79. V. 1. αὐτοθελης (ει above). P.

Digitized by Google

81. ΚΡΙΝΑΓΟΡΟΥ.

Μὴ εἴπῃς θάνατον βιοτῆς ὅρον· εἰσὶ καμοῦσιν,
ὡς ζωοῖς, ἀρχαὶ συμφορέων ἕτεραι.
ἄθρει Νικίεω Κῴου μόρον· ἤδη ἔκειτο
εἰν Ἀΐδῃ· νεκρὸς δ' ἦλθεν ὑπ' ἠέλιον.
ἀστοὶ γὰρ τύμβοιο μετοχλίσσαντες ὀχῆας,
εἴρυσαν ἐς ποινὰς τλήμονα δυςθανέα.

82. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Μηδ' ὅτ' ἐπ' ἀγκύρης, ὀλοῇ πίστευε θαλάσσῃ,
ναυτίλε, μηδ' εἴ τοι πείσματα χέρσος ἔχοι.
καὶ γὰρ Ἴων ὅρμῳ ἐνικάππεσεν· ἐς δὲ κόλυμβον
ναύτου τὰς ταχινὰς οἶνος ἔδησε χέρας.
φεῦγε χοροιτυπίην ἐπινήϊον. ἐχθρὸς Ἰάκχῳ
πόντος. Τυρσηνοὶ τοῦτον ἔθεντο νόμον.

83. ΦΙΛΙΠΠΟΥ.

Νηὸς ἐπειγομένης ὠκὺν δρόμον ἀμφεχόρευον
δελφῖνες, πελάγους ἰχθυφάγοι σκύλακες.
[¶] καπροφόνος δὲ κύων θηρσὶν κείνους ἰκελώσας,
δύςμορος, ὡς ἐπὶ γῆν εἰς βυθὸν ἐξέθορεν.
ὤλετο δ' ἀλλοτρίης θήρης χάριν· οὐ γὰρ ἐλαφρὸς
πάντων ἐστὶ κυνῶν ὁ δρόμος ἐν πελάγει.

---

Nr. 81. V. 1. βιότου. P. V. 2. ἑτέρων. Pl. V. 5. μετοχλήσαντες. P. Nr. 82. V. 1. ἀγκύρῃ. P. πιστεύετε. Ib.

### 84. ΑΝΤΙΦΑΝΟΥΣ.

*Νηὸς ἁλιστρέπτου πλαγκτὸν κύτος εἶδεν ἐπ' ἀκτῆς*
*μηλοβότης, βλοσυροῖς κύμασι συρόμενον,*
*χεῖρα δ' ἐπέῤῥιψεν· τὸ δ' ἐπεσπάσατ' ἐς βυθὸν ἅλμης*
*τὸν σώζονθ'· οὕτως πᾶσιν ἀπηχθάνετο.*
*ναυηγὸν δ' ὁ νομεὺς ἔσχεν μόρον. ὦ δι' ἐκείνην*
*καὶ δρυμοὶ χῆροι πορθμίδα, καὶ λιμένες.*

### 85. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

*Νῆα μὲν ὤλεσε πόντος, ἐμοὶ δ' ἔπορεν πάλι δαίμων*
*πλαζομένῳ φύσεως νῆα ποθεινοτέρην.*
*πατρὸς ἰδὼν γὰρ ἐγὼ δέμας εἰς ἐμὲ καίριον ἐλθόν,*
*μουνερέτης ἐπέβην, φόρτος ὀφειλόμενος.*
*ἤγαγε δ' εἰς λιμένας με, καὶ ἔσπειρεν δὶς ὁ πρέσβυς,*
*νήπιον ἐν γαίῃ, δεύτερον ἐν πελάγει.*

### 86. ΑΝΤΙΦΙΛΟΥ.

*Παμφάγος ἑρπηστὴς κατὰ δώματα, λιχνοβόρος μῦς,*
*ὄστρεον ἀθρήσας χείλεσι πεπταμένον,*
*πώγωνος διεροῖο νόθην ὠδάξατο σάρκα·*
*αὐτίκα δ' ὀστρακόεις ἐπλατάγησε δόμος,*
*ἁρμόσθη δ' ὀδύναισιν· ὁ δ' ἐν κλείθροισιν ἀφύκτοις*
*ληφθεὶς αὐτοφόνον τύμβον ἐπεσπάσατο.*

---

Nr. 84. V. 1. *πλακτόν*. P. *ἀπ' ἀκτῆς*. Plan. V. 2. *βλοσυρῆς*. P. Nr. 85. V. 5. *ἤγαγεν εἰς λ. δέ*. P. Nr. 86. V. 1. *δῶμα λ.* P. V. 3. *διεριοιο. νωθήν*. P.

Digitized by Google

## 87. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Μηκέτι νῦν μινύριζε παρὰ δρυΐ, μηκέτι φώνει
κλωνὸς ἐπ' ἀκροτάτου, κόσσυφε, κεκλιμένος.
ἐχθρόν σοι τόδε δένδρον· ἐπείγεο δ' ἄμπελος ἔνθα
ἀντέλλει γλαυκῶν σύσκιος ἐκ πετάλων·
κείνης ταρσὸν ἔρεισον ἐπὶ κλάδον, ἀμφί τ' ἐκείνῃ
μέλπε, λιγὺν προχέων ἐκ στομάτων κέλαδον.
δρῦς γὰρ ἐπ' ὀρνίθεσσι φέρει τὸν ἀνάρσιον ἰξόν·
ἁ δὲ βότρυν· στέργει δ' ὑμνοπόλους Βρόμιος.

## 88. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Μεμφομένη Βορέην ἐπεπωτώμην ὑπὲρ ἅλμης·
πνεῖ γὰρ ἐμοὶ Θρῄκης ἤπιος οὐδ' ἄνεμος.
[P] ἀλλά με τὴν μελίγηρυν ἀηδόνα δέξατο νώτοις
δελφίν, καὶ πτηνὴν πόντιος ἡνιόχει.
πιστοτάτῳ δ' ἐρέτῃ πορθμευομένη, τὸν ἄκωπον
ναύτην τῇ στομάτων θέλγον ἐγὼ κιθάρῃ.
εἰρεσίην δελφῖνες ἀεὶ Μούσῃσιν ἄμισθον
ἤνυσαν. οὐ ψεύστης μῦθος Ἀριόνιος.

---

Nr. 87. V. 6. στομάτων (σ written above). P. Nr. 88. V. 2. ἐκ γάρ. Br. V. 3. μελίγυριν. P. V. 8. Ἀρειόνιος. P.

### 89. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

*Λιμὸν ὀϊζυρὴν ἀπαμυνομένη πολύγηρως*
*Νικὼ σὺν κούραις ἠκρολόγει στάχυας.*
*ὤλετο δ' ἐκ θάλπους· τῇ δ' ἐκ καλάμης συνέριθοι*
*νῆσαν πυρκαϊὴν ἄξυλον ἐκ σταχύων.*
*μὴ νεμέσα, Δήμητερ, ἀπὸ χθονὸς εἰ βροτὸν οὖσαν*
*κοῦραι τοῖς γαίης σπέρμασιν ἠμφίεσαν.*

### 90. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

*Νηῶν ὠκυπόρων ὃς ἔχεις κράτος, ἵππιε δαῖμον,*
*καὶ μέγαν Εὐβοίης ἀμφικρεμῆ σκόπελον,*
*οὔριον εὐχομένοισι δίδου πλόον Ἄρεος ἄχρις*
*ἐς πόλιν, ἐκ Συρίης πείσματα λυσαμένοις.*

### 91. ΑΡΧΙΟΥ ΝΕΩΤΕΡΟΥ.

*Ἑρμῆ Κωρυκίων ναίων πόλιν, ὦ ἄνα, χαίροις,*
*Ἑρμῆ, καὶ λιτῇ προσγελάσαις ὁσίῃ.*

### 92. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

*Ἀρκεῖ τέττιγας μεθύσαι δρόσος· ἀλλὰ πιόντες*
*ἀείδειν κύκνων εἰσὶ γεγωνότεροι.*

---

Nr. 89. V. 3. Fort. *τῇ δ' αἱ καλάμης.* V. 4. *πῦρ καὶ ἦν.* P. Nr. 90. V. 2. *Εὐβοίβης.* P. Nr. 91. V. 1. *Κωρύκιον.* P.

ὧς καὶ ἀοιδὸς ἀνὴρ, ξενίων χάριν, ἀνταποδοῦναι
ὕμνους εὐέρκταις οἶδε, παθὼν ὀλίγα.
τοὔνεκα σοι πρώτως μὲν ἀμείβομεν· ἢν δ' ἐθέλωσιν
Μοῖραι, πολλάκι μοι κείσεαι ἐν σελίσιν.

93. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀντίπατρος Πείσωνι γενέθλιον ὤπασε βίβλον
μικρήν, ἐν δὲ μιῇ νυκτὶ πονησάμενος.
ἵλαος ἀλλὰ δέχοιτο, καὶ αἰνήσειεν ἀοιδόν,
Ζεὺς μέγας ὡς ὀλίγῳ πειθόμενος λιβάνῳ.

94. ΙΣΙΔΩΡΟΥ ΑΙΓΕΑΤΟΥ.

Πούλυπον ἀγρεύσας ποτὲ Τύννιχος, ἐξ ἁλὸς εἰς γῆν
ἔῤῥιψεν, δείσας θηρὸς ἱμαντοπέδην.
ἀλλ' ὅ γ' ἐφ' ὑπνώοντα πεσὼν συνέδησε λαγωόν,
φεῦ, τάχα θηρευτὰς ἄρτι φυγόντα κύνας.
ἀγρευθεὶς ἤγρευσεν. ὁ δ' εἰς ἅλα Τύννιχος ἰχθὺν
ἧκε πάλιν ζωόν, λύτρα λαγωὸν ἔχων.

[P] 95. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Χειμερίοις νιφάδεσσι παλυνομένα τιθὰς ὄρνις,
τέκνοις εὐναίας ἀμφέχεε πτέρυγας,

---

Nr. 92. V. 5. τοὔνεκά σοι πρ. ἀμειβομένην δ'. P. σε πρ. μὲν ἀμείβομαι. ἢν δ'. Br. Fort. νῦν πρ. μέν. V. 6. κείσεται. P. Nr. 93. V. 4. σπεισόμενος. P. Nr. 94. V. 6. ζωῆς λύτρ. Plan. Nr. 95. V. 1. χειμερίαις. Plan. τιτθάς. P.

μέσφα μιν οὐράνιον κρύος ὤλεσεν· ἦ γὰρ ἔμεινεν
αἰθέρος, οὐρανίων ἀντίπαλος νεφέων.
Πρόκνη καὶ Μήδεια, κατ᾽ Ἄϊδος αἰδέσθητε,
μητέρες,] ὀρνίθων ἔργα διδασκόμεναι.

96. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἀντιγένης ὁ Γελῷος ἔπος ποτὲ τοῦτο θυγατρὶ
εἶπεν, ὅτ᾽ ἦν ἤδη νεύμενος εἰς Ἀΐδην·
παρθένε καλλιπάρῃε, κόρη δ᾽ ἐμή, ἴσχε συνεργὸν
ἠλακάτην, ἀρκεῦν κτῆμα πένητι βίῳ·
ἢν δ᾽ ἵκῃ εἰς ὑμέναιον, Ἀχαιΐδος ἤθεα μητρὸς
χρηστὰ φύλασσε, πόσει προῖκα βεβαιοτάτην.

97. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ἀνδρομάχης ἔτι θρῆνον ἀκούομεν, εἰςέτι Τροίην
δερκόμεθ᾽ ἐκ βάθρων πᾶσαν ἐρειπομένην,
καὶ μόθον Αἰάντειον, ὑπὸ στεφάνῃ τε πόληος
ἔκδετον ἐξ ἵππων Ἕκτορα συρόμενον,
Μαιονίδεω διὰ μοῦσαν, ὃν οὐ μία πατρὶς ἀοιδὸν
κοσμεῖται, γαίης δ᾽ ἀμφοτέρης κλίματα.

---

V. 3. οὐράνιος (ν supra). P. V. 4. Fort. αἴθριος, οὐραν. Nr. 96. V. 2. νεύματος εἰς ἄϊδαν. P. V. 4. ἀρκεῦ. P. Nr. 97. V. 2. ἐκ βαράθρων. P. V. 4. ηδὲ τόν. P.

Digitized by Google

98. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

Οἰδίποδες δισσοί σε, καὶ Ἠλέκτρη βαρύμηνις,
καὶ δείπνοις ἐλαθεὶς Ἀτρέος Ἠέλιος,
ἄλλα τε πουλυπαθέσσι, Σοφόκλεες, ἀμφὶ τυράννοις
ἄξια τῆς Βρομίου βύβλα χοροιτυπίης
ταγὸν ἐπὶ τραγικοῖο κατήνεσσαν θιάσοιο,
αὐτοῖς ἡρώων φθεγξάμενον στόμασιν.

99. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἴξαλος εὐπώγων αἰγὸς πόσις ἔν ποθ' ἀλωῇ
οἴνης τοὺς ἁπαλοὺς πάντας ἔδαψε κλάδους.
τῷ δ' ἔπος ἐκ γαίης τόσον ἄπυε· κεῖρε, κάκιστε,
γναθμοῖς ἡμέτερον κλῆμα τὸ καρποφόρον·
ῥίζα γὰρ ἔμπεδος οὖσα πάλιν [γλυκὺ] νέκταρ ἀνήσει,
ὅσσον ἐπισπεῖσαι σοί, τράγε, θυομένῳ.

100. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Λητοῦς ὠδίνων ἱερὴ τροφέ, τὴν ἀσάλευτον
Αἰγαίῳ Κρονίδης ὡρμίσατ' ἐν πελάγει,
[P] οὐ νύ σε δειλαίην, μὰ τεούς, δέσποινα, βοήσω,
δαίμονας, οὐδὲ λόγοις ἕψομαι Ἀντιπάτρου.

---

Nr. 98. V. 1. *δισσοί τε.* P. V. 4. *χαροι τυπίης.* P. V. 5. *ἐπεί.* P. Nr. 99. V. 3. Fort. *ἡ δ' ἔπος.* P. V. 5. *γλυκὺ* om. P. Nr. 100. V. 3. *τεοῦ.* V. 4. *δαίμονος.* P.

Digitized by Google

ὀλβίζω δ', ὅτι Φοῖβον ἐδέξαο, καὶ μετ' Ὄλυμπον
Ἄρτεμις οὐκ ἄλλην ἢ σὲ λέγει πατρίδα.

## 101. ΤΟΥ ΑΥΤΟΥ.

Ἡρώων ὀλίγαι μὲν ἐν ὄμμασιν, αἱ δ' ἔτι λοιπαὶ
πατρίδες οὐ πολλῷ γ' αἰπύτεραι πεδίων,
οἵην καὶ σέ, τάλαινα, παρερχόμενός γε Μυκήνην
ἔγνων, αἰπολίου παντὸς ἐρημοτέρην,
αἰπολικὸν μήνυμα· γέρων δέ τις, ἡ πολύχρυσος,
εἶπεν, Κυκλώπων τῆδ' ἐπέκειτο πόλις.

## 102. ΑΝΤΩΝΙΟΥ ΑΡΓΕΙΟΥ.

Ἡ πρὶν ἐγὼ Περσῆος ἀκρόπτολις αἰθερίοιο,
ἡ πικρὸν Ἰλιάδαις ἀστέρα θρεψαμένη,
αἰπολίοισιν ἔναυλον ἐρημαίοισιν ἀνεῖμαι,
τίσασα Πριάμου δαίμοσιν ὀψὲ δίκας.

## 103. ΜΟΥΝΔΟΥ ΜΟΥΝΑΤΙΟΥ.

Ἡ πολύχρυσος ἐγὼ τὸ πάλαι πόλις, ἡ τὸν Ἀτρειδῶν
οἶκον ἀπ' οὐρανίου δεξαμένη γενεῆς,

---

V. 6. Ἄρτεμιν et λέγειν. P. Nr. 101. V. 1. μὲν ὀνόματι. P. V. 2. πολλῶν. P. πολλὸν αἰπ. Br. V. 3. Μυκήνη. Br. V. 4. Fort. ἔγνωκα, σκοπέλου. Nr. 102. V. 1. ἀκρέπτολις. P. V. 3. ἀνεῖσα. P. Nr. 103. V. 1. ἡ τῶν. P.

ἡ Τροίην πέρσασα θεόκτιτον, ἡ βασίλειον
ἀσφαλὲς Ἑλλήνων οὖσά ποθ' ἡμιθέων,
μηλόβοτος κεῖμαι καὶ βούνομος ἔνθα Μυκήνη,
τῶν ἐπ' ἐμοὶ μεγάλων οὔνομ' ἔχουσα μόνον.
Ἴλιον ἅ Νεμέσει μεμελημένον, εἴ γε, Μυκήνης
μηκέθ' ὁρωομένης, ἐσσί, καὶ ἐσσὶ πόλις.

104. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ἄργος, Ὁμηρικὲ μῦθε, καὶ Ἑλλάδος ἱερὸν οὖδας,
καὶ χρυσέη τὸ πάλαι Περσέος ἀκρόπολι,
ἐσβέσαθ' ἡρώων κείνων κλέος, οἵ ποτε Τροίης
ἤρειψαν κατὰ γῆς θειόδομον στέφανον.
ἀλλ' ἡ μὲν κρείσσων ἐστὶν πόλις· αἱ δὲ πεσοῦσαι
δείκνυσθ' εὐμύκων αὔλια βουκολίων.

105. ΑΔΕΣΠΟΤΟΝ.

Ἐκλάσθην ἀνέμοισι πίτυς. τί με τεύχετε νῆα,
ναυηγῶν ἀνέμων χερσόθι γευσαμέναν;

106. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Ὁλκάδα πῦρ μ' ἔφλεξε, τόσην ἅλα μετρήσασαν,
ἐν χθονί, τῇ πεύκας εἰς ἐμὲ κειραμένη,

---

V. 7. ἰλάον ἀναμέσει. P. Nr. 104. V. 4. ἤριψαν. P. V. 6. εὐμήκων αὔλεα. P. Nr. 106. V. 2. κειρομένη.

Digitized by Google

ἣν πέλαγος διέσωσεν ἐπ' ἠόνος· ἀλλὰ θαλάσσης
τὴν ἐμὲ γειναμένην εἶρον ἀπιστοτέρην.

[P] 107. ΤΟΥ ΑΥΤΟΥ.

Τὴν μικρήν με λέγουσι, καὶ οὐκ ἴσα ποντοπορεύσαις
ναυσὶ διϊθύνειν ἄτρομον εὐπλοΐην·
οὐκ ἀπόφημι δ' ἐγώ. βραχὺ μὲν σκάφος· ἀλλὰ θαλάσσῃ
πᾶν ἴσον· οὐ μέτρων ἡ κρίσις, ἀλλὰ τύχης.
ἔστω πηδαλίοις ἑτέρη πλέον· ἄλλο γὰρ ἄλλῃ
θάρσος· ἐγὼ δ' εἴην δαίμοσι σωζομένη.

108. ΑΔΕΣΠΟΤΟΝ.

Ὁ Ζεὺς πρὸς τὸν Ἔρωτα· Βέλη τὰ σὰ πάντ' ἀφελοῦμαι·
χὠ πτανός· Βρόντα, καὶ πάλι κύκνος ἔσῃ.

109. ΙΟΥΛΙΟΥ ΔΙΟΚΛΕΩΣ.

Οὐκ οἶδ' εἴτε σάκος λέξαιμί σε, τὴν ἐπὶ πολλοὺς
ἀντιπάλους πιστὴν σύμμαχον ὡπλισάμην,
εἴτε δὲ βαιὸν ἐμοὶ πόντου σκάφος, ἤ μ' ἀπὸ νηὸς
ὀλλυμένης κόμισας νηκτὸν ἐπ' ἠϊόνας.
Ἄρεος ἐν πολέμοις ἔφυγον χόλον, ἔν τε θαλάσσῃ
Νηρῆος· σὺ δ' ἄρ' ἧς ὅπλον ἐν ἀμφοτέροις.

V. 4. γεινομένην, P. Nr. 107. V. 1. ποντοπορεῦσαι. P. Nr. 109. V. 4. ὀλλυμένους (η), P. V. 5. ἐν δὲ θ. Plan.

### 110. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Οὐ στέργω βαθυληΐους ἀρούρας,
οὐκ ὄλβον πολύχρυσον, οἷα Γύγης.
αὐτάρκους ἔραμαι βίου, Μακρῖνε·
τὸ Μηθὲν γὰρ ἄγαν ἄγαν με τέρπει.

### 111. ΑΡΧΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Θρήϊκας αἰνείτω τις, ὅτι στοναχεῦσι μὲν υἷας
μητέρος ἐκ κόλπων πρὸς φάος ἐρχομένους·
ἔμπαλι δ' ὀλβίζουσιν ὅσους αἰῶνα λιπόντας
ἀπροϊδὴς Κηρῶν λάτρις ἔμαρψε Μόρος.
οἱ μὲν γὰρ ζώοντες ἀεὶ παντοῖα περῶσιν
ἐς κακά, τοὶ δὲ κακῶν εὗρον ἄκος φθίμενοι.

### 112. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟ-ΝΙΚΕΩΣ.

Τρὶς δέκα με πνεύσειν καὶ δὶς τρία μάντιες ἄστρων
φασίν· ἐμοὶ δ' ἀρκεῖ καὶ δεκὰς ἡ τριτάτη.
τοῦτο γὰρ ἀνθρώποις βιοτῆς ὅρος· οἱ δ' ἐπὶ τούτοις
Νέστορι· καὶ Νέστωρ δ' ἤλυθεν εἰς Ἀΐδην.

### 113. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Οἱ κόρις ἄχρι κόρου κορέσαντό μου· ἀλλ' ἐκορέσθην
ἄχρι κόρου κἀυτὸς τοὺς κόρις ἐκκορίσας.

---

Nr. 111. V. 6. φθίμενος. P. Nr. 112. V. 1. τρεῖς. P. V. 3. Fort. ἡ δ' ἐπί. — τούτους. P. Nr. 113. V. 1. κορέσαντό με. P.

### 114. ΤΟΥ ΑΥΤΟΥ.

Παιδὸς ἀφ' ὑψηλῶν κεράμων ὑπὲρ ἄκρα μέτωπα
κύπτοντος, (Μοῖρα νηπιάχοις ἄφοβον)
[P] μήτηρ ἐξόπιθεν μαζῷ μετέτρεψε νόημα.
δὶς δὲ τέκνῳ ζωὴν ἐγκεχάριστο γάλα.

### 115. ΑΔΕΣΠΟΤΟΝ.

Ἀσπίδ' Ἀχιλλῆος, τὴν Ἕκτορος αἷμα πιοῦσαν,
Λαρτιάδης Δαναῶν ἦρε κακοκρισίῃ·
ναυηγοῦ δὲ θάλασσα κατέσπασε, καὶ παρὰ τύμβον
Αἴαντος νηκτὴν ὥρμισεν, οὐκ Ἰθάκῃ.
καὶ κρίσιν Ἑλλήνων στυγερὴν ἀπέδειξε θάλασσα,
καὶ Σαλαμὶς ἀπέχει κῦδος ὀφειλόμενον.

### 116. ΑΛΛΟ.

Καλὰ Ποσειδάων δίκασεν πολὺ μᾶλλον Ἀθήνης·
ἀσπὶς ἐν αἰγιαλοῖσι βοᾷ, καὶ σῆμα τινάσσει,
αὐτόν σ' ἐκκαλέουσα, τὸν ἄξιον ἀσπιδιώτην.
ἔγρεο, παῖ Τελαμῶνος, ἔχεις σάκος Αἰακίδαο.

### 117. ΣΤΑΤΥΛΛΙΟΥ.

Πένθιμον ἡνίκα πατρὶ Πολυξείνης ὑμέναιον
ἤνυσεν ὀγκωτοῦ Πύῤῥος ὕπερθε τάφου,

---

Nr. 114. V. 2. μοῖραν. Pl. μοῖραι corr. Passow. V. 3. ἐξόπισθε. P. μετέστρεψε. Ib. Nr. 115. V. 2. εἷλε κακ. Plan. V. 4. ὤμισεν. P. Nr. 116. V. 3. σε καλέουσα. P.

ὧδε πολυκλαύτοιο κόμας λακίσασα καρήνου
    Κισσηΐς τεκέων κλαῦσε φόνους Ἑκάβη·
Πρόσθε μὲν ἀξονίοις φθιτὸν εἴρυσας Ἕκτορα δεσμοῖς·
    νῦν δὲ Πολυξείνης αἷμα δέχῃ φθίμενος·
Αἰακίδη, τί τοσοῦτον ἐμὴν ὠδύσσαο νηδύν;
    παισὶν ἔφυς γὰρ ἐμοῖς ἤπιος οὐδὲ νέκυς.

118. ΒΗΣΑΝΤΙΝΟΥ.

Ὤ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο·
    τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσαμένης.

119. ΤΟΥ ΑΥΤΟΥ. [ΠΑΛΛΑΔΑ.]

Εἴ τις ἀνὴρ ἄρχων ἐθέλει κολάκων ἀνέχεσθαι,
    πολλοὺς ἐκδώσει τοῖς μιαροῖς στόμασιν·
ὥστε χρὴ τὸν ἄριστον, ἀπεχθαίροντα δικαίως,
    ὡς κόλακας μισεῖν τοὺς κολακευομένους.

120. ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΩΣΑΤΕΩΣ.

Φαῦλος ἀνὴρ πίθος ἐστὶ τετρημένος, εἰς ὃν ἁπάσας
    ἀντλῶν τὰς χάριτας, εἰς κενὸν ἐξέχεας.

121. ΑΔΗΛΟΝ.

Σπάρτης καὶ Σαλαμῖνος ἐγὼ φυτὸν ἀμφήριστον·
    κλαίω δ' ἠϊθέων ἔξοχον ἢ προμάχων.

---

Nr. 117. V. 5. εὐξενίοις. P. V. 7. ὠδύσαο. P. ἐμῇ ὠ. νηδυῖ. Schaefer. Fort. ἐμὴν ὠνόσσαο νηδύν. Nr. 118. V. 2. ἀπονισαμένης. P. Nr. 121. V. 2. κλείω. P. hoc loco. — Fort. ἐν προμάχοις.

Digitized by Google

### 122. ΑΔΕΣΠΟΤΟΝ, οἱ δὲ ΕΥΗΝΟΥ.

Ἀτθὶ κόρα, μελίθρεπτε, λάλος λάλον ἁρπάξασα
    τέττιγα πτανοῖς δαῖτα φέρεις τέκεσιν,
[P] τὸν λάλον ἁ λαλόεσσα, τὸν εὔπτερον ἁ πτερόεσσα,
    τὸν ξένον ἁ ξείνα, τὸν θερινὸν θερινά;
κοὐχὶ τάχος ῥίψεις; οὐ γὰρ θέμις, οὐδὲ δίκαιον,
    ὄλλυσθ' ὑπνοπόλους ὑμνοπόλοις στόμασιν.

### 123. ΑΔΕΣΠΟΤΟΝ.

Ἐκ θοίνης φάος ἔσχεν ἐπ' ἀχράδα μηλὰς ἰοῦσα,
    ἐκ δ' ἐφάνη τυφλὴν μηκέτ' ἔχουσα κόρην.
δισσῶν τὴν ἑτέρην γὰρ ἐκέντρισεν ὀξὺς ἀκάνθης
    ὄζος. ἴδ' ὡς τέχνης δένδρον ἐνεργότερον.

### 124. ΑΔΗΛΟΝ.

εἰς δάφνην τὸ φυτόν.

Ποῖ Φοῖβος πεπόρευται; Ἄρης ἀναμίγνυτο Δάφνῃ;

### 125. ΑΔΗΛΟΝ.

Θαρσαλέοι Κελτοὶ ποταμῷ ζηλήμονι Ῥήνῳ
τέκνα ταλαντεύουσι, καὶ οὐ πάρος εἰσὶ τοκῆες,
πρὶν παῖν ἀθρήσωσι λελουμένον ὕδατι σεμνῷ.
αἶψα γὰρ ἡνίκα μητρὸς ὀλισθήσῃ διὰ κόλπων

---

Nr. 122. V. 2. τετιγγαπτανοῖς. P. τέττιγ' ἀπτῆσιν. Br. V. 4. εὐξείνα. P. hoc loco. V. 5. οὐχί. Plan. V. 6. ὄλλυθ' et ὄλλυσθαι. P. Nr. 123. V. 1. εἰ (ἐκ) χθονίης. P. hoc loco. Nr. 124. πορεύεται et ἀναμίγνυται. P. πεπόρευτο et ὅτ' ἐμίγνυτο. Plan. Nr. 125. V. 4. ὀλισθήσας. Plan. διὰ λώπων (κόλπων) νηπίαχον. P.

*νηπίαχος, πρῶτον προχέει δάκρυ, τὸν μὲν ἀείρας*
*αὐτὸς ἐπ᾽ ἀσπίδι θῆκεν ἑὸν πάϊν, οὐδ᾽ ἀλεγίζει·*
*οὔπω γὰρ γενέταο φέρει νόον, πρίν γ᾽ ἐςαθρήσῃ*
*κεκριμένον λουτροῖσιν ἐλεγξιγάμου ποταμοῖο.*
*ἡ δὲ μετ᾽ εἰλήθυιαν ἐπ᾽ ἄλγεσιν ἄλγος ἔχουσα*
*μήτηρ, εἰ καὶ παιδὸς ἀληθέα οἶδε τοκῆα,*
*ἐκδέχεται τρομέουσα, τί μήσεται ἄστατον ὕδωρ.*

### 126. *ΑΔΕΣΠΟΤΟΝ.*

*τίνας ἂν εἴποι λόγους Κλυταιμνήστρα Ὀρέστου μέλλοντος αὐτὴν σφάξαι.*

*Πῆ ξίφος ἰθύνεις; κατὰ γαστέρος, ἢ κατὰ μαζῶν;*
*γαστὴρ ἥ σ᾽ ἐλόχευσεν, ἀνεθρέψαντο δὲ μαζοί.*

### 127. *ΑΔΕΣΠΟΤΟΝ.*

*Ἂν περιλειφθῇ μικρὸν ἐν ἄγγεσιν ἡδέος οἴνου,*
*εἰς ὀξὺ τρέπεται τοῦτο τὸ λειπόμενον.*
*οὕτω ἀπαντλήσας τὸν ὅλον βίον, εἰς βαθὺ δ᾽ ἐλθὼν*
*γῆρας ὁ πρεσβύτης, γίγνεται ὀξύχολος.*

### 128. *ΑΔΗΛΟΝ.*

*Εἷρπε δράκων, καὶ ἔπινεν ὕδωρ· σβέννυντο δὲ πηγαί,*
*καὶ ποταμὸς κεκόνιστο, καὶ ἦν ἔτι διψαλέος θήρ.*

---

V. 5. Fort. *πρῶτόν τε χέῃ δ.* V. 6. *θῆκε νέον.* Pl. V. 8. *κεκρυμένον λ. ἐλεγχιγάμου.* P. V. 11. *μήσετο.* P. Nr. 126. V. 2. Fort. *γαστὴρ ἔκ σ᾽ ἐλόχ.* Nr. 127. V. 3. *οὕτως.* P. hoc loco.

### 129. ΝΕΣΤΟΡΟΣ.

Εἷρπε τὸ μέν, τὸ δ' ἔμελλε, τὸ δ' ἦν ἔτι νωθρὸν ἐν εὐνῇ.
αὐτὰρ ὁ διψήσας ποταμῷ ὑπέθηκε γένειον.
πᾶς δ' ἄρα Κηφισὸς εἴσω ῥέεν· ἀργαλέον δὲ
ἀνθερεὼν κελάρυζε. κατερχομένου δὲ ῥεέθρου,
Κηφισὸν κώκυον ὀλωλότα πολλάκι Νύμφαι.

### 130. ΑΔΗΛΟΝ.

Παλλάδος εἰμὶ φυτόν· Βρομίου τί με θλίβετε κλῶνες;
ἄρατε τοὺς βότρυας· παρθένος οὐ μεθύω.

### 131. ΑΔΗΛΟΝ.

Οὔρεσιν ἐν δολιχοῖς βλωθρὴν πίτυν ὑέτιός με
πρόῤῥιζον γαίης ἐξεκύλισε Νότος·
ἔνθεν ναῦς γενόμην, ἀνέμοις πάλιν ὄφρα μάχωμαι.
ἄνθρωποι τόλμης οὔ ποτε φειδόμενοι.

### 132. ΑΔΕΣΠΟΤΟΝ.

Σωφροσύνη καὶ Ἔρως κατεναντίον ἀλλήλοισιν
ἐλθόντες ψυχὰς ὤλεσαν ἀμφότεροι.

---

Nr. 129. V. 1. τὸ δ' ἔτι. P. V. 3. Κηφισσός. P. V. 5. Κηφισσόν. P.
Nr. 131. V. 2. ἐξεκύλισσε. P.

Digitized by Google

Φαίδρην μὲν κτεῖνεν πυρόεις πόθος Ἱππολύτοιο·
  Ἱππόλυτον δ' ἁγνὴ πέφνε σαοφροσύνη.

133. ΑΔΗΛΟΝ.

Εἴ τις ἅπαξ γήμας πάλι δεύτερα λέκτρα διώκει,
  ναυηγὸς πλώει δὶς βυθὸν ἀργαλέον.

134. ΠΑΛΛΑΔΑ ΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Ἐλπίς, καὶ σὺ Τύχη, μέγα χαίρετε· τὴν ὁδὸν εὗρον.
οὐκέτι γὰρ σφετέροις ἐπιτέρπομαι· ἔῤῥετε ἄμφω,
οὕνεκεν ἐν μερόπεσσι πολυπλανέες μάλα ἐστέ.
ὅσσα γὰρ ἀτρεκέως οὐκ ἔσσεται ὔμμες ἐν ἡμῖν
φάσματα, ὡς ὕπνῳ, ἐμβάλλετε, οἷά τ' ἐόντα.
ἔῤῥε κακὴ γλήνη, πολυώδυνε· ἔῤῥετε ἄμφω.
παίζοιτε, * ἴετε θέλοιτε οὓς ἐμεῦ ὕστερον ὄντας
εὕροιτ' οὐ νοέοντας ὅπερ θέμις ἐστὶ νοῆσαι.

135. ΑΛΛΟ.

Ἀτρεκέως μάλα πᾶσι πλάνη Τύχη ἐστὶ βροτοῖσι·
ἐστὶ γὰρ ἀδρανέη, τὸ δ' ἐπιπλέον οὐδὲ πέλουσα.
[γράψε τίς; οἶδε θεός· τίνος εἵνεκεν; οἶδε καὶ αὐτός.]

Nr. 132. V. 4. αγανὴ πέφνεν σωφροσύνα. P. Nr. 134. V. 5. ὡς ἐν ὕπνῳ. Pl. V. 6. πολυώδινε. P. V. 7. στροφέοιτε ὕσους. Plan. Fort: παίζετε, τείρετε, φλᾶτε ὕσους. Nr. 135. cohaeret cum praecedente in P.

Digitized by Google

136. ΚΥΡΟΥ.

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν·
ὥς κεν ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτρῃς
συρίσδων καλάμοισιν ἐμὰς τέρπεσκον ἀνίας.
Πιερίδες φεύγωμεν ἐϋκτιμένην πόλιν, ἄλλην
πατρίδα μαστεύσωμεν. ἀπαγγελέω δ' ἄρα πᾶσιν,
ὡς ὀλοοὶ κηφῆνες ἐδηλήσαντο μελίσσας.

[P] 137. ΓΡΑΜΜΑΤΙΚΟΥ

τινὸς ἡμιξήρου πρὸς Ἀδριανὸν τὸν βασιλέα.

Ἥμισύ μου τέθνηκε, τὸ δ' ἥμισυ λιμὸς ἐλέγχει·
σῶσόν μου, βασιλεῦ, μουσικὸν ἡμίτονον.

πρὸς ὃν ὁ βασιλεὺς ΑΔΡΙΑΝΟΣ
ἀπεκρίνατο·

Ἀμφοτέρους ἀδικεῖς, καὶ Πλουτέα, καὶ Φαέθοντα·
τὸν μέν, ἔτ' εἰσορόων, τοῦ δ' ἀπολειπόμενος.

138. ΑΔΕΣΠΟΤΟΝ.

Ἦν νέος, ἀλλὰ πένης· νῦν γηρῶν πλούσιός εἰμι,
ὢ μόνος ἐκ πάντων οἰκτρὸς ἐν ἀμφοτέροις·
ὃς τότε μὲν χρῆσθαι δυνάμην, ὁπότ' οὐδὲ ἓν εἶχον·
νῦν δ' ὁπότε χρῆσθαι μὴ δύναμαι, τότ' ἔχω.

---

Nr. 137. V. 2. ἡμίτομον. P. Nr. 138. V. 3. οὐδέν. P.

### 139. ΚΛΑΥΔΙΑΝΟΥ.

Μαχλὰς ἐϋκροτάλοισιν ἀνευάζουσα χορείαις,
δίζυγα παλλομένοισι τινάγμασι χαλκὸν ἀράσσει·
* * *
τῆς μὲν ὑποκλέπτων πολιὴν τρίχα, γείτονα μοίρης.
ἠλεμάτοις ἀκτῖσι χαράσσεται ὄμματος αὐγή·
ψευδόμενον δ' ἐρύθημα κατέγραφεν ἄχροος αἰδώς,
ἀγλαΐῃ στέψασα νόθῃ κεκαλυμμένα μῆλα.

### 140. ΤΟΥ ΑΥΤΟΥ.

εἰς δοῦλόν τινα τυφθέντα παρ' αὐτοῦ διὰ τὸ μὴ ἐπιδοῦναι σέλλιον ἐν ἀκροάσει.

Ἕδρην χαλκεόπεζον ἐπὶ προθύροις Ἑλικῶνος
εἱστήκει θεράπων τις ὑπὲρ νώτοιο μεμαρπώς,
οὐδ' ἔθελεν μογέοντι πορεῖν ἐπίβαθρον ἀοιδῆς.
τοὔνεκά μευ θώρηξε νόον πολύμητις ἀνάγκη.

### 141. ΑΔΕΣΠΟΤΟΝ.

Κοινῇ πὰρ κλισίῃ ληθαργικὸς ἠδὲ φρενοπλὴξ
κείμενοι, ἀλλήλων νοῦσον ἀπεσκέδασαν.
ἐξέθορε κλίνης γὰρ ὁ τολμήεις ὑπὸ λύσσης,
καὶ τὸν ἀναίσθητον παντὸς ἔτυπτε μέλους.

---

Nr. 139. V. 4. αὔρη. P. Nr. 140. V. 1. χαλκεόπεζαν. P. V. 4. θώρηξεν ἰόν. P. Nr. 141. V. 1. παρα κλ. P. V. 2. ἀπεσκέδασαν. P. V. 3. ὑποτολύσσης. P. V. 4. ἔτυψε. Br.

Digitized by Google

πληγαὶ δ' ἀμφοτέροις ἐγένοντ' ἄκος, αἷς ὁ μὲν αὐτῶν
ἔγρετο, τὸν δ' ὕπνῳ πουλὺς ἔριψε κόπος.

142. ΑΔΕΣΠΟΤΟΝ.

Κρημνοβάταν, δίκερων, Νυμφῶν ἡγήτορα Πᾶνα
ἀζόμεθ', ὃς πέτρινον τόνδε κέκευθε δόμον,
ἵλαον ἔμμεναι ἄμμιν, ὅσοι λίβα τήνδε μολόντες
ἀενάου πόματος, δίψαν ἀπωσάμεθα.

[P] 143. ΑΝΤΙΠΑΤΡΟΥ.

Λιτός τοι δόμος οὗτος, (ἐπεὶ παρὰ κύματι πηγῷ
ἵδρυμαι νοτερῆς δεσπότις ἠϊόνος)
ἀλλὰ φίλος· πόντῳ γὰρ ἐπὶ πλατὺ δειμαίνοντι
χαίρω, καὶ ναύταις εἰς ἐμὲ σωζομένοις.
ἱλάσκευ τὴν Κύπριν· ἐγὼ δέ σοι ἢ ἐν ἔρωτι
οὔριος, ἢ χαροπῷ πνεύσομαι ἐν πελάγει.

144. ΑΝΥΤΗΣ.

Κύπριδος οὗτος ὁ χῶρος, ἐπεὶ φίλον ἔπλετο τήνα
αἰὲν ἀπ' ἠπείρου λαμπρὸν ὁρῆν πέλαγος,
ὄφρα φίλον ναύτῃσι τελῇ πλόον· ἀμφὶ δὲ πόντος
δειμαίνει, λιπαρὸν δερκόμενος ξόανον.

---

Nr. 142. V. 3. ἄμμι. P. Nr. 144. V. 4. λαμπρόν. P.

Digitized by Google

### 145. ΑΔΕΣΠΟΤΟΝ.

Ἐλθὼν εἰς Ἀΐδην, ὅτε δὴ σοφὸν ἤνυσε γῆρας,
Διογένης ὁ κύων Κροῖσον ἰδὼν ἐγέλα,
καὶ στρώσας ὁ γέρων τὸ τριβώνιον ἐγγὺς ἐκείνου,
τοῦ πολὺν ἐκ ποταμοῦ χρυσὸν ἀφυσσαμένου,
εἶπεν· ἐμοὶ καὶ νῦν πλείων τόπος· ὅσσα γὰρ εἶχον,
πάντα φέρω σὺν ἐμοί, Κροῖσε, σὺ δ᾽ οὐδὲν ἔχεις.

### 146. ΑΔΕΣΠΟΤΟΝ.

Ἐλπίδα καὶ Νέμεσιν Εὔνους παρὰ βωμὸν ἔτευξα·
τὴν μέν, ἵν᾽ ἐλπίζῃς· τὴν δ᾽, ἵνα μηδὲν ἔχῃς.

### 147. ΑΝΤΑΓΟΡΟΥ ΡΟΔΙΟΥ.

Ὦ ἴτε Δήμητρος πρὸς ἀνάκτορον, ὦ ἴτε μύσται,
μηδ᾽ ὕδατος προχοὰς δείδετε χειμερίους.
τοῖον γὰρ Ξενοκλῆς ὁ Λίνδιος ἀσφαλὲς ὔμμιν
Ζεῦγμα διὰ πλατέος τοῦδ᾽ ἔβαλεν ποταμοῦ.

### 148. ΑΔΕΣΠΟΤΟΝ.

Τὸν βίον, Ἡράκλειτε, πολὺ πλέον ἤπερ ὅτ᾽ ἔζης,
δάκρυε· νῦν ὁ βίος ἔστ᾽ ἐλεεινότερος.
τὸν βίον ἄρτι γέλα, Δημόκριτε, τὸ πλέον ἢ πρίν·
νῦν ὁ βίος πάντων ἐστὶ γελοιότερος.

---

Nr. 145. V. 5. πλείω. P. Nr. 146. V. 1. ἔτευξε. Br. V. 2. μηδὲν ἄγαν. Br. c. Graevio. Nr. 147. V. 3. ἀσφαλῶς ὔμμιν. P. V. 4. ποταμοῖο. P.



Digitized by Google

εἰς ὑμέας δὲ καὶ αὐτὸς ὁρῶν, τὸ μεταξὺ μεριμνῶ
πῶς ἅμα σοὶ κλαύσω, πῶς ἅμα σοὶ γελάσω.

149. ΑΝΤΙΠΑΤΡΟΥ.

Εἶχεν Ἀριστείδης ὁ βοκέῤῥιος οὐκ ἀπὸ πολλῶν
πολλά, μιῆς δ' ὄϊος καὶ βοὸς εὐπορίην.
ἀλλὰ γὰρ οὐδ' ὁ πένης ἔφυγε φθόνον· ἤματι δ' αὐτῷ
θῆρες ὄϊν, τὴν βοῦν δ' ὤλεσε δυςτοκίη.
μισήσας δ' ἀβληχὲς ἐπαύλιον, ἅμματι πήρης
ἐκ ταύτης βιοτὴν ἀχράδος ἐκρέμασεν.

[P] 150. ΤΟΥ ΑΥΤΟΥ.

Πλοῦτος Ἀριστείδῃ δάμαλις μία, καὶ τριχόμαλλος
ἦν ὄϊς· ἐκ τούτων λιμὸν ἔλαυνε θύρης.
ἤμβροτε δ' ἀμφοτέρων. ἀμνὴν λύκος, ἔκτανε δ' ὠδὶς
τὴν δάμαλιν· πενίης δ' ὤλετο βουκόλιον.
πηροδέτῳ δ' ὅ γ' ἱμάντι κατ' αὐχένος ἅμμα λυγώσας,
οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.

151. ΤΟΥ ΑΥΤΟΥ.

Ποῦ τὸ περίβλεπτον κάλλος σέο, Δωρὶ Κόρινθε;
ποῦ στεφάναι πύργων, ποῦ τὰ πάλαι κτέανα;
ποῦ νηοὶ μακάρων, ποῦ δώματα, ποῦ δὲ δάμαρτες
Σισύφιαι, λαῶν θ' αἱ ποτὲ μυριάδες;

---

Nr. 148. V. 5. αὐτούς. P. μεριμνῶν. Ib. Nr. 150. V. 3. ἔκτανεν ὠδίς. P. hoc loco. V. 5. πιδήσας. P. alio loco.

οὐδὲ γὰρ οὐδ' ἴχνος, πολυκάμμορε, σεῖο λέλειπται,
πάντα δὲ συμμάρψας ἐξέφαγεν πόλεμος.
μοῦναι ἀπόρθητοι Νηρηΐδες, Ὠκεανοῖο
κοῦραι, σῶν ἀχέων μίμνομεν ἀλκυόνες.

152. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ἅδε ποθ' ἁ κλεινὰ Πριάμου πόλις, ἂν ἀλαπάξαι
Ἑλλάνων δεκέτης οὐκ ἐτάλασσεν ἄρης
ἀμφαδόν, ἀλλ' ἵπποιο κακὸν ξύλον. αἴθε δ' Ἐπειὸς
κάτθανε, πρὶν τεῦξαι δουρατέαν παγίδα.
οὐ γὰρ ἄν, Ἀτρειδᾶν ὀροφηφάγον ἁψαμένων πῦρ,
οὕτω ἐφ' ἁμετέροις λάεσιν ἠριπόμαν.

153. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ πόλι, πῆ σέο κεῖνα τὰ τείχεα; πῆ πολύολβοι
νηοί; πῆ δὲ βοῶν κράατα τεμνομένων;
πῆ Παφίης ἀλάβαστρα, καὶ ἡ πάγχρυσος ἐφεστρίς;
πῆ δὲ Τριτογενοῦς δείκελον ἐνδαπίης;
πάντα μόθος, χρονίη τε χύσις, καὶ Μοῖρα κραταιὴ
ἥρπασεν, ἀλλοίην ἀμφιβαλοῦσα τύχην·
καί σε τόσον νίκησε βαρὺς φθόνος. ἀλλ' ἄρα μοῦνον
οὔνομα σὸν κρύψαι καὶ κλέος οὐ δύναται.

---

Nr. 152. V. 2. ἐτάλασεν. P. V. 6. ἐριπτόμαν. P.

### 154. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ἱλήκοις πολιοῦχε, σὲ μὲν χρυσαυγέϊ νηῷ,*
*ὡς θέμις, ἡ τλήμων Ἴλιος ἠγασάμην.*
*ἀλλὰ σύ με προλέλοιπας ἑλώριον· ἀντὶ δὲ μήλου*
*πᾶσαν ἀπεδρέψω τείχεος ἀγλαΐην.*
[¶] *ἄρκιον ἦν θνήσκειν τὸν βουκόλον· εἰ γὰρ ἄθεσμος*
*ἔπλετο, τῆς πάτρης οὐκ ἀλίτημα τόδε.*

### 155. *ΤΟΥ ΑΥΤΟΥ.*

*Εἰ μὲν ἀπὸ Σπάρτης τις ἔφυς, ξένε, μή με γελάσσῃς·*
*οὐ γὰρ ἐμοὶ μούνῃ ταῦτα τέλεσσε Τύχη.*
*εἰ δέ τις ἐξ Ἀσίης, μὴ πένθεε· Δαρδανικοῖς γὰρ*
*σκήπτροις Αἰνεαδῶν πᾶσα νένευκε πόλις.*
*εἰ δὲ θεῶν τεμένη, καὶ τείχεα, καὶ ναετῆρας*
*ζηλήμων δηΐων ἐξεκένωσεν ἄρης,*
*εἰμὶ πάλιν βασίλεια· σὺ δ', ὦ τέκος, ἄτρομε Ῥώμη,*
*βάλλε καθ' Ἑλλήνων σῆς ζυγόδεσμα δίκης.*

### 156. *ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.*

*Δέρκεο τὸν Τροίας δεκέτη λόχον, εἴσιδε πῶλον*
*εὐόπλου Δαναῶν ἔγκυον ἡσυχίης.*

---

Nr. 154. V. 2. *ἁ τλάμων.* P. V. 5. *θνάσκειν.* P. *ἄθεσμον.* P. V. 6. *τᾶς πάτρας.* P. Nr. 155. V. 1. *γελάσῃς.* P. V. 2. *τύχα.* P. V. 3. *μὴ πεύθεο.* P. *δαρδανικῆς* (οῖ written above ῆ). Ib.

τεκταίνει μὲν Ἐπειός, Ἀθηναίη δὲ κελεύει
    ἔργον· ὑπὲκ νώτου δ' Ἑλλὰς ὅλα δύεται.
ἦ ῥα μάταν ἀπόλοντο, τόσος στρατός, εἰ πρὸς Ἄρηα
    ἦν δόλος Ἀτρείδαις ἐσθλότερος πολέμου.

### 157. *ΑΔΕΣΠΟΤΟΝ.*

Τίς θεὸν εἶπεν Ἔρωτα; θεοῦ κακὸν οὐδὲν ὁρῶμεν
    ἔργον· ὁ δ' ἀνθρώπων αἵματι μειδιάει.
οὐ θοὸν ἐν παλάμαις κατέχει ξίφος; ἠνίδ' ἄπιστα
    τῆς θεοδηλήτου σκῦλα μιαιφονίης.
μήτηρ μὲν σὺν παιδὶ κατέφθιτο· αὐτὰρ ἐπ' αὐτοῖς
    ποίνιμος ἔκτεινεν φῶτα λιθοκτονίη.
καὶ ταῦτ' οὔτ' Ἄϊδος, οὔτ' Ἄρεος, ἔργα δ' Ἔρωτος
    λεύσσομεν, οἷς παίζει κεῖνος ὁ νηπίαχος.

### 158. *ΑΔΕΣΠΟΤΟΝ.*

Αἱ τρισσαί ποτε παῖδες ἐν ἀλλήλαισιν ἔπαιζον
    κλήρῳ, τίς προτέρη βήσεται εἰς Ἀΐδην·
καὶ τρὶς μὲν χειρῶν ἔβαλον κύβον, ἦλθε δὲ πασῶν
    ἐς μίαν· ἡ δ' ἐγέλα κλῆρον ὀφειλόμενον.

---

Nr. 156. V. 4. ὑπὲρ νώτου. P. ὕπαι νῶτον. Br. Nr. 157. V. 4. θεοδμήτου. P. V. 5. αὐταῖς. Plan. Stob. V. 6. ποιμένος. P. V. 7. ἀΐδεω. corr. Herm. Fort. οὔτ' Ἄρεως, οὔτ' Ἀΐδος. Nr. 158. V. 1.
χειρῶν
ἀλλήλοισιν. P. V. 3. τρεῖς. P. χρειῶν. Ib. Fort. Κηρῶν.

Digitized by Google

ἐκ τέγεος δ' ἄρ' ἄελπτον ἀπωλίσθησε πέσημα·
δύσμορος· ἐς δ' Ἀΐδην ἤλυθεν, ὡς ἔλαχεν.
ἀψευδὴς ὁ κλῆρος, ὅτῳ κακόν· ἐς δὲ τὸ λῷον
οὔτ' εὐχαὶ θνητοῖς εὔστοχοι, οὔτε χέρες.

### 159. ΑΔΕΣΠΟΤΟΝ.

Κρανίον ἐν τριόδοισι κατοιχομένου τις ἐςαθρῶν
εἰκόνα τὴν κοινὴν οὐκ ἐδάκρυσε βίου·
[P.] δεξιτερὴν δ' ἔῤῥιψεν ἐπὶ χθόνα, καὶ λίθον ἧκε,
κωφὸν μὲν δοκέοντ', ἀλλὰ πνέοντα δίκης.
ὀστέον ὡς γὰρ ἔπληξεν, ἀφήλατο, καὶ τὸν ἀφέντα
πήρωσεν, γλυκεροῦ βλέμματος ὀρφανίσας.
καὶ πάλιν εἰς Ἀΐδην ἐκολάζετο· τὴν ἰδίην δὲ
ἔκλαυσεν χειρῶν εὔστοχον ἀφροσύνην.

### 160. ΑΔΕΣΠΟΤΟΝ.

Ἡρόδοτος Μούσας ὑπεδέξατο· τῷ δ' ἄρ' ἑκάστη
ἀντὶ φιλοξενίης βίβλον ἔδωκε μίαν.

### 161. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἡσιόδου ποτὲ βίβλον ἐμαῖς ὑπὸ χερσὶν ἑλίσσων,
Πύῤῥην ἐξαπίνης εἶδον ἐπερχομένην·
βίβλον δὲ ῥίψας ἐπὶ γῆν χερί, ταῦτ' ἐβόησα·
ἔργα τί μοι παρέχεις, ὦ γέρον Ἡσίοδε.

---

V. 5. εἰπώλισθε. P. V. 6. ἤλυθεν. P. Fort. ἤλυθεν, ὡς ἔλαχον. Nr. 159. V. 3. δεξιτερῇ, corr. Scalig. V. 4. δοκέων. P. V. 7. κωλάζετο. P πάλιν ὡς ἄλιτεν. corr. Lobeck. Fort. καὶ παλάμης ἀλίτημ' ἐκολ. Nr. 161. V. 3. βέβλον. P.

Digitized by Google

162. ΑΔΕΣΠΟΤΟΝ.

Ἤμην ἀχρεῖον κάλαμος φυτόν· ἐκ γὰρ ἐμεῖο
οὐ σῦκ', οὐ μῆλον φύεται, οὐ σταφυλή.
ἀλλά μ' ἀνὴρ ἐμύησ' Ἑλικωνίδα, λεπτὰ τορήσας
χείλεα, καὶ στεινὸν ῥοῦν ὀχετευσάμενος.
ἐκ δὲ τοῦ εὖτε πίοιμι μέλαν ποτόν, ἔνθεος οἷα,
πᾶν ἔπος ἀφθέγκτῳ τῷδε λαλῶ στόματι.

163. ΑΔΕΣΠΟΤΟΝ.

Ἐκ πυρὸς Ἰλιακοῦ δοράτων μέσον ἥρπασεν ἥρως
Αἰνείας, ὅσιον παιδὶ βάρος, πατέρα.
ἔκλαγε δ' Ἀργείοις· μὴ ψαύετε. μικρὸν ἐς ἄρη
κέρδος ὁ γηραλέος, τῷ δὲ φέροντι μέγα.

164. ΑΔΗΛΟΝ.

α. Τίς σέ, Δικαιοσύνη, βροτὸς ἤκαχεν; β. οὗτος ὁ κλέπτης,
ἐνθάδε με στήσας, οὐδὲν ἔχων πρὸς ἐμέ.

[P] 165. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Ὀργὴ τοῦ Διός ἐστι γυνή, πυρὸς ἀντιδοθεῖσα
δῶρον, ἀνιηρὸν τοῦ πυρὸς ἀντίδοτον.

---

Nr. 162. V. 2. οὐ σύκον. P. V. 5. ἔνθεον. P. Nr. 163. V. 1. ἥρων (σ superscript). P.

ἄνδρα γὰρ ἐκκαίει ταῖς φροντίσιν ἠδὲ μαραίνει,
καὶ γῆρας προπετὲς τῇ νεότητι φέρει.
οὐδ' ὁ Ζεὺς ἀμέριμνος ἔχει χρυσόθρονον Ἥρην·
πολλάκι γοῦν αὐτὴν ῥίψεν ἀπ' ἀθανάτων,
ἠέρι καὶ νεφέλῃσι μετήορον. οἶδεν Ὅμηρος,
καὶ Δία συγγράψας τῇ γαμετῇ χόλιον.
οὕτως οὐδέποτ' ἐστὶ γυνὴ σύμφωνος ἀκοίτῃ,
οὐδὲ καὶ ἐν χρυσέῳ μιγνυμένη δαπέδῳ.

## 166. ΤΟΥ ΑΥΤΟΥ.

Πᾶσαν Ὅμηρος ἔδειξε κακὴν σφαλερήν τε γυναῖκα,
σώφρονα, καὶ πόρνην, ἀμφοτέρας ὄλεθρον.
ἐκ γὰρ τῆς Ἑλένης μοιχευσαμένης φόνος ἀνδρῶν,
καὶ διὰ σωφροσύνην Πηνελόπης θάνατοι.
Ἰλιὰς οὖν τὸ πόνημα μιᾶς χάριν ἐστὶ γυναικός·
αὐτὰρ Ὀδυσσείῃ Πηνελόπη πρόφασις.

## 167. ΤΟΥ ΑΥΤΟΥ.

Ὁ Ζεὺς ἀντὶ πυρὸς πῦρ ὤπασεν ἄλλο, γυναῖκας.
εἴθε δὲ μήτε γυνή, μήτε τὸ πῦρ ἐφάνη.
πῦρ μὲν δὴ ταχέως καὶ σβέννυται· ἡ δὲ γυνὴ πῦρ
ἄσβεστον, φλογερόν, πάντοτ' ἀναπτόμενον.

---

Nr. 165. V. 3. ἠὲ μ. P. V. 5. ἀμεριμνον. (σ) P. Nr. 166. V. 6. Ὀδυσσείῃ (α) Πηνελόπις. P. Nr. 167. V. 1. γυναικος. (ας) P.

168. ΤΟΥ ΑΥΤΟΥ.

Μῆνιν οὐλομένην γαμετὴν ὁ τάλας γεγάμηκα,
καὶ παρὰ τῆς τέχνης μήνιδος ἀρξάμενος.
ὤμοι ἐγὼ πολύμηνις, ἔχων τριχόλωτον ἀνάγκην,
τέχνης γραμματικῆς, καὶ γαμετῆς μαχίμης.

169. ΤΟΥ ΑΥΤΟΥ.

Μῆνις Ἀχιλλῆος καὶ ἐμοὶ πρόφασις γεγένηται
οὐλομένης πενίης γραμματικευσαμένῳ.
εἴθε δὲ σὺν Δαναοῖς με κατέκτανε μῆνις ἐκείνη,
πρὶν χαλεπὸς λιμὸς γραμματικῆς ὀλέσει.
ἀλλ᾽ ἵν᾽ ἀφαρπάξῃ Βρισηΐδα πρὶν Ἀγαμέμνων,
τὴν Ἑλένην δ᾽ ὁ Πάρις, πτωχὸς ἐγὼ γενόμην.

170. ΤΟΥ ΑΥΤΟΥ.

Νηδὺν ἀναίσχυντον στιβαροῖς ἤσχυνα λογισμοῖς,
σωφροσύνῃ κολάσας ἔντερον ἀργαλέον·
[❡] εἰ γὰρ ἔχω τὸν νοῦν ἐπικείμενον ὑψόθι γαστρός,
πῶς μὴ νικήσω τὴν ὑποτασσομένην;

---

Nr. 168. V. 3. πολύμηνος. P. διχόλωτον. Plan. V. 4. καὶ γυναικός. P. Nr. 169. V. 3. εἴθε σύν. P. Nr. 170. V. 1. ἴσχυνηνα. corr. Scalig. V. 2. ἀργεναον (αλέον). P.

## 171. ΤΟΥ ΑΥΤΟΥ.

Ὄργανα Μουσάων, τὰ πολύστονα βιβλία πωλῶ,
εἰς ἑτέρας τέχνας ἔργα μετερχόμενος.
Πιερίδες σώζοισθε· Λόγοι, συντάσσομαι ὑμῖν·
σύνταξις γάρ ἐμοὶ καὶ θάνατον παρέχει.

## 172. ΤΟΥ ΑΥΤΟΥ.

Ἐλπίδος οὐδὲ Τύχης ἔτι μοι μέλει, οὐδ᾽ ἀλεγίζω
λοιπὸν τῆς ἀπάτης· ἤλυθον εἰς λιμένα.
εἰμὶ πένης ἄνθρωπος, ἐλευθερίῃ δὲ συνοικῶ·
ὑβριστὴν πενίης πλοῦτον ἀποστρέφομαι.

## 173. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρχὴ γραμματικῆς πεντάστιχός ἐστι κατάρα.
πρῶτος Μῆνιν ἔχει· δεύτερος Οὐλομένην.
καὶ μετὰ δ᾽ Οὐλομένην, Δαναῶν [πάλιν] Ἄλγεα πολλά.
ὁ τρίτατος ψυχὰς εἰς Ἀΐδην κατάγει.
τοῦ δὲ τεταρταίου τὰ Ἑλώρια καὶ Κύνες ἀργοί.
πέμπτου δ᾽ Οἰωνοί, καὶ χόλος ἐστὶ Διός.
πῶς οὖν γραμματικὸς δύναται μετὰ πέντε κατάρας,
καὶ πέντε πτώσεις, μὴ μέγα πένθος ἔχειν;

---

Nr. 172. V. 1. μέλλει. P. V. 3. Fort. συνοικῶν, ὑβρ. Nr. 173. V. 3. πάλιν om. P.

Digitized by Google

## 174. ΤΟΥ ΑΥΤΟΥ.

Ἐνθάδε παιδεύουσιν ὅσοις κεχόλωτο Σάραπις,
τοῖσιν ἀπ' οὐλομένης μήνιδος ἀρχομένοις·
ἔνθα τροφὸς κατὰ μῆνα φέρει μισθὸν μετ' ἀνάγκης,
βύβλῳ καὶ χάρτῃ δησαμένη πενίην.
ὡς δὲ κάπνισμα τιθεῖ παρὰ τὸν θρόνον, ὡς παρὰ τύμβον,
τὸν μικρὸν χάρτην, τὸν παραριπτόμενον.
κλέπτει δ' ἐξ ὀλίγου μισθόν, καὶ χαλκὸν ἀμείβει,
καὶ μόλιβον μίσγει, καὶ τὸ ἔθος δέχεται.
ἢν δέ τις εἰς ἐνιαυτὸν ἄγοι χρυσοῖο νόμισμα,
ἑνδεκάτῳ μηνί, πρὶν προφέρειν, μετέβη,
ἀγνώμων τε φανείς, καὶ τὸν πρότερον διασύρας
γραμματικόν, στερέσας μισθὸν ὅλου ἔτεος.

## 175. ΤΟΥ ΑΥΤΟΥ.

Καλλίμαχον πωλῶ καὶ Πίνδαρον, ἠδὲ καὶ αὐτὰς
πτώσεις γραμματικῆς, πτῶσιν ἔχων πενίης.
Δωρόθεος γὰρ ἐμὴν τροφίμην σύνταξιν ἔλυσεν,
πρεσβείην κατ' ἐμοῦ τὴν ἀσεβῆ τελέσας.
ἀλλὰ σύ μου πρόστηθι, θεῷ φίλε, μηδέ μ' ἐάσῃς
συνδέσμῳ πενίης τὸν βίον ἐξανύσαι.

---

Nr. 174. V. 1. κεχόλωται. P. V. 8. τὸ ἔτος. Br. V. 9. ἄγῃ. Br. Fort. εἰ δέ τις .. ἄγοι. Nr. 175. V. 3—6. desiderantur in P. hoc loco. V. 5. σύ μοι. P.

[P] 176. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκλήθην παρὰ σοῦ τοῦ ῥήτορος· εἰ δ᾽ ἀπελείφθην,
τὴν τιμὴν ἀπέχω, καὶ πλέον εἰμὶ φίλος.
οὐδὲ γὰρ ἡ ψυχὴ τὸ φαγεῖν κρίνουσα γέγηθεν,
ἀλλὰ μόνον τιμῆς αἰσθομένη τρέφεται.

177. ΑΔΕΣΠΟΤΟΝ.

Αἴαντος παρὰ τύμβον ἀταρβήτοιο παραστὰς
Φρὺξ ἐπέων * κακῆς ἤρχεν ἐπεσβολίης·
„Αἴας δ᾽ οὐκέτ᾽ ἔμιμνεν“ ὁ δ᾽ ἀντεγέγωνεν ἔνερθε·
„μίμνεν·“ ὁ δ᾽ οὐκέτ᾽ ἔτλη ζωὸς ἀποφθίμενον.

178. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ὡς πάρος Ἀελίου, νῦν Καίσαρος ἁ Ῥόδος εἰμὶ
νᾶσος, ἶσον δ᾽ αὐχῶ φέγγος ἀπ᾽ ἀμφοτέρων.
ἤδη σβεννυμέναν με νέα κατεφώτισεν ἀκτίς,
Ἅλιε, καὶ παρὰ σὸν φέγγος ἔλαμψε Νέρων.
πῶς εἴπω, τίνι μᾶλλον ὀφείλομαι; ὃς μὲν ἔδειξεν
ἐξ ἁλός· ὃς δ᾽ ἤδη ῥύσατο δυομέναν.

---

Nr. 176. V. 4. αἰσθομένη γέγηθεν. P. Nr. 177. V. 2. ἐπέων δεδαώς. Br. V. 4. μίμνειν δ᾽. P. Nr. 178. V. 3. γενεὰν κατ. P. V. 6. ὁ δ᾽ ἤδη. P.

Digitized by Google

179. ΛΕΩΝΙΔΑ ΤΑΡΑΝΤΙΝΟΥ.

Τοξοβόλον τὸν Ἔρωτα τίς ἔξεσεν ἐκ λιβανωτοῦ,
τόν ποτε μηδ' αὐτοῦ Ζηνὸς ἀποσχόμενον;
ὀψέ ποθ' Ἡφαίστῳ κεῖται σκοπός, ὃν καθορᾶσθαι
ἔπρεπεν οὐκ ἄλλως, ἢ πυρὶ τυφόμενον.

180. ΠΑΛΛΑΔΑ.

Τύχη καπηλεύουσα πάντα τὸν βίον,
ἀσυγκέραστον τὴν φύσιν κεκτημένη,
καὶ συγκυκῶσα καὶ μεταντλοῦσ' αὖ πάλιν,
καὐτὴ κάπηλός ἐστι νῦν τις, οὐ θεά,
τέχνην λαχοῦσα, τὴν τρόπων ἐπαξίαν.

181. ΤΟΥ ΑΥΤΟΥ.

Ἀνεστράφησαν, ὡς ὁρῶ, τὰ πράγματα,
καὶ τὴν Τύχην νῦν δυστυχοῦσαν εἴδομεν.

182. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ σὺ Τύχη δέσποινα, τύχην ἀτυχῆ πόθεν ἔσχες;
ἡ παρέχουσα τύχας πῶς ἀτυχὴς γέγονας;
μάνθανε καὶ σὺ φέρειν τὰ σὰ ῥεύματα, καὶ σὺ δίδαξο
τὰς ἀτυχεῖς πτώσεις, ἃς παρέχεις ἑτέροις.

---

Nr. 180. V. 3. μεταντλοῦσα πάλιν. P. Nr. 182. V. 3. δίδαξον. P. διδάσκου. Plan. V. 4. ἀποτυχεῖς. P.

### 183. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ σὺ Τύχη λοιπὸν μεταβαλλομένη καταπαίζου,
μηδὲ τύχης τῆς σῆς ὕστατα φεισαμένη·
ἡ πρὶν νηὸν ἔχουσα, καπηλεύεις μετὰ γῆρας,
θερμοδότις μερόπων νῦν ἀναφαινομένη.
νῦν ὁσίως στένε καὶ σὺ τεὸν πάθος, ἄστατε δαῖμον,
τὴν σήν, ὡς μερόπων, νῦν μετάγουσα τύχην.

### [P] 184. ΑΔΕΣΠΟΤΟΝ.

Πίνδαρε, Μουσάων ἱερὸν στόμα, καὶ λάλε Σειρὴν
Βακχυλίδη, Σαπφοῦς τ' Αἰολίδες χάριτες,
γράμμα τ' Ἀνακρείοντος, Ὁμηρικὸν ὅς τ' ἀπὸ ῥεῦμα
ἔσπασας οἰκείοις Στησίχορ' ἐν καμάτοις,
ἥ τε Σιμωνίδεω γλυκερὴ σελίς, ἡδύ τε Πειθοῦς
Ἴβυκε καὶ παίδων ἄνθος ἀμησάμενε,
καὶ ξίφος Ἀλκαίοιο, τὸ πολλάκις αἷμα τυράννων
ἔσπεισεν, πάτρης θέσμια ῥυόμενον,
θηλυμελεῖς τ' Ἀλκμᾶνος ἀηδόνες, ἵλατε, πάσης
ἀρχὴν οἳ λυρικῆς καὶ πέρας ἐσπάσατε.

### 185. ΑΔΕΣΠΟΤΟΝ.

Ἀρχιλόχου τάδε μέτρα, καὶ ἠχήεντες ἴαμβοι,
θυμοῦ καὶ φοβερῆς ἰὸς ἐπεσβολίης.

Digitized by Google

### 186. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Βίβλοι Ἀριστοφάνευς, θεῖος πόνος, αἷσιν Ἀχαρνεὺς
κισσὸς ἐπὶ χλοερὴν πουλὺς ἔσεισε κόμην.
ἠνίδ' ὅσον Διόνυσον ἔχει σελίς, οἷα δὲ μῦθοι
ἠχεῦσιν, φοβερῶν πληθόμενοι χαρίτων.
ὦ καὶ θυμὸν ἄριστε, καὶ Ἑλλάδος ἤθεσιν ἶσα
κωμικέ, καὶ στύξας ἄξια καὶ γελάσας.

### 187. ΑΔΕΣΠΟΤΟΝ.

Αὐταί σοι στομάτεσσιν ἀνηρείψαντο μέλισσαι
ποικίλα Μουσάων ἄνθεα δρεψάμεναι·
αὐταὶ καὶ Χάριτές σοι ἐδωρήσαντο, Μένανδρε,
στωμύλον εὐτυχίην δράμασιν ἐνθέμεναι.
ζώεις εἰς αἰῶνα· τὸ δὲ κλέος ἐστ' ἐν Ἀθήναις
ἐκ σέθεν οὐρανίων ἁπτόμενον νεφέων.

### 188. ΑΔΕΣΠΟΤΟΝ.

Ἀτθίδος εὐγλώττου στόμα φέρτατον, οὗ σέο μεῖζον
φθέγμα Πανελλήνων πᾶσα κέκευθε σελίς·
πρῶτος δ' εἴς τε θεὸν καὶ ἐς οὐρανὸν ὄμμα τανύσσας,
θεῖε Πλάτων, ἤθη καὶ βίον ἠγάσαο,
Σωκρατικῷ Σάμιον κεράσας μυκτῆρι φρόνημα,
κάλλιστον σεμνῆς σῆμα διχοστασίης.

---

Nr. 186. V. 3. Διόνυσος (ν). P. V. 6. ἄξιε. P. Nr. 187. V. 4. εὐστοχίην. Plan. V. 5. ἐστὶν Ἀ. τοὐκ σ. Plan. Fort. αἰὲν Ἀ. ἐκ σ. V. 6. ἁπτ. κεράτων. Plan. Nr. 188. V. 3. εἰς θεόν. P. V. 5. μυκτῆρσι. P.

### 189. *ΑΔΕΣΠΟΤΟΝ.*

*Ἔλθετε πρὸς τέμενος γλαυκώπιδος ἀγλαὸν Ἥρης,*
*Λεσβίδες, ἁβρὰ ποδῶν βήμαθ᾽ ἑλισσόμεναι,*
[P] *ἔνθα καλὸν στήσασθε θεῇ χορόν· ὔμμι δ᾽ ἀπάρξει*
*Σαπφὼ χρυσείην [χερσὶν] ἔχουσα λύρην.*
*ὄλβιαι ὀρχηθμοῦ πολυγηθέος· ἦ γλυκὺν ὕμνον*
*εἰσαΐειν αὐτῆς δόξετε Καλλιόπης.*

### 190. *ΑΔΗΛΟΝ.*

*Λέσβιον Ἠρίννης τόδε κηρίον· εἰ δέ τι μικρόν,*
*ἀλλ᾽ ὅλον ἐκ Μουσέων κιρνάμενον μέλιτι.*
*οἱ δὲ τριηκόσιοι ταύτης στίχοι ἶσοι Ὁμήρῳ,*
*τῆς καὶ παρθενικῆς ἐννεακαιδεκέτευς,*
*ἣ καὶ ἐπ᾽ ἠλακάτῃ μητρὸς φόβῳ, ἣ καὶ ἐφ᾽ ἱστῷ*
*ἑστήκει, Μουσέων λάτρις ἐφαπτομένη.*
*Σαπφὼ δ᾽ Ἠρίννης ὅσσον μελέεσσιν ἀμείνων,*
*Ἤριννα Σαπφοῦς τόσσον ἐν ἑξαμέτροις.*

### 191. *ΑΔΗΛΟΝ.*

*εἰς τὴν βίβλον Λυκόφρονος.*

*Οὐκ ἂν ἐν ἡμετέροισι πολυγνάμπτοις λαβυρίνθοις*
*ῥηϊδίως προμόλοις ἐς φάος, αἴκε τύχῃς.*

---

Nr. 189. V. 2. *ἀβροπόδων βήματ᾽.* P. V. 3. *στήσασθε η χορ.* P. V. 4. *χερσίν.* om. P. Nr. 190. V. 1. *ἀδύ τι μ.* P. V. 4. *ἐννεα καὶ δεκάτευς.* P.

τοίους γὰρ Πριαμὶς Κασσάνδρη φοίβασε μύθους,
ἄγγελος οὓς βασιλεῖ ἔφρασε λοξοτρόχις.
εἰ δέ σε φίλατο Καλλιόπη, λάβε μ' ἐς χέρας· εἰ δὲ
νῆϊς ἔφυς Μουσέων, χερσὶ βάρος φορέεις.

192. ἈΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

α. Αἱ βίβλοι, τίνες ἐστέ; τί κεύθετε; β. θυγατέρες μὲν
Μαιονίδου, μύθων δ' ἵστορες Ἰλιακῶν.
ἁ μία μὲν μηνιθμὸν Ἀχιλλέος, ἔργα τε χειρὸς
Ἑκτορέας, δεκέτους ἆθλα λέγει πολέμου·
ἁ δ' ἑτέρα μόχθον τὸν Ὀδυσσέος, ἀμφί τε λέκτροις
χηρείοις ἀγαθᾶς δάκρυα Πηνελόπας.
α. ἵλατε σὺν Μούσαισι· μεθ' ὑμετέρας γὰρ ἀοιδὰς
εἶπεν ἔχειν αἰὼν ἕνδεκα Πιερίδας.

193. ΕΥΝΟΜΙΑΝΟΥ.

εἰς τὴν ἱστορίαν τοῦ Φιλοστοργίου.

Ἱστορίην ἐτέλεσσα θεοῦ χαρίτεσσι σοφῇσι,
πράγματ' ἀληθείης ποικίλ' ὑφηνάμενος.

---

Nr. 191. V. 3. Κασάνδρη. P. V. 5. ἦν δέ. P. Nr. 192. V. 1. τίνος. Plan. V. 3. χειρῶν ἐκτορίαις. P. V. 4. δεκέτευς τ' ἆθλα. Br. V. 8. Fort. ἔχειν Ἑλικών.



Digitized by Google

194. ΑΛΛΟ.

Γράμματα δώδεκ' ἔχει ΦΙΛΟΣΤΟΡΓΙΟΣ, οὔνομα καλόν·
τοὔνεκα δὴ κατὰ γράμμα λόγους ἀνεγράψατο τούτους,
ἀρξάμενος πρώτου ἀπὸ γράμματος, εἶτα δ' ἐφεξῆς·
καὶ διὰ τῆς αὐτῶν ἀρχῆς ἑὸν οὔνομα γράψας.

[¶] 195. ΑΔΕΣΠΟΤΟΝ.

Κωνσταντινιάδης Ἀσκληπιὸς ἄστυ γεραίρων
γράψεν Ἀναζαρβοῦ πάτρια κυδαλίμης.

196. ΜΑΡΙΝΟΥ ΝΕΑΠΟΛΙΤΟΥ.

Ἀθανάτοισι θεοῖς κεχαρισμένα πάντοτε ῥέζων
καὶ τάδ' ἐπ' εὐσεβέοντι νόῳ συνέγραψε Μαρῖνος.

197. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ τόδε σῆς ζαθέης κεφαλῆς περιώσιον ἔργον,
Πρόκλε μάκαρ, πάντων βρέτας ἔμπνοον ὅττι Μαρῖνον
ἀθανάτων, μερόπεσσι βοηθόον εὐσεβέεσσιν,
ἀντὶ τεῆς ἱερῆς κεφαλῆς ψυχοσσόον ἄλκαρ
κάλλιπες, ὃς βιοτὴν θεοτερπέα σεῖο λιγαίνων
γράψε τάδ' ἐσσομένοις μνημήϊα σῶν ἀρετάων.

---

Nro. 194. V. 2. τούτους ἀν. λόγους. P. Fort. λ. ἀν. τίσσους. V. 3. εἶπεν ἐφ. P. εἶτεν corr. Schaefer. Nr. 195. V. 1. Ἀσκληπιάδης. P. Nr. 196. V. 1. κεχαρισμένε. P. hoc loco. Nr. 197. V. 2. ὅτι. P. V. 3. βοηθῶν. P.

Digitized by Google

### 198. ΑΔΕΣΠΟΤΟΝ.

Νόννος ἐγώ. Πανὸς μὲν ἐμὴ πόλις· ἐν Φαρίῃ δὲ
ἔγχεϊ φωνήεντι γονὰς ἤμησα Γιγάντων.

### 199. ΑΔΕΣΠΟΤΟΝ.

Δίου Ὀρειβασίοιο, τὸν ἀθανάτην διὰ τέχνην
πολλάκι δειμαίνουσα μίτους ἀνεβάλλετο Μοίρη.

### 200. ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Βίβλος μηχανική· Κυρίνος δέ μιν ἐξεπόνησε,
Μαρκέλλου γνωτοῖο συνερχομένου κατὰ μόχθον.

### 201. ΤΟΥ ΑΥΤΟΥ.

Θέσφατα μαντῴης Φοιβηΐδος ὄργια τέχνης
ἀστρολόγων Παῦλός μ' ἐδιδάξατο κύδιμος ἀνήρ.

### 202. ΤΟΥ ΑΥΤΟΥ.

Βίβλος Θέωνος καὶ Πρόκλου, τῶν πανσόφων·
βίβλος πόλου τε καὶ χθονὸς φέρει μέτρα.
Θέων πόλον μέν, καὶ Πρόκλος μετρεῖ χθόνα·
Πρόκλος μὲν οὖν γῆν, καὶ Θέων μετρεῖ πόλον.
ἄμφω δ' ἐπίσης τῶν ἐπαίνων ἄξιοι,
ἄμφω δ' ἀμοιβὴν τῶν λόγων τετεύχατον.

---

Nr. 199. V. 1. Ὀρειβασίου. P. Nr. 200. V. 1. Κυρῖνος. P. Nr. 202. V. 3. fort. delendus cum Reiskio. V. 6. τετεύχατε. P.

Θέων Πρόκλου γὰρ λαμβάνων σοφὰς θέσεις,
δείκνυσι ταύταις τοὺς δρόμους τῶν ἀστέρων·
Πρόκλος δὲ δείξεις τοῦ Θέωνος λαμβάνων
ταύταις ἀναλύει καὶ προβάλλει τὰς θέσεις.
ἀλλ', ὦ σοφὴ ξυνωρί, χαιρέ μοι λίαν.
χαίροις Θέων ἄριστε, πάνσοφον κάρα,
ὁ νῦν πυκάζων τὴν Ἀλεξάνδρου πόλιν·
χαίροις δὲ καὶ σύ, Πρόκλε, τοῦ Σαρπηδόνος
ἄριστον αἷμα τοῖς ὅλοις βοώμενον.

[P] 203. ΦΩΤΙΟΥ ΠΑΤΡΙΑΡΧΟΥ. οἱ δὲ ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Ἔρωτα πικρόν, ἀλλὰ σώφρονα βίον
ὁ Κλειτοφῶντος ὥσπερ ἐμφαίνει λόγος,
ὁ Λευκίππης δὲ σωφρονέστατος βίος,
ἅπαντας ἐξίστησι· πῶς τετυμμένη,
κεκαρμένη τε, καὶ κατηχρειωμένη,
τὸ δὴ μέγιστον, τρὶς θανοῦσ' ἐκαρτέρει.
εἴπερ δὲ καὶ σὺ σωφρονεῖν θέλῃς, φίλος,
μὴ τὴν πάρεργον τῆς γραφῆς σκόπει θέαν·
τὴν τοῦ λόγου δὲ πρὸς τὴν συνδρομὴν μάθε.
νυμφοστολεῖ γὰρ τοὺς ποθοῦντας ἐμφρόνως.

---

V. 7. Πρ. μέν. Br. Nr. 203. V. 1. Fort. σώφρονας βίους.
V. 2. ὥσπερ. P. V. 9. προστην. P. (πρῶτα)

Digitized by Google

204. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

*Μή με τὸν Αἰάντειον ἀνοχμάσσειας, ὁδῖτα,*
*πέτρον, ἀκοντιστὴν στήθεος Ἑκτορέου.*
*εἰμὶ μέλας τρηχύς τε· σὺ δ' εἴρεο θεῖον Ὅμηρον,*
*πῶς τὸν Πριαμίδην ἐξεκύλισα πέδῳ.*
*νῦν δὲ μόλις βαιόν με παροχλίζουσιν ἀρούρης*
*ἄνθρωποι, γενεῆς αἴσχεα λευγαλέης.*
*ἀλλά μέ τις κρύψειεν ὑπὸ χθονός· αἰδέομαι γὰρ*
*παίγνιον οὐτιδανοῖς ἀνδράσι γιγνόμενος.*

205. ΑΡΤΕΜΙΔΩΡΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

*ἐπὶ τῇ ἀθροίσει τῶν βουκολικῶν ποιημάτων.*

*Βουκολικαὶ Μοῦσαι σποράδες ποκά· νῦν δ' ἅμα πᾶσαι*
*ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλας.*

206. ΕΥΠΙΘΙΟΥ ΑΘΗΝΑΙΟΥ

*στίξαντος τὴν Καθόλου.*

*Ταυτολόγων κανόνων φεῦ πληθύος, ἠδ' αἰδήλων*
*ξυσμάων, λεπτὸς τὰς ἐχάραξε δόναξ.*
*ὄμματά μευ κέκμηκε, τένων, ῥάχις, ἰνίον, ὦμοι·*
*τῆς ΚΑΘΟΛΟΥ δὲ φέρω τὴν ὀδύνην καθόλου.*

---

Nr. 204. V. 1. ἀνοχμάσειας. P. V. 7. μέ τι κρ. ἐπί. P. Nr. 206. V. 2. ξυσμάων (ἃς) λεπτὸς τάσδ'. P.

Digitized by Google

### 207. ΑΔΕΣΠΟΤΟΝ.

*εἰς τὸ Ἐγχειρίδιον Ἐπικτήτου τοῦ φιλοσόφου.*

Μῆτιν Ἐπικτήτοιο τεῷ ἐνικάτθεο θυμῷ,
ὄφρα κεν εἰςαφίκηαι ἐς οὐρανίους κενεῶνας,
ψυχὴν ὑψικέλευθον ἐλαφρίζων ἀπὸ γαίης.

### 208. ΑΛΛΟ.

Ὅς κεν Ἐπικτήτοιο σοφὴν τελέσειε μενοινήν,
μειδιάει, βιότοιο γαληνιόων ἐνὶ πόντῳ,
καὶ μετὰ ναυτιλίην βιοτήσιον εἰςαφικάνει
οὐρανίην ἁψῖδα καὶ ἀστερίην περιωπήν.

### [P] 209. ΑΔΗΛΟΝ.

*ἀπὸ ἰξευτοῦ πρὸς στρουθίον.*

Τίπτε μετοκλάζεις πωτωμένη ὄζον ἀπ' ὄζου;
τοῖα καὶ ἄλλη ἔρεξε, καὶ οὐ φύγεν ἰξοφορῆας
ἡμετέρους δόνακας, περὶ δὲ πτερὰ πυκνὰ βαλοῦσα
ἤλυθε τεχνήεντα, καὶ οὐκ ἐθέλουσα, πρὸς ἄνδρα.

---

Nr. 207. V. 1. τεὸν ἐπικάτθεο θυμῷ. P. V. 2. καὶ οὐρ. P. V. 3. ἐλαφρίζειν. P. Nr. 209. V. 1. πετομένη. P. V. 2. ἔρρεξεν.

Digitized by Google

210. *ΑΔΕΣΠΟΤΟΝ.*

*εἰς βίβλον Τακτικῶν Ὀρβικίου ἀπὸ ὑπάτων. ἦν δὲ πόνημα Ἀδριανοῦ βασιλέως, ἤ, ὡς ἄλλοι τινὲς, Τραϊανοῦ Καίσαρος.*

Τέρπεό μοι κρατερῶν καμάτων ἐγκύμονα βίβλον,
ἣν πάρος Ἀδριανὸς μὲν ἄναξ ἔχεν ἐν πολέμοισι,
κρύψε δ' ἀεργίη χρόνον ἄσπετον ἐγγύθι λήθης·
ἀλλ' ὑπὸ καρτερόχειρος Ἀναστασίου βασιλῆος
ἤλυθον ἐς φάος αὖθις, ἵνα στρατιῇσιν ἀρήξω.
οἶδα γὰρ ἀνδροφόνου καμάτους πολέμοιο διδάσκειν·
οἶδα δὲ, πῶς μετ' ἐμεῖο καὶ ἑσπερίης ἁλὸς ἄνδρας
καὶ Πέρσας ὀλέσεις, καὶ αἰνομόρους Σαρακηνούς,
καὶ θοὸν ἱπποκέλευθον ἀρειμανέων γένος Οὔννων,
πετράων τ' ἐφύπερθεν ἀλυσκάζοντας Ἰσαύρους·
πάντα δ' ὑπὸ σκήπτροισιν Ἀναστασίοιο τελέσσω,
ὃν καὶ Τραϊανοῖο φαάντερον ἤγαγεν ἠώς.

241. *ΑΔΗΛΟΝ.*

Παιήων, Χείρων, Ἀσκληπιός, Ἱπποκράτης τε·
τοῖς δ' ἔπι Νίκανδρος προφερέστερον ἔλλαχεν εὖχος.

212. *ΑΛΛΟ.*

Φάρμακα πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρὰ
Νίκανδρος κατέλεξεν, ἐπιστάμενος πέρι πάντων
ἀνθρώπων. ἦ γὰρ Παιήονός ἐστι γενέθλης.

---

Nr. 210. V. 1. ἐγκύμονι βίβλῳ. Br. Fort. Τῇ πολέμου κρατ. καμ. V. 3. ἀεργίῃ. P.

### 213. ΑΛΛΟ.

Καὶ Κολοφὼν ἀρίδηλος ἐνὶ πτολίεσσι τέτυκται,
δοιοὺς θρεψαμένη παῖδας ἀριστονόους,
πρωτίτοκον μὲν Ὅμηρον, ἀτὰρ Νίκανδρον ἔπειτα,
ἀμφοτέρους Μούσαις οὐρανίῃσι φίλους.

### 214. ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Τῇ τῶν λόγων σου κογχύλῃ, Πορφύριε,
βάπτεις τὰ χείλη, καὶ στολίζεις τὰς φρένας.

### 215. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Αἰεὶ θηλυτέρῃσιν ὕδωρ κακὸν Ἑλλήσποντος,
ξεῖνε· Κλεωνίκης πεύθεο Δυῤῥαχίδος.
πλῶε γὰρ ἐς Σηστὸν μετὰ νυμφίον· ἐν δὲ μελαίνῃ
φορτίδι τὴν Ἕλλης μοῖραν ἀπεπλάσατο.
Ἡροῖ δειλαίη, σὺ μὲν ἀνέρα, Δηΐμαχος δὲ
νύμφην, ἐν παύροις ὠλέσατε σταδίοις.

[P] 216. ΟΝΕΣΤΟΥ ΚΟΡΙΝΘΙΟΥ.

Ἁρμονίης ἱερὸν φήσεις γάμον· ἀλλ' ἀθέμιστος
Οἰδίποδος. λέξεις Ἀντιγόνην ὁσίην·

---

Nr. 213. V. 1. πτολέμοισι. P. Nr. 215. V. 1. ἀεί. P. V. 2. Κλεονίκης. P. Fort. Κλευνίκης. V. 4. ἐπεσπάσατο. Br.

ἀλλὰ κασίγνητοι μιαρώτατοι. ἄμβροτος Ἰνώ·
　　ἀλλ' Ἀθάμας τλήμων. τειχομελὴς κιθάρη·
ἀλλ' αὐλὸς δύςμουσος. ἴδ' ὡς ἐκεράσσατο Θήβη
　　δαίμων, ἐσθλὰ κακοῖς δ' εἰς ἓν ἔμιξεν ἴσα.

### 217. ΜΟΥΚΙΟΥ ΣΚΕΥΟΛΑ.

Αἱ χίμαροι, τί ποτ' ἄρα τὰ μὲν θύμα καὶ τιθύμαλλα
　　λείπετε, καὶ χλοερὴν αἰγίνομον βοτάνην,
γυρὰ δ' ἐπ' ἀλλήλαις σκιρτήματα γαῦρα τίθεσθε
　　ἀμφὶ τὸν ὑλιβάτην ἀλλόμεναι Νόμιον;
οὐκ ἀπὸ πυγμαχίης ἀποπαύσετε; μή ποτ' ἀπεχθὴς
　　ἀντήσῃ κορύνῃ χειρὸς ἀπ' αἰπολικῆς.

### 218. ΑΙΜΙΛΙΑΝΟΥ ΝΙΚΑΕΩΣ.

Ἄβαλε χειμερίου με κατέκλυσε κύματα πόντου
　　δειλαίην, νεκύων φόρτον ἀμειψαμένην.
αἰδέομαι σωθεῖσα. τί μοι πλέον ὅρμον ἱκέσθαι,
　　δευομένῃ φωτῶν πείσματα λυσομένων;
Κωκυτοῦ με λέγοιτε βαρὺ σκάφος· ὤλεσα φῶτας,
　　ὤλεσα· ναυηγοὶ δ' εἰσὶν ἔσω λιμένος.

---

Nr. 216. V. 5. ἐκεράσατο. P. V. 6. Fort. δαίμων ἐσθλὰ κακοῖς, κεὶς ἓν ἔμ. ἴσα. Nr. 217. V. 3. ἀλλήλαισι. P. Fort. πυκνὰ δ' ἐπ'. c. Ruhnkenio. V. 4. ὑλοβάτην. Br. V. 6. αἰπολικᾶς. P. Nr. 218. V. 4. Fort. δησομένων. c. Stephano.

### 219. ΔΙΟΔΩΡΟΥ ΣΑΡΔΙΑΝΟΥ.

Αἰγιβότου Σκύροιο λιπὼν πέδον Ἴλιον ἔπλω
οἷος Ἀχιλλείδης πρόσθε μενοπτόλεμος,
τοῖος ἐν Αἰνεάδῃσι Νέρων ἀγὸς ἄστυ Ῥέμοιο
νεῖται, ἐπ' ὠκυρόην Θύμβριν ἀμειψάμενος,
κοῦρος ἔτ' ἀρτιγένειον ἔχων χνόον. ἀλλ' ὁ μὲν ἔγχει
θῦεν· ὁ δ' ἀμφοτέροις, καὶ δορὶ καὶ σοφίῃ.

### 220. ΘΑΛΛΟΥ ΜΙΛΗΣΙΟΥ.

Ἁ χλοερὰ πλατάνιστος ἴδ' ὡς ἔκρυψε φιλεύντων
ὄργια, τὰν ἱερὰν φυλλάδα τεινομένα.
ἀμφὶ δ' ἄρ' ἀκρεμόνεσσιν ἑοῖς κεχαρισμένος ὥραις
ἡμερίδος λαρῆς βότρυς ἀποκρέμαται.
οὕτως, ὦ πλατάνιστε, φύοις· χλοερὰ δ' ἀπὸ σεῖο
φυλλὰς ἀεὶ κεύθοι τοὺς Παφίης ἑτάρους.

### 221. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Αὐγάζω τὸν ἄφυκτον ἐπὶ σφραγῖδος Ἔρωτα
χερσὶ λεοντείαν ἀνιοχεῦντα βίαν,
ὡς τᾷ μὲν μάστιγα κατ' αὐχένος, ᾇ δὲ χαλινοὺς
εὐθύνει· πολλὰ δ' ἀμφιτέθηλε χάρις.
[P] φρίσσω τὸν βροτολοιγόν· ὁ γὰρ καὶ θῆρα δαμάζων
ἄγριον, οὐδ' ὀλίγων φείσεται ἀμερίων.

---

Nr. 219. V. 2. Νεοπτόλεμος. Plan. Nr. 220. V. 3. δ' ἂν ἀκρ. P. V. 6. Fort. Παφίης ὀάρους.

Digitized by Google

## 222. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἀνέρα θὴρ χερσαῖον ὁ πόντιος, ἄπνοον ἔμπνους,
  ἀράμενος λοφιῆς ὑγρὸν ὕπερθε νέκυν,
εἰς ψαμάθους ἐκόμισσα. τὸ δὲ πλέον, ἐξ ἁλὸς εἰς γῆν
  νηξάμενος, φόρτου μισθὸν ἔχω θάνατον.
δαίμονα δ' ἀλλήλων ἠμείψαμεν. ἡ μὲν ἐκείνου
  χθών, ἐμέ· τὸν δ' ἀπὸ γῆς, ἔκτανε τοὐμὸν ὕδωρ.

## 223. ΒΙΑΝΟΡΟΣ.

Ἀγγελίην πὰρ Ζηνὸς ἐπεὶ φέρεν ἠεροδίνης
  αἰετός, οἰωνῶν μοῦνος ἐνουράνιος,
οὐκ ἔφθη τὸν Κρῆτα, θοὴν δ' ἐπετείνατο νευρήν·
  πτηνὸν δ' ὁ πτερόεις ἰὸς ἐληΐσατο.
Ζηνὸς δ' οὔτι Δίκην ἔλαθεν μόνος· ἔμπεσε δ' ὄρνις
  ἀνδρί, τὰ δ' εὐστοχίης ἀνταπέτισε βέλη.
αὐχένι δ' ἰὸν ἔπηξεν, ὃν ἥπατι κοίμισεν αὐτός·
  ἓν δὲ βέλος δισσῶν αἷμ' ἔπιεν θανάτων.

## 224. ΚΡΙΝΑΓΟΡΟΥ.

Αἰγά με τὴν εὔθηλον, ὅσων ἐκένωσεν ἀμολγεὺς
  οὔθατα πασάων πουλυγαλακτοτάτην,

---

Nr. 222. V. 3. ἐκόμισα. P. Fort. τί δὲ πλέον; cum Schaefero.

Digitized by Google

γευσάμενος, μελιηδὲς ἐπεί τ' ἐφράσσατο πῖαρ
Καῖσαρ, κὴν νηυσὶν σύμπλοον εἰργάσατο.
ἥξω δ' αὐτίκα που καὶ ἐς ἀστέρας· ᾧ γὰρ ἐπέσχον
μαζὸν ἐμόν, μείων οὐδ' ὅσον Αἰγιόχου.

225. ΟΝΕΣΤΟΥ.

Ἀσωπὶς κρήνη καὶ Πηγασίς, ὕδατ' ἀδελφά,
ἵππου καὶ ποταμοῦ δῶρα ποδορραγέα.
χὼ μὲν ἔκοψ' Ἑλικῶνος, ὁ δὲ φλέβας Ἀκροκορίνθου
ἔπληξ'. ὢ πτέρνης εἰς ἴσον εὐστοχίη.

226. ΖΩΝΑ ΣΑΡΔΙΑΝΟΥ.

Αἱ δ' ἄγετε ξουθαὶ σιμβληΐδες ἄκρα μέλισσαι
φέρβεσθ' ἢ θυμέων ῥικνὰ περικνίδια,
ἢ πετάλας μήκωνος, ἢ ἀσταφιδίτιδα ῥᾶγα,
ἢ ἴον, ἢ μάλων χνοῦν ἐπικαρπίδιον·
πάντα περικνίξασθε, καὶ ἄγγεα κηρώσασθε,
ὄφρα μελισσοσόος Πὰν ἐπικυψέλιος
[P] γεύσηται τὸ μὲν αὐτὸς, ὁ δὲ βλιστηρίδι χειρὶ
καπνώσας, βαιὴν κὔμμι λίπῃ μερίδα.

227. ΒΙΑΝΟΡΟΣ.

Ἀκταίην παρὰ θῖνα, διαυγέος ἔνδοθεν ἅλμας
ἰχθύα πουλυπόδην ἔδρακεν ἰχθυβόλος·

---

Nr. 224. V. 3. ἐφράσατο. P. Nr. 226. V. 3. ἀσταφειτίδι καρῶγα. P. V. 6. μελισσοσύας. P. V. 8. λίπει. P.

νηχομένῳ δ' ἐπόρουσε καὶ ἐξ ἁλὸς ἧκ' ἐπὶ χέρσον
ἁρπάγδην, ἄγρης δεσμὸν ὑποφθάμενος.
αὐτὰρ ὁ δισκηθεὶς κατακαίριος ἔμπεσε δειλῷ
πτωκὶ * παχυσχοίνῳ· κεῖτο γὰρ ὑπναλέος·
τὸν δὲ χυθεὶς περὶ πάντα πεδήσατο, φωτὶ δ' ὑπ' ἄγρην
ἐμβυθίην ἄγρη χερσόθεν ἠντίασεν.

228. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἀγγελίης ἤκουσεν ἀνωΐστου Μελίτεια,
υἱέα σὺν φόρτῳ κύματι κρυπτόμενον·
ἠϊόσιν δ' ἐπικέλσαν ἀλίκλυστον δέμας ἄλλου,
δύσμορος οἰκείης σύμβολον εἶδε τύχης,
υἱέα δ' ὣς ἔστειλε. Δίων δ' ἐπὶ νηὸς ἀθραύστου
ἤλυθεν εὐκταίης σῶος ἀπ' ἐμπορίης.
μητέρες ὡς ἀνίσου μοίρης λάχον. ἡ μὲν ἄελπτον
ζωὸν ἔχει· κείνη δ' ὄψεται οὐδὲ νέκυν.

229. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀρχαίη σύνδειπνε, καπηλικὰ μέτρα φιλεῦσα,
εὔλαλε, πρηΰγελως, εὔστομε, μακροφάρυξ,

---

Nr. 227. V. 6. Fort. παρὰ σχοίνῳ. V. 7. ἐπ' ἄγρην. Reisk. Nr. 228. V. 1. Μελίτιννα. Br. V. 6. ἐκ γαίης. P. Nr. 229. V. 2. μακροφάρυγξ. Br.

αἰὲν ἐμῆς πενίης βραχυσύμβολε μύστι, λάγυνε,
ἦλθες ὅμως ὑπ' ἐμὴν χεῖρά ποτε χρόνιος.
αἴθ' ὄφελες καὶ ἄμικτος ἀνύμφευτός τε παρείης,
ἄφθορος ὡς κούρη πρὸς πόσιν ἐρχομένη.

230. ΟΝΕΣΤΟΥ.

Ἀμβαίνων Ἑλικῶνα μέγαν κάμες· ἀλλ' ἐκορέσθης
Πηγασίδος κρήνης νεκταρέων λιβάδων.
οὕτως καὶ σοφίης πόνος ὄρθιος· ἢν δ' ἄρ' ἐπ' ἄκρον
τέρμα μόλῃς, ἀρύσῃ Πιερίδων χάριτας.

231. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Αὔην με πλατάνιστον ἐφερπύζουσα καλύπτει
ἄμπελος· ὀθνείη δ' ἀμφιτέθηλα κόμη,
ἡ πρὶν ἐμοῖς θαλέθουσιν ἐνιθρέψασ' ὀροδάμνοις
βότρυας, ἡ ταύτης οὐκ ἀπετηλοτέρη.
τοίην μέντοι ἔπειτα τιθηνείσθω τις ἑταίρην,
ἥτις ἀμείψασθαι καὶ νέκυν οἶδε μόνη.

[P] 232. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἀδριακοῖο κύτους λαιμὸς τὸ πάλαι μελίγηρυς,
ἡνίκ' ἐγαστροφόρουν Βακχιακὰς χάριτας,

---

V. 3. μυστιλάγυνε. Plan. V. 5. ἄμυκτος. P. παρεῖναι. Plan. Fort. αἴθ' ἀφελὴς καὶ ἄμ. V. 6. ἄφθονος. P. Nr. 230. V. 3. Fort. οὕτω ἀεί. Nr. 231. V. 3. ὀροδάμνους. V. 4. ἀποτηλοτέρη. P.

Digitized by Google

νῦν κλασθεὶς κεῖμαι νεοθηλέϊ καρτερὸν ἕρκος
κλήματι, πρὸς τρυφερὴν τεινομένῳ καλύβην.
αἰεί τι Βρομίῳ λατρεύομεν· ἢ γεραὸν γὰρ
φρουροῦμεν πιστῶς, ἢ νέον ἐκτρέφομεν.

233. ΕΡΥΚΙΟΥ.

Αὐά τοι ἐκτάμνοντι γεράνδρυα, κάμμορε Μίνδων,
φωλὰς ἀραχναίη σκαιὸν ἔτυψε πόδα,
νειόθεν ἀντιάσασα· χύδην δ' ἔβρυξε μελαίνη
σηπεδόνι χλωρὴν σάρκα κατ' ἀστραγάλους.
ἐτμήθη δ' ἀπὸ τῆς στιβαρὸν γόνυ, καί σε κομίζει
μουνόποδα βλωθρῆς σκηπάνιον κοτίνου.

234. ΚΡΙΝΑΓΟΡΟΥ.

Ἄχρι τεῦ, ἆ δείλαιε, κεναῖς ἔτ' ἐπ' ἐλπίσι, θυμέ,
πωτηθεὶς ψυχρῶν ἀσσοτάτω νεφέων,
ἄλλοις ἄλλ' ἐπ' ὄνειρα διαγράψεις ἀφένοιο;
κτητὸν γὰρ θνητοῖς οὐδὲ ἓν αὐτόματον.
Μουσέων ἀλλ' ἐπὶ δῶρα μετέρχεο· ταῦτα δ' ἀμυδρὰ
εἴδωλα ψυχῆς ἠλεμάτοισι μέθες.

---

Nr. 232. V. 5. ἀεὶ. P. γεραὸν δέ. P. Nr. 233. V. 1. Μείδων. Plan. V. 3. μελαίνῃ. P. V. 4. σάρην καταστρ. P. V. 6. σκιπάνιον. P. Nr. 234. V. 1. κεναῖς ἐπ' ἐλπίσι. P. V. 6. μέθαις. P.

Digitized by Google

### 235. ΤΟΥ ΑΥΤΟΥ.

Ἄγχουροι μεγάλαι κόσμου χθόνες, ἃς διὰ Νεῖλος
πιμπλάμενος μελάνων τέμνει ἀπ' Αἰθιόπων,
ἀμφότεραι βασιλῆας ἐκοινώσασθε γάμοισιν,
ἓν γένος Αἰγύπτου καὶ Λιβύης θέμεναι.
ἐκ πατέρων εἴη παισὶν πάλι τοῖσιν ἀνάκτων
ἔμπεδον ἠπείροις σκῆπτρον ἐπ' ἀμφοτέραις.

### 236. ΒΑΣΣΟΥ ΛΟΛΛΙΟΥ.

Ἄῤῥηκτοι Μοιρῶν πυμάτην ἐσφράγισαν ὅρκοι
τῷ Φρυγὶ πὰρ βωμῷ τὴν Πριάμου θυσίην.
ἀλλὰ σοί, Αἰνεία, στόλος ἱερὸς Ἰταλὸν ἤδη
ὅρμον ἔχει, πάτρης φροίμιον οὐρανίης.
ἐς καλὸν ὤλετο πύργος ὁ Τρώϊος· ἦ γὰρ ἐν ὅπλοις
ἠγέρθη κόσμου παντὸς ἄνασσα πόλις.

### 237. ΕΡΥΚΙΟΥ.

α. Βουκόλε, πρὸς τῶ Πανός, ὁ φηγινός, εἰπέ, κολοσσὸς
οὗτος, ὅτῳ σπένδεις τὸ γλάγος, ἐστὶ τίνος;
[P] β. τῶ λειοντοπάλα Τιρυνθίω. οὐδὲ τὰ τόξα,
νήπιε, καὶ σκυτάλην ἀγριέλαιον ὁρῇς;
α. χαίροις Ἀλκείδα δαμαληφάγε, καὶ τάδε φρούρει
αὔλια, κὴξ ὀλίγων μυριόβοια τίθει.

---

Nr. 236. V. 3. ἀλλὰ σύ. P. V. 4. ἔχεν. P. Nr. 237. V. 1. τοῦ over τῶ. P. V. 3. ληοντωπάλα. P.

### 238. ΑΝΤΙΠΑΤΡΟΥ.

Βούπαις ὡπόλλων, τόδε χάλκεον ἔργον Ὀνατᾶ,
ἀγλαΐης Λητοῖ καὶ Διΐ μαρτυρίη,
οὐθ᾽ ὅτι τῆςδε μάτην Ζεὺς ἤρατο, χὤτι, κατ᾽ αἶνον,
ὄμματα καὶ κεφαλὴν ἀγλαὸς ὁ Κρονίδης.
οὐδ᾽ Ἥρη νεμεσητὸν ἐχεύατο χαλκὸν Ὀνατᾶς,
ὃν μετ᾽ Ἐληθυίης τοῖον ἀπεπλάσατο.

### 239. ΚΡΙΝΑΓΟΡΟΥ.

Βύβλων ἡ γλυκερὴ λυρικῶν ἐν τεύχεϊ τῷδε
πεντὰς ἀμιμήτων ἔργα φέρει Χαρίτων
Ἀνακρέοντος, ἃς ὁ Τήϊος * ἡδὺς πρέσβυς
ἔγραψεν ἢ παρ᾽ οἶνον, ἢ σὺν Ἱμέροις·
δῶρον δ᾽ εἰς ἱερὴν Ἀντωνίη ἥκομεν ἠῶ,
κάλλευς καὶ πραπίδων ἔξοχ᾽ ἐνεγκαμένη.

### 240. ΦΙΛΙΠΠΟΥ.

Βαιὸν ἀποπλανίην λιπομήτορα παῖδα Καλύπτρης,
κριὸς ἑλιξόκερως θεῖνε θρασυνόμενος.
κάπρος δ᾽ Ἡράκλειος ἀποῤῥήξας ἀπὸ δεσμῶν,
ἐς νηδὺν κριοῦ πᾶσαν ἔβαψε γένυν·

---

Nr. 238. V. 1. ὡπόλλον. P. ἐνάτα. Ib. V. 2. αἰγλαίης. P. V. 6. εἰληθυίης. P. Nr. 239. V. 3. ἀνακρείοντος. P. Fort. ἃς ὁ Τήϊος κύκνος Ἔγραψεν. V. 6. ἐνεγκαμένην. P. Nr. 240. V. 3. Fort. ἐπιῤῥήξας.



Digitized by Google

ζωὴν νηπιάχῳ δ᾽ ἐχαρίσσατο. ἄρ᾽ ἀπὸ Ἥρης
Ἡρακλέης βρεφέων ᾤκτισεν ἡλικίην.

## 241. ΑΝΤΙΠΑΤΡΟΥ.

Βουκόλος ἔπλεο, Φοῖβε, Ποσειδάων δὲ καβάλλης,
κύκνος Ζεύς, Ἄμμων δ᾽ ἀμφιβόητος, ὄφις, —
χοἰ μὲν ἐπ᾽ ἠϊθέας, σὺ δὲ παιδικός, — ὄφρα λάθοιτε·
ἐστὲ γὰρ οὐ πειθοῦς εὐνέται, ἀλλὰ βίης.
Εὐαγόρας δ᾽ ὢν χαλκὸς ἄτερ δόλου αὐτὸς ἐναργὴς
πάντας καὶ πάσας, οὐ μεταβαλλύμενος.

## 242. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Γλαῦκος ὁ νησαίοιο διαπλώουσιν ὁδηγὸς
πορθμοῦ, καὶ Θασίων ἔντροφος αἰγιαλῶν,
πόντου ἀροτρευτὴρ ἐπιδέξιος, οὐδ᾽, ὅτ᾽ ἔκνωσσεν,
πλαζομένῃ στρωφῶν πηδάλιον παλάμῃ,
μυριέτης, ἁλίοιο βίου ῥάκος, οὐδ᾽, ὅτ᾽ ἔμελλεν
θνήσκειν, ἐκτὸς ἔβη γηραλέης σανίδος.
[P] τοὶ δὲ κέλυφος ἔκαυσαν ἐπ᾽ ἀνέρι, τόφρ᾽ ὁ γεραιὸς
πλώσῃ ἐπ᾽ οἰκείης εἰς Ἀΐδην ἀκάτου.

---

V. 5. δεχαρίσατο. P. Fort. καὶ γὰρ ἀφ᾽ Ἥρης. Nr. 242. V. 1. Fort. ὁ Νεσταίοιο. V. 5. αἰλίοιο. P. οὐδὰρ ἔμ. Ib. V. 7. ἔκλυσαν. P. τοφραγεραιός. Ib.

Digitized by Google

243. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Γήθησαν περὶ παιδὸς Ἀριστίπποιο τοκῆες,
καὶ κλαῦσαν· μοίρης δ' ἦμαρ ἓν ἀμφοτέρης.
εὖτε γὰρ αἰθόμενον δόμον ἔκφυγεν, ἰθὺ κεραυνοῦ
Ζεὺς κατά οἱ κεφαλῆς ἄσπετον ἧκε σέλας.
τοῦτο δ' ἔπος τότ' ἔλεξαν ὅσοι νέκυν ὠδύροντο·
ὦ πυρὶ δαιμονίῳ τλῆμον ὀφειλόμενε.

244. ΤΟΥ ΑΥΤΟΥ.

Δειματόεις ἐλάφων κεραὸς λόχος, εὖτε κρυώδεις
πλῆσαν ὀρῶν κορυφὰς χιόνεαι νιφάδες,
δείλαιαι ποταμοῖσιν ἐφώρμισαν, ἐλπίδι φροῦδοι
χλιῆναι νοτεροῖς ἄσθμασιν ὠκὺ γόνυ.
τὰς δὲ περιφράξας ἐχθρὸς ῥόος ἀθρόον ἄφνω
χειμερίῃ στυγεροῦ δῆσε πάγοιο πέδῃ.
πληθὺς δ' ἀγροτέρων ἀλίνου θοινήσατο θήρης,
ἣ φύγεν ἁρπεδόνην πολλάκι καὶ στάλικα.

245. ΑΝΤΙΦΑΝΟΥΣ.

Δυσμοίρων θαλάμων ἐπὶ παστάσιν οὐχ Ὑμέναιος,
ἀλλ' Ἀΐδης ἔστη πικρογάμου Πετάλης.
δείματι γὰρ μούνην πρωτόζυγα Κύπριν ἀν' ὄρφνην
φεύγουσαν, ξυνὸν παρθενικαῖσι φόβον,

---

Nr. 244. V. 3. ἐλπίσι φρούδαις. Br. V. 4. γόνου. Ib. νάμασιν. Br. V. 6. χειμερίης. P. V. 8. στάλικας. Plan. Nr. 245. V. 1. ἐπὶ παράστασιν. P.

Digitized by Google

φρουροδόμοι νηλεῖς κύνες ἔκτανον· ἣν δὲ γυναῖκα
ἐλπὶς ἰδεῖν, ἄφνως ἔσχομεν οὐδὲ νέκυν.

246. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἐθραύσθης ἡδεῖα παρ' οἰνοπόταισι λάγυνε
νηδύος ἐκ πάσης χευαμένη Βρόμιον.
τηλόθε γὰρ λίθος εἰς σὲ βαρύστονος, οἷα κεραυνός,
οὐ Διὸς ἐκ χειρῶν, ἀλλὰ Δίωνος ἔβη.
ἦν δὲ γέλως ἐπὶ σοί, καὶ σκώμματα πυκνά, τυπείσης,
καὶ πολὺς ἐξ ἑτάρων γιγνόμενος θόρυβος.
οὐ θρηνῶ σε, λάγυνε, τὸν εὐαστῆρα τεκοῦσαν
Βάκχον, ἐπεὶ Σεμέλη καὶ σὺ πεπόνθατ' ἴσα.

247. ΦΙΛΙΠΠΟΥ.

Εὐθηλῆ πλάτανόν με Νότου βαρυλαίλαπες αὖραι
ῥίζης ἐξ αὐτῆς ἐστόρεσαν δαπέδοις.
[P] λουσαμένη Βρομίῳ δ' ἔστην πάλιν, ὄμβρον ἔχουσα
χείματι καὶ θάλπει τοῦ Διὸς ἡδύτερον.
ὀλλυμένη δ' ἔζησα· μόνη δὲ πιοῦσα Λυαῖον,
ἄλλων κλινομένων, ὀρθοτέρη βλέπομαι.

248. ΒΟΗΘΟΥ ΤΟΥ ΕΛΕΓΕΙΟΓΡΑΦΟΥ.

Εἰ τοῖος Διόνυσος ἐς ἱερὸν ἦλθεν Ὄλυμπον,
κωμάζων Λήναις σύν ποτε καὶ Σατύροις,

---

V. 6. ἄφνω. P. Nr. 246. V. 1. ἡλεῖα. P. Nr. 247. V. 1. εὐθαλῆ. P. εὐθαλέα. Br.

Digitized by Google

οἷον ὁ τεχνήεις Πυλάδης ὠρχήσατο κεῖνον,
ὀρθὰ κατὰ τραγικῶν τέθμια μουσοπόλων,
παυσαμένη ζήλου Διὸς ἂν φάτο σύγγαμος Ἥρη·
ἐψεύσω, Σεμέλη, Βάκχον· ἐγὼ δ' ἔτεκον.

### 249. ΜΑΚΚΙΟΥ.

Εὐπέταλον γλαυκὰν ἀναδενδράδα τάνδε παρ' ἄκραις
ἱδρυνθεὶς λοφιαῖς Πὰν ὅδ' ἐπισκοπέω.
εἰ δέ σε πορφύροντος ἔχει πόθος, ὦ παροδῖτα,
βότρυος, οὐ φθονέω γαστρὶ χαριζομένῳ·
ἢν δὲ χερὶ ψαύσῃς κλοπίῃ μόνον, αὐτίκα δέξῃ
ὀζαλέην βάκτρου τήνδε καρηβαρίην.

### 250. ΟΝΕΣΤΟΥ.

Ἔστην ἐν φόρμιγγι, κατηρείφθην δὲ σὺν αὐλῷ
Θήβη. φεῦ Μούσης ἔμπαλιν ἁρμονίης.
κωφὰ δέ μοι κεῖται λυροθελγέα λείψανα πύργων,
πέτροι μουσοδόμοις τείχεσιν αὐτόμολοι,
σῆς χερός, Ἀμφίων, ἄπονος χάρις· ἑπτάπυλον γὰρ
πάτρην ἑπταμίτῳ τείχισας ἐν κιθάρῃ.

---

Nr. 249. V. 1. Fort. γλαυκὴν et τήνδε. V. 2. ἱδρυθείς. P. V. 5. χερὶ ηψαύσῃς. P. κλοπίμῃ. Br. Nr. 250. V. 1. κατ' ἠριφίην. P. V. 4. πέτροις. αὐτομόλοις. P. V. 5. ἑπτάμιτον γάρ. P.

Digitized by Google

### 251. ΕΥΗΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἐχθίστη Μούσαις σελιδηφάγε, λωβήτειρα
φωλάς, ἀεὶ σοφίης κλέμματα φερβομένη,
τίπτε κελαινόχρως ἱεραῖς ψήφοισι λοχάζῃ,
σίλφη, τὴν φθονερὴν εἰκόνα πλαττομένη;
φεῦγ᾽ ἀπὸ Μουσάων, ἴθι τηλόσε, μηδ᾽ ὅσον ὄψει
βάσκανον * ἐν ψήφῳ δόξαν ἐπεισαγάγῃ.

### 252. ΑΔΕΣΠΟΤΟΝ.

Ἐς βαθὺν ἥλατο Νεῖλον ἀπ᾽ ὀφρύος ὀξὺς ὁδίτης,
ἡνίκα λαιμάργων εἶδε λύκων ἀγέλην.
ἀλλά μιν ἀγρεύσαντο δι᾽ ὕδατος· ἔβρυχε δ᾽ ἄλλος
ἄλλον, ἐπουραίῳ δήγματι δραξάμενος.
μακρὰ γεφυρώθη δὲ λύκοις βυθός. ἔφθανε δ᾽ ἄνδρα
νηχομένων θηρῶν αὐτοδίδακτος ἄρης.

### [¶] 253. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἐν Θήβαις Κάδμου κλεινὸς γάμος, ἀλλὰ μυσαχθὴς
Οἰδίποδος. τελετὰς Εὔϊος ἠσπάσατο,
ἃς γελάσας Πενθεὺς ὠδύρατο. τείχεα χορδαῖς
ἔστη, καὶ λωτοῖς ἔστενε λυόμενα.
Ἀντιόπης ὁσίη, χαλεπὴ δ᾽ ὠδὶς Ἰοκάστης.
ἦν Ἰνὼ φιλόπαις, ἀλλ᾽ ἀσεβὴς Ἀθάμας.

---

Nr. 251. V. 2. Fort. σοφίης λέμματα. V. 6. εὐψήκτῳ δῆξιν ἐπεισαγάγῃς. Br. Fort. βάσκανε, τὸν σίφων᾽ ὀξὺν ἐπεισαγάγῃς.
Nr. 252. V. 2. λύκων εἶδεν. P. V. 3. ἀγεύσαντο. P. ἔβρυκε. Br.

Digitized by Google

οἰκτρὸν ἀεὶ πτολίεθρον· ἴδ' ὡς ἐσθλῶν περὶ Θήβα
μύθων καὶ στυγνῶν ἤρκεσεν ἱστορίη.

254. ΤΟΥ ΑΥΤΟΥ.

Ἡ πυρὶ πάντα τεκοῦσα Φιλαίνιον, ἡ βαρὺ πένθος
μήτηρ, ἡ τέκνων τρισσὸν ἰδοῦσα τάφον,
ἀλλοτρίαις ὠδῖσιν ἐφώρμισα· ἦ γὰρ ἐώλπειν
πάντως μοι ζήσειν τοῦτον, ὃν οὐκ ἔτεκον.
ἡ δ' εὔπαις θετὸν υἱὸν ἀνήγαγον. ἀλλά με δαίμων
ἤθελε μηδ' ἄλλης μητρὸς ἔχειν χάριτα.
κληθεὶς ἡμέτερος γὰρ ἀπέφθιτο· νῦν δὲ τεκούσαις
ἤδη καὶ λοιπαῖς πένθος ἐγὼ γέγονα.

255. ΤΟΥ ΑΥΤΟΥ.

Ἠρίθμει πολὺν ὄλβον Ἀριστείδης ὁ πενιχρός,
τὴν ὄϊν, ὡς ποίμνην, τὴν βόα δ', ὡς ἀγέλην·
ἤμβροτε δ' ἀμφοτέρων· ἀμνὴν λύκος, ἔκτανε δ' ὠδὶς
τὴν δάμαλιν, πενίης δ' ὤλετο βουκόλιον·
πηροδέτῳ δ' ὅ γ' ἱμάντι κατ' αὐχένος ἅμμα πεδήσας,
οἰκτρὸς ἀμυκήτῳ κάτθανε πὰρ καλύβῃ.

---

Nr. 254. V. 1. βαρύπενος. P. V. 3. Fort. καὶ γὰρ ἐώλπ. Nr. 255. Cf. supra p. 380. nr. 150. V. 3. ἀμφοτέρην. P. V. 5. π. δ' ἱμάντι. P.

### 256. ΑΝΤΙΦΑΝΟΥΣ.

Ἡμισυ μεν ζώειν ἐδόκουν ἔτι, κεῖνο δ' ἔφυσεν
    ἓν μόνον αἰπυτάτου μῆλον ἐπ' ἀκρέμονος·
ἡ δὲ κύων δένδρων καρποφθόρος, ἡ πτιλόνωτος
    κάμπη, καὶ τὸ μόνον βάσκανος ἐξέφαγεν.
ὁ Φθόνος εἰς πολὺν ὄχλον ἀπέβλεπεν· ὃς δὲ τὰ μικρὰ
    πορθεῖ καὶ τούτους * γηρὰν ἀεί μ' ἔλεγεν.

### 257. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἡ ΚΑΘΑΡΗ (Νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων
    κρήνη πασάων δῶκαν ἐμοὶ λιβάδων)
ληϊστὴς ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας,
    καὶ φονίην ἱεροῖς ὕδασι λοῦσε χέρα,
[P] κεῖνον ἀναστρέψασα γλυκὺν ῥόον, οὐκέθ' ὁδίταις
    βλύζω· τίς γὰρ ἐρεῖ ΤΗΝ ΚΑΘΑΡΗΝ ἔτι με;

### 258. ΑΝΤΙΦΑΝΟΥΣ ΜΕΓΑΛΟΠΟΛΙΤΟΥ.

Ἡ πάρος εὐΰδροισι λιβαζομένη προχοαῖσι,
    πτωχὴ νῦν Νυμφῶν, μέχρι καὶ εἰς σταγόνα.
λυθρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
    ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράσας·

---

Nr. 256. V. 3. καρποφόρος. P. V. 5. Fort. ὄλβον ἀποβλέπει. V. 6. Fort. ναὶ τοῦτον Κῆρα κάλει μεγάλην. Nr. 257. V. 3. παρακλίντορος. P. Nr. 258. V. 4. ἀνδροφώνον. P.

Digitized by Google

ἐξ οὗ μοι κοῦραι φύγον ἥλιον, εἰς ἕνα Βάκχον,
εἰποῦσαι, Νύμφαι μισγόμεθ', οὐκ ἐς Ἄρη.

259. ΒΙΑΝΟΡΟΣ.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ' ἐπὶ παιδὶ
νηπιάχῳ Ζεφύρου πολλὸν ἐλαφρότερος·
φείσατο κουροσύνης καὶ ἐρείπιον. ὦ μεγάλαυχοι
μητέρες, ὠδίνων καὶ λίθος αἰσθάνεται.

260. ΣΕΚΟΥΝΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἡ τὸ πάλαι Λαῒς πάντων βέλος, οὐκέτι Λαΐς,
ἀλλ' ἐτέων φανερὴ πᾶσιν ἐγὼ Νέμεσις.
οὐ μὰ Κύπριν (τί δὲ Κύπρις ἐμοὶ ἔτι, πλὴν ὅσον ὅρκος;)
γνώριμον οὐδ' αὐτῇ Λαΐδι Λαῒς ἔτι.

261. ΕΠΙΓΟΝΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἡ πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα,
καὶ τετανῶν βοτρύων ῥᾶγα κομισσαμένη,
νῦν οὕτω γραιοῦμαι. ἴδ' ὁ χρόνος οἷα δαμάζει·
καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

---

Nr. 259. V. 3. ἐρίπιον. P. Nr. 260. V. 3. ἐμοῦ ἔτι. P. ἐμοὶ πλέον ἢ ὅσον. Schol. Wech. Fort. ἐμοί γ' ἔτι. Nr. 261. V. 2. πεπάνων. Br. κομησαμένη. P.

Digitized by Google

### 262. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἠρίθμουν ποτὲ πάντες Ἀριστοδίκην κλυτόπαιδα,
ἑξάκις ὠδίνων ἄχθος ἀπωσαμένην.
ἤρισε δ' εἰς αὐτὴν ὕδωρ χθονί. τρεῖς γὰρ ὄλοντο
νούσῳ· λειπόμενοι δ' ἤμυσαν ἐν πελάγει.
αἰεὶ δ' ἡ βαρύδακρυς, ἐπὶ στήλαις μὲν ἀηδών,
μεμφομένη δὲ βυθοῖς, ἀλκυονὶς βλέπεται.

### 263. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἡ γραῦς Εὐβούλη, ὅτε οἱ καταθύμιον ἦν τι,
Φοίβου τὸν πρὸ ποδῶν μάντιν ἄειρε λίθον,
χείρεσι πειράζουσα· καὶ ἦν βαρύς, ἡνίκα μή τι
ἤθελεν· εἰ δ' ἐθέλοι, κουφότερος πετάλων.
αὐτὴ δὲ πρήσσουσα τό οἱ φίλον, ἤν ποθ' ἁμάρτῃ,
Φοίβῳ τὰς ἀνίσους χεῖρας ἐπεγράφετο.

### 264. ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ ΦΙΛΙΠΠΟΥ.

Θάμνου ποτ' ἄκρους ἀμφὶ πρῶνας ἥμενος
τέττιξ πτερῷ, φλέγοντος ἡλίου μέσου,
[❡] νηδὺν ῥαπίζων, δαίδαλ' αὐτουργῷ μέλει
ἡδὺς κατωργάνιζε τῆς ἐρημίας.
Κρίτων δ', ὁ πάσης ἰξοεργὸς Πιαλεὺς
θήρης, ἀσάρκου νῶτ' ἐδουνακεύσατο.

---

Nr. 263. V. 3. πειρίζουσα καὶ εἰ β. P. V. 5. αμαρτοι. P. εἴ ποθ' ἁμάρτοι corr. Schaefer. Nr. 264. V. 1. κλῶνας. Br. V. 2. μέσον. P. V. 3. ῥανίζων δαίδαλον. P. V. 6. ἄσαρκα. Br. νῶτα δουν. P.

τίσιν δ' ἔτισεν· εἰς γὰρ ἠθάδας πάγας
σφαλεὶς ἀλᾶται παντὸς ἱμείρων πτεροῦ.

## 265. *ΤΟΥ ΑΥΤΟΥ.*

Ἰοτυπὴς Διὸς ὄρνις ἐτίσατο Κρῆτα φαρέτρης,
οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος·
* ξένον δ' εὐθὺς ἄκοντι πάλιν * * *
ἠερίον, πίπτων δ' ἔκτανεν, ὡς ἔθανεν.
μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι Κρῆτες οἰστοῖς
αὐχεῖθ'· ὑμνείσθω καὶ Διὸς εὐστοχίη.

## 266. *ΑΝΤΙΠΑΤΡΟΥ.*

Ἵμερον αὐλήσαντι πολυτρήτων διὰ λωτῶν
εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ Γλαφύρῳ·
Μαρσύη, ἐψεύσω τεὸν εὕρεμα, τοὺς γὰρ Ἀθήνης
αὐλοὺς ἐκ Φρυγίης οὗτος ἐληΐσατο·
εἰ δὲ σὺ τοιούτοις τότ' ἐνέπνεες, οὐκ ἂν Ὕαγνις
τὴν ἐπὶ Μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

## 267. *ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.*

Ἰκαρίην πλώων * * * * ἅλα, νηὸς ὀλισθὼν
Δᾶμις ὁ Νικαρέτου κάππεσεν εἰς πέλαγος.

---

Nr. 265. V. 1. ἰοτυπεὶς. P. V. 3. κεῖνον .... παλινδρομέοντι κατέκτα ἠερόθεν. Plan. V. 6. αὐχεῖσθ'. P. Nr. 266. V. 2. γλαφυρῷ. P. Nr. 267. V. 1. Ἰκαρίην τὸ πάρος. Plan. Fort. Ἰκαρίην πλώων ἔτι παῖς ἅλα.

πολλὰ πατὴρ δ' ἠρᾶτο πρὸς ἀθανάτους, καὶ ἐς ὕδωρ
φθέγγεθ', ὑπὲρ τέκνου κύματα λισσόμενος.
ὤλετο δ' οἰκτίστως βρυχθεὶς ἁλί. κεῖνο δὲ πατρὸς
ἔκλυεν ἀράων οὐδὲ πάλαι πέλαγος.

268. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Κρῆσσα κύων ἐλάφοιο κατ' ἴχνιον ἔδραμε Γοργώ,
ἔγκυος, ἀμφοτέρην Ἄρτεμιν εὐξαμένη·
τίκτε δ' ἀποκτείνουσα· θοὴ δ' ἐπένευσεν Ἐλευθὼ
ἄμφω, εὐαγρίης δῶρα καὶ εὐτοκίης·
καὶ νῦν ἐννέα παισὶ διδοῖ γάλα. φεύγετε, Κρῆσσαι
κεμμάδες, ἐκ τοκάδων τέκνα διδασκόμενα.

269. ΤΟΥ ΑΥΤΟΥ.

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδατι, δῆριν ἔθεντο
διςσοὶ ὑπὲρ μούνης μαρνάμενοι σανίδος.
[P] τύψε μὲν Ἀνταγόρης Πεισίστρατον. οὐ νεμεσητόν,
ἦν γὰρ ὑπὲρ ψυχῆς· ἀλλ' ἐμέλησε Δίκη.
νήχεθ' ὁ μέν· τὸν δ' εἷλε κύων ἁλός· ἡ παναλάστωρ
Κηρῶν οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

---

V. 5. οἰκτίστῳ. P. Nr. 268. V. 1. κατ' ἴχνος ἔδ. γοργή. P. V. 4. Fort. ἀμφότερ', εὐαγρ. V. 6. διδασκόμεναι. P. Fort. φεύγετε Κρησσῶν, Κεμμάδες, ἐκ τοκάδων τέκνα διδασκόμενα. Nr. 269. V. 3. Fort. δύψε. V. 5. νῆχεδ'. P. ἀλὸς παναλάστωρ. P. V. 6. χήρων. P.

Digitized by Google

### 270. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κωμάζω, χρύσειον ἐς ἑσπερίων χορὸν ἄστρων
λεύσσων, οὐδ' ἄλλων λὰξ * ἐβαρυναόρος·
στέψας δ' ἀνθόβολον κρατὸς τρίχα, τὴν κελαδεινὴν
πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.
καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον· οὐδὲ γὰρ αὐτὸς
κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνου.

### 271. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Καὶ πότε * δινήεις ἄφοβος πόρος, εἰπέ, θάλασσα,
εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα,
ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
νήνεμον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην;
ἀλλὰ καὶ ἡνίκα μαῖα καὶ ὠδίνεσσιν ἀπήμων
αὐχεῖς, σὺν φόρτῳ δῦσας Ἀριστομένην.

### 272. ΒΙΑΝΟΡΟΣ.

Καρφαλέος δίψει Φοίβου λάτρις εὖτε γυναικὸς
εἶδεν ὑπὲρ τύμβου κρωσσίον ὀμβροδόκον,

---

Nr. 270. V. 1. ἄστρον. P. V. 2. ἐβάρυνα χορούς. Plan. Fort. ἐβάρυν' ἀόρους cum Schaefero. V. 3. στρέψας. P. Nr. 271. V. 1. δι- ´θεῖσα Βόσπορος´ νήεις ἄφοβος. P. δὴ νάεις. Br. Fort. καὶ πότε δὴ ναύταις. V. 2. εἰ καὶ ἀλ. P. Fort. εἰ κὴν. V. 5. γαῖα καί. P. Nr. 272. V. 2. ὀμβροδόκην. P.

Digitized by Google

κλάγξεν ὑπὲρ χείλους, ἀλλ᾽ οὐ γένυς ἥπτετο βυσσοῦ.
Φοῖβε, σὺ δ᾽ εἰς τέχνην ὄρνιν ἐκαιρομάνεις.
χερμάδα δὲ ψάμμων σφαιρῶν, πότον ἅρπαγι χείλει
ἔφθανε μαιμάσσων λαοτίνακτον ὕδωρ.

273. ΤΟΥ ΑΥΤΟΥ.

Καύματος, ἐν θάμνοισι λαλίστατος ἡνίκα τέττιξ
φθέγξατο διγλώσσῳ μελπόμενος στόματι,
δουνακόεντα Κρίτων συνθεὶς δόλον, εἷλεν ἀοιδὸν
ἠέρος, οὐκ ἰδίην ἰξοβολῶν μελέτην.
ἄξια δ᾽ οὐχ ὁσίης θήρης πάθεν· οὐ γὰρ ἔτ᾽ ἄλλων
πήξατ᾽ ἐπ᾽ ὀρνίθων εὔστοχον, ὡς πρίν, ἄγρην.

274. ΦΙΛΙΠΠΟΥ.

Καὶ τὸν ἀρουραῖον * γυρητόμον αὔλακα τέμνει
μηροτυπεῖ κέντρῳ πειθομένη δάμαλις·
καὶ μετ᾽ ἀρυτροπόνους ζεύγλας πάλι τῷ νεοθηλεῖ
πινομένη μόσχῳ δεύτερον ἄλγος ἔχει.
μὴ θλίψῃς αὐτὴν ὁ γεωμόρος. οὗτος ὁ βαιὸς
μόσχος, ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

---

V. 4. Fort. ἐκαιρονόμεις. V. 5. χ. δὲ ψαλμῶν σφαῖρον πότον. P. V. 6. λαοτίτακτον. P. Nr. 273. V. 4. ἐξυβολῶν. P. V. 6. Fort. ἄρην. Nr. 274. V. 1. πυρητόκον. Br. Fort. γυιητόμον. V. 3. ἀροτροπόνου. P.

[P] 275. ΜΑΚΕΔΟΝΙΟΥ.

Κάπρον μὲν χέρσῳ Κόδρος ἔκτανε· τὴν δὲ ταχεῖαν
εἰν ἁλὶ καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
εἰ δ' ἦν καὶ πτηνὴ θηρῶν φύσις, οὐδ' ἂν ἐν αἴθρῃ
τὴν κείνου κενεὴν Ἄρτεμις εἶδε χέρα.

276. ΚΡΙΝΑΓΟΡΟΥ.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλαισι θαλάσσης
χερνῆτις, διεροῦ τυτθὸν ὕπερθε πάγου,
χέρσον ἐπεκβαίνοντι κατασπασθεῖσα κλύδωνι,
δειλαίη πικροῦ κῦμ' ἔπιεν θανάτου·
πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηῒ
θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

277. ΑΝΤΙΦΙΛΟΥ.

Λαβροπόδη χείμαῤῥε, τί δὴ τόσον ὧδε κορύσσῃ,
πεζὸν ἀποκλείων ἴχνος ὁδοιπορίης;
ἦ μεθύεις ὄμβροισι, καὶ οὐ Νύμφαισι διαυγὲς
νᾶμα φέρεις, θολεραῖς δ' ἠράνισαι νεφέλαις.
ὄψομαι ἠελίῳ σε κεκαυμένον, ὅςτις ἐλέγχειν
καὶ γόνιμον ποταμῶν καὶ νόθον οἶδεν ὕδωρ.

---

Nr. 275. V. 3. αἴθρι. P. Nr. 276. V. 5. πενίη. P. Nr. 277. V. 4. ἠράνισ' ἐν. P.

### 278. ΒΙΑΝΟΡΟΣ.

Λάρνακα, πατρώων ἔτι λείψανα κοιμίζουσαν
νεκρῶν, χειμάῤῥῳ παῖς ἴδε συρομένην·
καί μιν ἄχος τόλμης ἐπλήσατο, χεῦμα δ' ἀναιδὲς
εἰςέθορεν, πικρὴν δ' ἦλθ' ἐπὶ συμμαχίην.
ὀστέα μὲν γὰρ ἔσωσεν ἀφ' ὕδατος, ἀντὶ δὲ τούτων
αὐτὸς ὑπὸ βλοσυροῦ χεύματος ἐφθάνετο.

### 279. ΒΑΣΣΟΥ.

Ληθαίης ἀκάτοιο τριηκοσίους ὅτε ναύτας
δεύτερον ἔσχ' Ἀΐδης, πάντας ἀρηϊφάτους,
Σπάρτας ὁ στόλος, εἶπεν· ἴδ' ὡς πάλι πρόσθια πάντα
τραύματα, καὶ στέρνοις δῆρις ἔνεστι μόνοις·
νῦν γε μόθου κορέσασθε, καὶ αἴσιμον ἀμπαύσασθε
ὕπνον, ἀνικήτου δῆμος Ἐνυαλίου.

### 280. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Λαίλιος, Αὐσονίων ὑπάτων κλέος, εἶπεν ἀθρήσας
Εὐρώταν· Σπάρτης χαῖρε φέριστον ὕδωρ.
Μουσάων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορι βίβλῳ,
εἶδεν ὑπὲρ κορυφῆς σύμβολον εὐμαθίης.

---

Nr. 278. V. 1. πατρωων (αν). P. κομίζουσαν. Ib. Nr. 279. V. 5. καὶ εἰς ἐμόν. P. V. 6. ἀνικάτου. P. Nr. 280. V. 1. ὑπάτον (ω). P.

Digitized by Google

κίτται, μιμηλὸν βιότου πτερόν, ἐν σκιεροῖσιν
ἄγκεσι παμφώνων μέλπον ἀπὸ στομάτων.
[P] ὡρμήθη δ' ἐπὶ ταῖσι. τί δ' οὐ ζηλωτὸς ὁ μόχθος,
εἰ καὶ πτηνὰ ποθεῖ [γάρυος ἡμετέρης;]

281. ΤΟΥ ΑΥΤΟΥ.

Ξεῖνον ὁπηνίκα θαῦμα κατείδομεν Ἀσὶς ἅπασα,
πῶλον ἐπ' ἀνδρομέαν σάρκα φριμασσόμενον,
Θρηϊκίης φάτνης παλαιὸς λόγος εἰς ἐμὸν ὄμμα
ἤλυθε. δίζημαι δεύτερον Ἡρακλέα.

282. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Ξεῖνοι, παρθένος εἰμὶ τὸ δένδρεον· εἴπατε δάφνης
φείσασθαι δμώων χερσὶν ἑτοιμοτόμοις.
ἀντὶ δ' ἐμεῦ κομάρου τις ὁδοιπόρος ἢ τερεβίνθου
δρεπτέσθω, χθαμαλὴν ἐς χύσιν· οὐ γὰρ ἑκάς·
ἀλλ' ἀπ' ἐμεῦ ποταμὸς μὲν ὅσον τρία, τοῦ δ' ἀπὸ πηγῶν
ὕλη πανθηλὴς δοιὰ πέλεθρ' ἀπέχει.

---

V. 5. κιττέ. P. V. 8. verba γάρυος ἡμετέρης accesserunt ex Plan. Nr. 281. V. 1. ξυνόν. P. V. 2. ὑπ' ἀνδ. et φρισσούμενον (μασσό above). P. V. 3. παλεός. P. πολιός. Plan. Nr. 282. V. 2. φείσασθε. P. V. 5. ὑπ' ἐμεῦ. P.

### 256. ΑΝΤΙΦΑΝΟΥΣ.

Ἡμισὺ μεν ζώειν ἐδόκουν ἔτι, κεῖνο δ' ἔφυσεν
ἓν μόνον αἰπυτάτου μῆλον ἐπ' ἀκρέμονος·
ἡ δὲ κύων δένδρων καρποφθύρος, ἡ πτιλόνωτος
κάμπη, καὶ τὸ μόνον βάσκανος ἐξέφαγεν.
ὁ Φθόνος εἰς πολὺν ὄχλον ἀπέβλεπεν· ὃς δὲ τὰ μικρὰ
πορθεῖ καὶ τούτους * γηρὰν ἀεί μ' ἔλεγεν.

### 257. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἡ ΚΑΘΑΡΗ (Νύμφαι γὰρ ἐπώνυμον ἔξοχον ἄλλων
κρήνη πασάων δῶκαν ἐμοὶ λιβάδων)
ληΐστης ὅτε μοι παρακλίντορας ἔκτανεν ἄνδρας,
καὶ φονίην ἱεροῖς ὕδασι λοῦσε χέρα,
[¶] κεῖνον ἀναστρέψασα γλυκὸν ῥόον, οὐκέθ' ὁδίταις
βλύζω· τίς γὰρ ἐρεῖ ΤΗΝ ΚΑΘΑΡΗΝ ἔτι με;

### 258. ΑΝΤΙΦΑΝΟΥΣ ΜΕΓΑΛΟΠΟΛΙΤΟΥ.

Ἡ πάρος εὐύδροισι λιβαζομένη προχοαῖσι,
πτωχὴ νῦν Νυμφῶν, μέχρι καὶ εἰς σταγόνα.
λυθρώδεις γὰρ ἐμοῖσιν ἐνίψατο νάμασι χεῖρας
ἀνδροφόνος, κηλῖδ' ὕδασιν ἐγκεράσας·

---

Nr. 256. V. 3. καρποφόρος. P. V. 5. Fort. ὄλβον ἀποβλέπει. V. 6. Fort. ναὶ τοῦτον Κῆρα κάλει μεγάλην. Nr. 257. V. 3. παρακλίντορος. P. Nr. 258. V. 4. ἀνδροφώνον. P.

ἐξ οὗ μοι κοῦραι φύγον ἥλιον, εἰς ἕνα Βάκχον,
εἰποῦσαι, Νύμφαι μισγόμεθ᾽, οὐκ ἐς Ἄρη.

### 259. ΒΙΑΝΟΡΟΣ.

Ἤριπεν ἐξ ἄκρης δόμος ἀθρόος, ἀλλ᾽ ἐπὶ παιδὶ
νηπιάχῳ Ζεφύρου πολλὸν ἐλαφρότερος·
φείσατο κουροσύνης καὶ ἐρείπιον. ὦ μεγάλαυχοι
μητέρες, ὠδίνων καὶ λίθος αἰσθάνεται.

### 260. ΣΕΚΟΥΝΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Ἡ τὸ πάλαι Λαῒς πάντων βέλος, οὐκέτι Λαΐς,
ἀλλ᾽ ἐτέων φανερὴ πᾶσιν ἐγὼ Νέμεσις.
οὐ μὰ Κύπριν (τί δὲ Κύπρις ἐμοὶ ἔτι, πλὴν ὅσον
ὅρκος;)
γνώριμον οὐδ᾽ αὐτῇ Λαΐδι Λαῒς ἔτι.

### 261. ΕΠΙΓΟΝΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἡ πάρος εὐπετάλοισιν ἐν οἰνάνθαις νεάσασα,
καὶ τετανῶν βοτρύων ῥᾶγα κομισσαμένη,
νῦν οὕτω γραιοῦμαι. ἴδ᾽ ὁ χρόνος οἷα δαμάζει·
καὶ σταφυλὴ γήρως αἰσθάνεται ῥυτίδων.

---

Nr. 259. V. 3. ἐρίπιον. P. Nr. 260. V. 3. ἐμοῦ ἔτι. P. ἐμοὶ πλέον ἢ ὅσον. Schol. Wech. Fort. ἐμοί γ᾽ ἔτι. Nr. 261. V. 2. πεπάνων. Br. κομησαμένη. P.

Digitized by Google

### 262. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

*Ἠρίθμουν ποτὲ πάντες Ἀριστοδίκην κλυτόπαιδα,*
*ἑξάκις ὠδίνων ἄχθος ἀπωσαμένην.*
*ἤρισε δ' εἰς αὐτὴν ὕδωρ χθονί. τρεῖς γὰρ ὄλοντο*
*νούσῳ· λειπόμενοι δ' ἤμυσαν ἐν πελάγει.*
*αἰεὶ δ' ἡ βαρύδακρυς, ἐπὶ στήλαις μὲν ἀηδών,*
*μεμφομένη δὲ βυθοῖς, ἀλκυονὶς βλέπεται.*

### 263. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

*Ἡ γραῦς Εὐβούλη, ὅτε οἱ καταθύμιον ἦν τι,*
*Φοίβου τὸν πρὸ ποδῶν μάντιν ἄειρε λίθον,*
*χείρεσι πειράζουσα· καὶ ἦν βαρύς, ἡνίκα μή τι*
*ἤθελεν· εἰ δ' ἐθέλοι, κουφότερος πετάλων.*
*αὐτὴ δὲ πρήσσουσα τό οἱ φίλον, ἥν ποθ' ἁμάρτῃ,*
*Φοίβῳ τὰς ἀνίσους χεῖρας ἐπεγράφετο.*

### 264. ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ ΦΙΛΙΠΠΟΥ.

*Θάμνου ποτ' ἄκρους ἀμφὶ πρῶνας ἥμενος*
*τέττιξ πτερῷ, φλέγοντος ἡλίου μέσου,*
[P] *νηδὺν ῥαπίζων, δαίδαλ' αὐτουργῷ μέλει*
*ἡδὺς κατωργάνιζε τῆς ἐρημίας.*
*Κρίτων δ', ὁ πάσης ἰξοεργὸς Πιαλεὺς*
*θήρης, ἀσάρκου νῶτ' ἐδουνακεύσατο.*

---

Nr. 263. V. 3. *πειρίζουσα καὶ εἰ β.* P. V. 5. *αμαρτοι.* P. *εἴ ποθ' ἁμάρτοι* corr. Schaefer. Nr. 264. V. 1. *κλῶνας.* Br. V. 2. *μέσον.* P. V. 3. *ῥανίζων δαίδαλον.* P. V. 6. *ἄσαρκα.* Br. *νῶτα δουν.* P.

Digitized by Google

τίσιν δ' ἔτισεν· εἰς γὰρ ἠθάδας πάγας
σφαλεὶς ἀλᾶται παντὸς ἱμείρων πτεροῦ.

## 265. ΤΟΥ ΑΥΤΟΥ.

Ἰοτυπὴς Διὸς ὄρνις ἐτίσατο Κρῆτα φαρέτρης,
οὐρανόθεν τόξῳ τόξον ἀμυνόμενος·
* ξένον δ' εὐθὺς ἄκοντι πάλιν * * *
ἠερίον, πίπτων δ' ἔκτανεν, ὡς ἔθανεν.
μηκέτ' ἐφ' ὑμετέροις ἀψευδέσι Κρῆτες οἰστοῖς
αὐχεῖθ'· ὑμνείσθω καὶ Διὸς εὐστοχίη.

## 266. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἵμερον αὐλήσαντι πολυτρήτων διὰ λωτῶν
εἶπε λιγυφθόγγῳ Φοῖβος ἐπὶ Γλαφύρῳ·
Μαρσύη, ἐψεύσω τεὸν εὕρεμα, τοὺς γὰρ Ἀθήνης
αὐλοὺς ἐκ Φρυγίης οὗτος ἐληΐσατο·
εἰ δὲ σὺ τοιούτοις τότ' ἐνέπνεες, οὐκ ἂν Ὕαγνις
τὴν ἐπὶ Μαιάνδρῳ κλαῦσε δύσαυλον ἔριν.

## 267. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἰκαρίην πλώων * * * * ἅλα, νηὸς ὀλισθὼν
Δᾶμις ὁ Νικαρέτου κάππεσεν εἰς πέλαγος.

---

Nr. 265. V. 1. ἰοτυπεὶς. P. V. 3. κεῖνον . . . . παλινδρομέοντι κατέκτα ἠερόθεν. Plan. V. 6. αὐχεῖσθ'. P. Nr. 266. V. 2. γλαφυρῷ. P. Nr. 267. V. 1. Ἰκαρίην τὸ πάρος. Plan. Fort. Ἰκαρίην πλώων ἔτι παῖς ἅλα.

πολλὰ πατὴρ δ' ἠρᾶτο πρὸς ἀθανάτους, καὶ ἐς ὕδωρ
φθέγγεθ', ὑπὲρ τέκνου κύματα λισσόμενος.
ὤλετο δ' οἰκτίστως βρυχθεὶς ἁλί. κεῖνο δὲ πατρὸς
ἔκλυεν ἀράων οὐδὲ πάλαι πέλαγος.

### 268. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Κρῆσσα κύων ἐλάφοιο κατ' ἴχνιον ἔδραμε Γοργώ,
ἔγκυος, ἀμφοτέρην Ἄρτεμιν εὐξαμένη·
τίκτε δ' ἀποκτείνουσα· θοὴ δ' ἐπένευσεν Ἐλευθὼ
ἄμφω, εὐαγρίης δῶρα καὶ εὐτοκίης·
καὶ νῦν ἐννέα παισὶ διδοῖ γάλα. φεύγετε, Κρῆσσαι
κεμμάδες, ἐκ τοκάδων τέκνα διδασκόμενα.

### 269. ΤΟΥ ΑΥΤΟΥ.

Κλασθείσης ποτὲ νηὸς ἐν ὕδατι, δῆριν ἔθεντο
δισσοὶ ὑπὲρ μούνης μαρνάμενοι σανίδος.
[P] τύψε μὲν Ἀνταγόρης Πεισίστρατον. οὐ νεμεσητόν,
ἦν γὰρ ὑπὲρ ψυχῆς· ἀλλ' ἐμέλησε Δίκῃ.
νήχεθ' ὁ μέν· τὸν δ' εἷλε κύων ἁλός· ἡ παναλάστωρ
Κηρῶν οὐδ' ὑγρῷ παύεται ἐν πελάγει.

---

V. 5. οἰκτίστῳ. P. Nr. 268. V. 1. κατ' ἴχνος ἔδ. γοργή. P. V. 4. Fort. ἀμφότερ', εὐαγρ. V. 6. διδασκόμεναι. P. Fort. φεύγετε Κρησσῶν, Κεμμάδες, ἐκ τοκάδων τέκνα διδασκόμενα. Nr. 269. V. 3. Fort. δύψε. V. 5. νῆχεδ'. P. ἁλὸς παναλάστωρ. P. V. 6. χήρων. P.

Digitized by Google

### 270. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Κωμάζω, χρύσειον ἐς ἑσπερίων χορὸν ἄστρων
λεύσσων, οὐδ᾽ ἄλλων λὰξ * ἐβαρυναόρος·
στέψας δ᾽ ἀνθόβολον κρατὸς τρίχα, τὴν κελαδεινὴν
πηκτίδα μουσοπόλοις χερσὶν ἐπηρέθισα.
καὶ τάδε δρῶν, εὔκοσμον ἔχω βίον· οὐδὲ γὰρ αὐτὸς
κόσμος ἄνευθε λύρης ἔπλετο καὶ στεφάνου.

### 271. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Καὶ πότε * δινήεις ἄφοβος πόρος, εἰπέ, θάλασσα,
εἰ καὶ ἐν ἀλκυόνων ἤμασι κλαυσόμεθα,
ἀλκυόνων, αἷς πόντος ἀεὶ στηρίξατο κῦμα
νήνεμον, ὡς κρῖναι χέρσον ἀπιστοτέρην;
ἀλλὰ καὶ ἡνίκα μαῖα καὶ ὠδίνεσσιν ἀπήμων
αὐχεῖς!, σὺν φόρτῳ δῦσας Ἀριστομένην.

### 272. ΒΙΑΝΟΡΟΣ.

Καρφαλέος δίψει Φοίβου λάτρις εὖτε γυναικὸς
εἶδεν ὑπὲρ τύμβου κρωσσίον ὀμβροδόκον,

---

Nr. 270. V. 1. ἄστρον. P. V. 2. ἐβάρυνα χορούς. Plan. Fort. ἐβάρυν᾽ ἀόρους cum Schaefero. V. 3. στρέψας. P. Nr. 271. V. 1. δι-
θεῖσα Βόσπορος
νήεις ἄφοβος. P. δὴ νάεις. Br. Fort. καὶ πότε δὴ ναύταις. V. 2. εἰ καὶ ἁλ. P. Fort. εἰ κήν. V. 5. γαῖα καί. P. Nr. 272. V. 2. ὀμβροδόκην. P.

Digitized by Google

κλάγξεν ὑπὲρ χείλους, ἀλλ᾽ οὐ γένυς ἥπτετο βυσσοῦ.
Φοῖβε, σὺ δ᾽ εἰς τέχνην ὄρνιν ἐκαιρομάνεις.
χερμάδα δὲ ψάμμων σφαιρῶν, πότον ἅρπαγι χείλει
ἔφθανε μαιμάσσων λαοτίνακτον ὕδωρ.

### 273. ΤΟΥ ΑΥΤΟΥ.

Καύματος, ἐν θάμνοισι λαλίστατος ἡνίκα τέττιξ
φθέγξατο διγλώσσῳ μελπόμενος στόματι,
δουνακόεντα Κρίτων συνθεὶς δόλον, εἷλεν ἀοιδὸν
ἠέρος, οὐκ ἰδίην ἰξοβολῶν μελέτην.
ἄξια δ᾽ οὐχ ὁσίης θήρης πάθεν· οὐ γὰρ ἔτ᾽ ἄλλων
πῆξατ᾽ ἐπ᾽ ὀρνίθων εὔστοχον, ὡς πρίν, ἄγρην.

### 274. ΦΙΛΙΠΠΟΥ.

Καὶ τὸν ἀρουραῖον * γυρητόμον αὔλακα τέμνει
μηροτυπεῖ κέντρῳ πειθομένη δάμαλις·
καὶ μετ᾽ ἀρυτροπόνους ζεύγλας πάλι τῷ νεοθηλεῖ
πινομένη μόσχῳ δεύτερον ἄλγος ἔχει.
μὴ θλίψῃς αὐτὴν ὁ γεωμόρος. οὗτος ὁ βαιὸς
μόσχος, ἐὰν φείσῃ, σοὶ τρέφεται δάμαλις.

---

V. 4. Fort. ἐκαιρονόμεις. V. 5. χ. δὲ ψαλμῶν σφαῖρον πότον. P. V. 6. λαοτίτακτον. P. Nr. 273. V. 4. ἐξοβολῶν. P. V. 6. Fort. ἄρην. Nr. 274. V. 1. πυρητόκον. Br. Fort. γυιητόμον. V. 3. ἀροτροπόνου. P.

[P] 275. ΜΑΚΕΔΟΝΙΟΥ.

Κάπρον μὲν χέρσῳ Κόδρος ἔκτανε· τὴν δὲ ταχεῖαν
εἰν ἁλὶ καὶ χαροποῖς κύμασιν εἷλ' ἔλαφον.
εἰ δ' ἦν καὶ πτηνὴ θηρῶν φύσις, οὐδ' ἂν ἐν αἴθρῃ
τὴν κείνου κενεὴν Ἄρτεμις εἶδε χέρα.

276. ΚΡΙΝΑΓΟΡΟΥ.

Λῶπος ἀποκλύζουσα παρὰ κροκάλαισι θαλάσσης
χερνῆτις, διεροῦ τυτθὸν ὕπερθε πάγου,
χέρσον ἐπεκβαίνοντι κατασπασθεῖσα κλύδωνι,
δειλαίη πικροῦ κῦμ' ἔπιεν θανάτου·
πνεῦμα δ' ὁμοῦ πενίῃ ἀπελύσατο. τίς κ' ἐνὶ νηῒ
θαρσήσαι πεζοῖς τὴν ἀφύλακτον ἅλα;

277. ΑΝΤΙΦΙΛΟΥ.

Λαβροπόδη χείμαῤῥε, τί δὴ τόσον ὧδε κορύσσῃ,
πεζὸν ἀποκλείων ἴχνος ὁδοιπορίης;
ἦ μεθύεις ὄμβροισι, καὶ οὐ Νύμφαισι διαυγὲς
νᾶμα φέρεις, θολεραῖς δ' ἠράνισαι νεφέλαις.
ὄψομαι ἠελίῳ σε κεκαυμένον, ὅστις ἐλέγχειν
καὶ γόνιμον ποταμῶν καὶ νόθον οἶδεν ὕδωρ.

---

Nr. 275. V. 3. αἴθρι. P. Nr. 276. V. 5. πενίη. P. Nr. 277. V. 4. ἠράνισ' ἐν. P.

### 278. ΒΙΑΝΟΡΟΣ.

Λάρνακα, πατρῴων ἔτι λείψανα κοιμίζουσαν
νεκρῶν, χειμάῤῥῳ παῖς ἴδε συρομένην·
καί μιν ἄχος τόλμης ἐπλήσατο, χεῦμα δ' ἀναιδὲς
εἰςέθορεν, πικρὴν δ' ἦλθ' ἐπὶ συμμαχίην.
ὀστέα μὲν γὰρ ἔσωσεν ἀφ' ὕδατος, ἀντὶ δὲ τούτων
αὐτὸς ὑπὸ βλοσυροῦ χεύματος ἐφθάνετο.

### 279. ΒΑΣΣΟΥ.

Ληθαίης ἀκάτοιο τριηκοσίους ὅτε ναύτας
δεύτερον ἔσχ' Ἀΐδης, πάντας ἀρηϊφάτους,
Σπάρτας ὁ στόλος, εἶπεν· ἴδ' ὡς πάλι πρόσθια πάντα
τραύματα, καὶ στέρνοις δῆρις ἔνεστι μόνοις·
νῦν γε μόθου κορέσασθε, καὶ αἴσιμον ἀμπαύσασθε
ὕπνον, ἀνικήτου δῆμος Ἐνυαλίου.

### 280. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Λαίλιος, Αὐσονίων ὑπάτων κλέος, εἶπεν ἀθρήσας
Εὐρώταν· Σπάρτης χαῖρε φέριστον ὕδωρ.
Μουσάων δ' ἐπὶ χεῖρα βαλὼν πολυΐστορι βίβλῳ,
εἶδεν ὑπὲρ κορυφῆς σύμβολον εὐμαθίης.

---

Nr. 278. V. 1. πατρωων (αν). P. κομίζουσαν. Ib. Nr. 279. V. 5. καὶ εἰς ἐμόν. P. V. 6. ἀνικάτου (ω). P. Nr. 280. V. 1. ὑπάτον. P.

κίτται, μιμηλὸν βιότου πτερόν, ἐν σκιεροῖσιν
ἄγκεσι παμφώνων μέλπον ἀπὸ στομάτων.
[P] ὡρμήθη δ' ἐπὶ ταῖσι. τί δ' οὐ ζηλωτὸς ὁ μόχθος,
εἰ καὶ πτηνὰ ποθεῖ [γάρνος ἡμετέρης;]

### 281. ΤΟΥ ΑΥΤΟΥ.

Ξεῖνον ὁπηνίκα θαῦμα κατείδομεν Ἀσὶς ἅπασα,
πῶλον ἐπ' ἀνδρομέαν σάρκα φριμασσόμενον,
Θρηϊκίης φάτνης παλαιὸς λόγος εἰς ἐμὸν ὄμμα
ἤλυθε. δίζημαι δεύτερον Ἡρακλέα.

### 282. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Ξεῖνοι, παρθένος εἰμὶ τὸ δένδρεον· εἴπατε δάφνης
φείσασθαι δμώων χερσὶν ἑτοιμοτόμοις.
ἀντὶ δ' ἐμεῦ κομάρου τις ὁδοιπόρος ἢ τερεβίνθου
δρεπτέσθω, χθαμαλὴν ἐς χύσιν· οὐ γὰρ ἑκάς·
ἀλλ' ἀπ' ἐμεῦ ποταμὸς μὲν ὅσον τρία, τοῦ δ' ἀπὸ πηγῶν
ὕλη πανθηλὴς δοιὰ πέλεθρ' ἀπέχει.

---

V. 5. κιττέ. P. V. 8. verba γάρνος ἡμετέρης accesserunt ex Plan. Nr. 281. V. 1. ξυνόν. P. V. 2. ὑπ' ἀνδ. et φρισσόμενον [μασσό]. P. V. 3. παλεός. P. πολιός. Plan. Nr. 282. V. 2. φείσασθε. P. V. 5. ὑπ' ἐμεῦ. P.

### 283. ΚΡΙΝΑΓΟΡΟΥ.

Οὔρεα Πυρηναῖα, καὶ αἱ βαθυάγκεες Ἄλπεις,
αἳ Ῥήνου προχοὰς ἐγγὺς ἀποβλέπετε,
μάρτυρες ἀκτίνων, Γερμανικὸς ἃς ἀνέτειλεν,
ἀστράπτων Κελτοῖς πουλὺν ἐνυάλιον.
οἱ δ᾽ ἄρα δουπήθησαν ἀολλέες· εἶπε δ᾽ Ἐνυὼ
Ἀρεϊ· τοιαύταις χερσὶν ὀφειλόμεθα.

### 284. ΤΟΥ ΑΥΤΟΥ.

Οἵους ἀνθ᾽ οἵων οἰκήτορας, ὦ ἐλεεινή,
εὕραο. φεῦ μεγάλης Ἑλλάδος ἀμμορίης.
αὐτίκα * καὶ γᾶς ἤ χθαμαλωτέρη εἴθε Κόρινθε
κεῖσθαι, καὶ Λιβυκῆς ψάμμου ἐρημοτέρη,
ἢ τοίοις διὰ πᾶσα παλιμπρήτοισι δοθεῖσα
θλίβειν ἀρχαίων ὀστέα Βακχιαδῶν.

### 285. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Οὐκέτι πυργωθεὶς ὁ φαλαγγομάχας ἐπὶ δῆριν
ἄσχετος ὁρμαίνει μυριόδους ἐλέφας,
ἀλλὰ φόβῳ στείλας βαθὺν αὐχένα πρὸς ζυγοδέσμους,
ἄντυγα διφρουλκεῖ Καίσαρος οὐρανίου.
ἔγνω δ᾽ εἰρήνης καὶ θὴρ χάριν· ὄργανα ῥίψας
Ἄρεος, εὐνομίης ἀντανάγει πατέρα.

---

Nr. 283. V. 1. πυῤῥηναῖα. P. Nr. 284. V. 2. ἀμμορίη. P. V. 3. καὶ Γάζης. Reisk. Fort. δ᾽ Αἰγείρης. V. 5. δεθεῖσα. P. Nr. 285. V. 1. φαλαγγομάχος. P. V. 3. ἀλλὰ φωιστεῖλας. P. ζυγοδέσμοις. Ib.

Digitized by Google

286. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ὄρνι, τί μοι φίλον ὕπνον ἀφήρπασας; ἡδὺ δὲ Πύῤῥης
    εἴδωλον κοίτης ᾤχετ' ἀποπτάμενον.
[P] ἦ τάδε θρέπτρα τίνεις, ὅτι θῆκά σε, δύςμορε, πάσης
    ὠοτόκου κραίνειν ἐν μεγάροις ἀγέλης;
ναὶ βωμὸν καὶ σκῆπτρα Σαράπιδος, οὐκέτι νυκτὸς
    φθέγξεαι, ἀλλ' ἕξεις βωμὸν ὃν ὠμόσαμεν.

287. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ὁ πρὶν ἐγὼ Ῥοδίοισιν ἀνέμβατος ἱερὸς ὄρνις,
    ὁ πρὶν Κερκαφίδαις αἰετὸς ἱστορίη,
ὑψιπετῆ τότε ταρσὸν ἀνὰ πλατὺν ἠέρ' ἀερθείς,
    ἤλυθον, Ἠελίου νῆσον ὅτ' εἶχε Νέρων·
κείνου δ' αὐλίσθην ἐνὶ δώμασι, χειρὶ συνήθης
    κράντορος, οὐ φεύγων Ζῆνα τὸν ἐσσόμενον.

288. ΓΕΜΙΝΟΥ.

Οὗτος ὁ Κεκροπίδῃσι βαρὺς λίθος Ἄρεϊ κεῖμαι,
    ξεῖνε, Φιλιππείης σύμβολον ἠνορέης,
ὑβρίζων Μαραθῶνα, καὶ ἀγχιάλου Σαλαμῖνος
    ἔργα, Μακηδονίης ἔγχεσι κεκλιμένα.

---

Nr. 286. V. 4. ὠοτόκον ἀγέλην. P. V. 6. Fort. φθέγξεαι, αἱμάξαις (ει). Nr. 287. V. 3. ἀερθης. P. Nr. 288. V. 1. Κεκροπίδεσσι. P. V. 2. φιλιππίης. P.

Digitized by Google

ὄμνυε νῦν νέκυας, Δημόσθενες· αὐτὰρ ἔγωγε
    καὶ ζωοῖς ἔσομαι καὶ φθιμένοισι βαρύς.

### 289. ΒΑΣΣΟΥ.

Οὐλόμεναι νήεσσι Καφηρίδες, αἵ ποτε νόστον
    ὠλέσαθ' Ἑλλήνων καὶ στόλον Ἰλιόθεν,
πυρσὸς ὅτε ψεύστας χθονίης δνοφερώτερα νυκτὸς
    ἦψε σέλα, τυφλὴ δ' ἔδραμε πᾶσα τρόπις
χοιράδας ἐς πέτρας, Δαναοῖς πάλιν Ἴλιος ἄλλη
    ἔπλετο, καὶ δεκέτους ἐχθροτέρη πολέμου.
καὶ τὴν μὲν τότ' ἔπερσαν· ἀνίκητος δὲ Καφηρεύς,
    Ναύπλιε· σοὶ γὰρ ἄποιν' Ἑλλὰς ἔκλαυσε δάκρυ.

### 290. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ὅτ' ἐξ ἀήτου Λίβυος, ἐκ ζαοῦς Νότου
συνεζοφώθη πόντος, ἐκ δὲ νειάτων
μυχῶν βυθῖτις ψάμμος ἐξηρεύγετο,
ἱστὸς δὲ πᾶς ὤλισθεν εἰς ἅλα πτύσας,
φορτὶς δ' ἐσύρετ' ἐς Ἀΐδαν, πλανώμενος
ἀρωγοναύτας δαίμονας Λυσίστρατος

---

Nr. 289. V. 1. νόστου. P. V. 4. σέλας. P. V. 7. ἀνίκατος. P. V. 8. γὰρ πᾶν Ἑ. P. Nr. 290. V. 1. αἰζαοῦ νότου. P. V. 3. βυθίτης ψ. ἐξηρεύετο. P. V. 4. ὄλισθεν. P. Fort. εἰς ἁλὸς πλάκας, sive μυχούς. V. 5. δὲ σῦρεν ἀΐδαν πλανώμενον. P. Fort. φ. δ' ἐσύρετ', ἐν ἀΐδᾳ πλανωμένων ἀρ.

Digitized by Google

ἐλιπάρησεν· οἱ δὲ τῷ νεωκόρῳ
μούνῳ θάλασσαν ἀγρίαν ἐκοίμισαν.

[P] 291. ΚΡΙΝΑΓΟΡΟΥ.

Οὐδ' ἢν Ὠκεανὸς πᾶσαν πλημμῦραν ἐγείρῃ,
οὐδ' ἢν Γερμανίη Ῥῆνον ἅπαντα πίῃ,
Ῥώμης οὐδ' ὅσσον βλάψει σθένος, ἄχρι κε μίμνῃ
δεξιὰ σημαίνειν Καίσαρι θαρσαλέη.
οὕτως καὶ ἱεραὶ Ζηνὸς δρύες ἔμπεδα ῥίζαις
ἑστᾶσιν, φύλλων δ' αὖα χέουσ' ἄνεμοι.

292. ΟΝΕΣΤΟΥ.

Παίδων ὃν μὲν ἔκαιεν Ἀρίστιον, ὃν δ' ἐςάκουσε
ναυηγόν· δισσὸν δ' ἄλγος ἔτηξε μίαν.
αἴ, αἴ, μητέρα Μοῖρα διείλετο, τὴν ἴσα τέκνα
καὶ πυρὶ καὶ πικρῷ νειμαμένην ὕδατι.

293. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Πουλὺ Λεωνίδεω κατιδὼν δέμας αὐτοδάϊκτον
Ξέρξης, ἐχλαίνου φάρεϊ πορφυρέῳ.
κὴκ νεκύων δ' ἤχησεν ὁ τᾶς Σπάρτας πολὺς ἥρως·
οὐ δέχομαι προδόταις μισθὸν ὀφειλόμενον·

---

V. 7. νεηκόρῳ. P. V. 8. ἐκοίμισεν. P. Nr. 291. V. 3. Ῥώμης δ' οὐδ'. P. V. 5. Fort. καὶ ῥ' ἱεραί. Nr. 293. V. 2. εὐχλαίνοι. P. V. 3. Fort. δ' delendum cum Schaefero.

ἀσπὶς ἐμοὶ τύμβου κόσμος μέγας· αἶρε τὰ Περσῶν·
χήξω κεὶς Ἀΐδαν ὡς Λακεδαιμόνιος.

294. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

α. Πορφυρέαν τοι τάνδε, Λεωνίδα, ὤπασε χλαῖναν
Ξέρξης, ταρβήσας ἔργα τεᾶς ἀρετᾶς.
β. οὐ δέχομαι· προδόταις αὕτα χάρις. ἀσπὶς ἔχοι με
καὶ νέκυν· ὁ πλοῦτος δ' οὐκ ἐμὸν ἐντάφιον.
α. ἀλλ' ἔθανες. τί τοσόνδε καὶ ἐν νεκύεσσιν ἀπεχθὴς
Πέρσαις; β. οὐ θνάσκει ζᾶλος ἐλευθερίας.

295. ΒΙΑΝΟΡΟΣ.

Πῶλον, τὸν πεδίων, ἀλλ' οὐχ ἁλὸς ἱππευτῆρα,
νηῒ διαπλώειν πόντον ἀναινόμενον,
μὴ θάμβει χρεμέθοντα, καὶ ἐν ποσὶ λὰξ πατέοντα
τοίχους, καὶ θυμῷ δεσμὰ βιαζόμενον.
ἄχθεται, εἰ φόρτου μέρος ἔρχεται· οὐ γὰρ ἐπ' ἄλλοις
κεῖσθαι τὸν πάντων ἔπρεπεν ὠκύτατον.

296. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Σκύλλος, ὅτε Ξέρξου δολιχὸς στόλος Ἑλλάδα πᾶσαν
ἤλαυνεν, βυθίην εὕρετο ναυμαχίην,
Νηρῆος λαθρίοισιν ὑποπλεύσας τενάγεσσι,
καὶ τὸν ἀπ' ἀγκύρης ὅρμον ἔκειρε νεῶν.

---

V. 6. κήξω. P. Nr. 294. V. 1. Λεωνίδη. P. V. 6. ἐλευθερίης. P. Nr. 296. V. 3. νιρῆυς. P. Ibid. ὑποπλώσας. Plan.

αὔτανδρος δ' ἐπὶ γῆς ὠλίσθανε Περσὶς ἄναυδος
ὀλλυμένη, πρώτη πεῖρα Θεμιστοκλέους.

[P] 297. ΑΝΤΙΠΑΤΡΟΥ.

Στέλλευ ἐπ' Εὐφρήτην, Ζηνὸς τέκος· εἰς σὲ γὰρ ἤδη
ἠῷοι Πάρθων αὐτομολοῦσι πόδες.
στέλλευ ἄναξ· δήεις δὲ φόβῳ κεχαλασμένα τόξα,
Καῖσαρ· πατρῴων δ' ἄρξαι ἀπ' ἀντολέων·
Ῥώμην δ', ὠκεανῷ περιτέρμονα πάντοθεν, αὐτὸς
πρῶτος ἀνερχομένῳ σφράγισαι ἠελίῳ.

298. ΑΝΤΙΦΙΛΟΥ.

Σκίπων με πρὸς νηὸν ἀνήγαγεν, ὄντα βέβηλον
οὐ μοῦνον τελετῆς, ἀλλὰ καὶ ἠελίου.
μύστην δ' ἀμφοτέρων με Θεαὶ θέσαν· οἶδα δ' ἐκείνῃ
νυκτὶ καὶ ὀφθαλμῶν νύκτα καθηράμενος.
ἀσκίπων δ' εἰς ἄστυ κατέστιχον, ὄργια Δηοῦς
κηρύσσων γλώσσης ὄμμασι τρανότερον.

299. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ταῦροι πρηϋτένοντες, ἀροτρευτῆρες ἀρούρης,
εἰν ἁλὶ τοὺς γαίης ἀντέχομεν καμάτους.

---

V. 5. ἐπὶ γῆν. P. Nr. 297. V. 1. ἀπ' εὐφρήτην. P. V. 6. ἠελίνωι. P. Nr. 298. V. 2. μόνον. P.

*αὔλακα τὴν ἀσίδαρον ἐν ὕδασιν ἕλκομεν ἄμφω,*
*μακροτόνων σχοίνων ἅμμα σαγηνόδετον.*
*ἰχθύσι δ᾽ ἐκ σταχύων λατρεύομεν. ἆ ταλαεργοί,*
*ἤδη κὴν πελάγει καρπὸν ἀροῦσι βόες.*

300. *ΑΔΑΙΟΥ.*

*Ταύρῳ φρικαλέον νάπος ἐκβαίνοντι Δοβήρου*
*Πευκέστης ἵππῳ καρτερὸς ἠντίασεν.*
*ἀλλ᾽ ὁ μὲν ὡρμήθη πρηὼν ἅτε· τοῦ δ᾽ ἀπαλοῖο*
*Παιονίδα λόγχην ἧκε διὰ κροτάφου·*
*συλήσας κεφαλῆς δὲ διπλοῦν κέρας, αἰὲν ἐκείνῳ*
*ζωροποτῶν ἐχθροῦ κόμπον ἔχει θανάτου.*

301. *ΣΕΚΟΥΝΔΟΥ.*

*Τίπτε τὸν ὀγκηστὴν βραδύπουν ὄνον ἄμμιγ᾽ ἐν ἵπποις*
*γυρὸν ἀλωειναῖς ἐξελάατε δρόμον;*
*οὐχ ἅλις, ὃ ττὶ μύλοιο περίδρομον ἄχθος ἀνάγκης*
*σπειρηδὸν σκοτόεις κυκλοδίωκτος ἔχω;*
*ἀλλ᾽ ἔτι καὶ πώλοισιν ἐρίζομεν. ἦ ῥ᾽ ἔτι λοιπὸν*
*νῦν μοι τὴν σκολιὴν αὐχένι γαῖαν ἀροῦν.*

---

Nr. 299. V, 6. *κὲν.* P. Nr. 300. V. 3. *πρειῶν.* P. V. 4. *κροτάφων.* P. V. 6. *κόμπον μὴ θ.* P. Nr. 301. V. 1. *ὀγκιστήν.* P. V. 2. *δρόμῳ.* P. V. 5. *πάλοισιν.* P.

Digitized by Google

[P] 302. ΑΝΤΙΠΑΤΡΟΥ.

Τὸ βρέφος Ἑρμώνακτα διεχρήσασθε, μέλισσαι,
φεῦ κύνες, ἑρπυστὴν, κηρία μαιόμενον·
πολλάκι δ' ἐξ ὑμέων ἐψισμένον ὠλέσατ', αἴ, αἴ,
κέντροις. εἰ δ' ὀφίων φωλεὰ μεμφόμεθα,
πείθεο Λυσιδίκῃ καὶ Ἀμύντορι μηδὲ μελίσσας
αἰνεῖν· κἀκείναις πικρὸν ἔνεστι μέλι.

303. ΑΔΔΑΙΟΥ.

Τῇ βαιῇ Καλαθίνῃ ὑπὸ σκυλάκων μογεούσῃ
Λητωῒς κούφην εὐτοκίην ἔπορεν.
μούναις οὔ τι γυναιξὶν ἐπήκοος, ἀλλὰ καὶ αὐτὰς
συνθήρους σώζειν Ἄρτεμις οἶδε κύνας.

304. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Τὸν γαίης καὶ πόντου ἀμειφθείσαισι κελεύθοις
ναύτην ἠπείρου, πεζοπόρον πελάγους,
ἐν τρισσαῖς δοράτων ἑκατοντάσιν ἔστεγεν ἄρης
Σπάρτης. αἰσχύνεσθ' οὔρεα καὶ πελάγη.

305. ΑΝΤΙΠΑΤΡΟΥ.

Ὕδατος ἀκρήτου κεκορημένῳ ἄγχι παραστὰς
χθιζὸν ἐμοὶ λεχέων Βάκχος ἔλεξε τάδε·

---

Nr. 302. V. 3. ὠλέσατ' αἰεί. P. V. 4. κέντροις δ' οἰδ' ὀφ. P. V. 5. μελίσσαις. P. V. 6. Fort. ἔνεστι βέλος. Nr. 305. V. 1. ἀκρίτου. P.

εὕδεις ἄξιον ὕπνον ἀπεχθομένων Ἀφροδίτῃ·
    εἰπέ μοι, ὦ νήφων, πεύθεαι Ἱππολύτου;
τάρβει, μή τι πάθῃς ἐναλίγκιον. Ὣς ὁ μὲν εἰπὼν
    ᾤχετ'· ἐμοὶ δ' ἀπὸ τῆς οὐκέτι τερπνὸν ὕδωρ.

306. *ΑΝΤΙΦΙΛΟΥ.*

Ὑλοτόμοι παύσασθε νεῶν χάριν. οὐκέτι πεύκη
    κύματος, ἀλλ' ἤδη ῥινὸς ἐπιτροχάει·
γόμφος δ' οὐκέτι χαλκὸς ἐν ὁλκάσιν, οὐδὲ σίδηρος,
    ἀλλὰ λίνῳ τοίχων ἁρμονίη δέδεται.
τὰς δ' αὐτὰς ποτὲ πόντος ἔχει νέας, ἄλλοτε γαῖα
    πυκτὸν ἁμαξίτην φόρτον ἀειρομένας.
Ἀργὼ μὲν προτέροισιν ἀοίδιμος· ἀλλὰ Σαβίνῳ
    καινοτέρην πῆξαι Παλλὰς ἔνευσε τρόπιν.

307. *ΦΙΛΙΠΠΟΥ.*

Φοῖβον ἀνηναμένη Δάφνη ποτέ, νῦν ἀνέτειλεν
    Καίσαρος ἐκ βωμοῦ κλῶνα μελαμπέταλον·
ἐκ δὲ θεοῦ θεὸν εὗρεν ἀμείνονα. Λητοΐδην γὰρ
    ἐχθήρασα, θέλει Ζῆνα τὸν Αἰνεάδην.
[P] ῥίζαν δ' οὐκ ἀπὸ γῆς μητρὸς βάλεν, ἀλλ' ἀπὸ πέτρης.
    Καίσαρι μὴ τίκτειν οὐδὲ λίθος δύναται.

---

V. 3. ἀπεχθομένην ἀφροδίτην. P. V. 4. πεύθεσθαι. P. Nr. 306. V. 1. ὑλατόμου. P. V. 6. ἀμαξείτην. P. πυκνὸν ἀμ. corr. van Eldick. Nr. 307. V. 4. φιλεῖ Z. Plan.

308. ΒΙΑΝΟΡΟΣ.

Φῶρες ὅτ᾽ εἰνάλιοι Τυρσηνίδος ἀγχόθι δίνης
φορμικτὰν ἀκάτου θῆκαν ὕπερ βύθιον,
αὐτίκα μιν κιθάρῃ λιγυαχέϊ δέξατο δελφὶν
σύνθροον, ἐκ δὲ βυθοῦ νήχεθ᾽ ἑλισσόμενος,
μέχρις ἐπ᾽ Ἰσθμὸν ἔκελσε Κορίνθιον. ἦ ῥα θάλασσα
ἰχθῦς ἀνθρώπων εἶχε δικαιοτέρους.

309. ΑΝΤΙΠΑΤΡΟΥ.

Χειμέριον καίουσαν ἐφ᾽ ἑστίῃ ἄνθρακα Γοργὼ
τὴν γρηῢν βροντῆς ἐξεπάταξε φόβος·
πνεύμονα δὲ ψυχθεῖσα κατήμυσεν. ἦν ἄρα μέσση
γήρως καὶ θανάτου λειπομένη πρόφασις.

310. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ψῆγμ᾽ ἄπυρον χρυσοῖο σιδηρείων ὑπ᾽ ὀδόντων
ῥινηθέν, Λιβυκῆς κουφότερον ψαμάθου,
μῦς ὀλίγος βαρὺ δεῖπνον ἐδαίσατο· πᾶσα δὲ νηδὺς
συρομένη βραδύπουν θῆκε τὸν ὠκύτατον.
ληφθεὶς δ᾽ ἐκ μεσάτης ἀνετέμνετο κλέμματα γαστρός·
ἧς ἄρα κὴν ἀλόγοις, χρυσέ, κακοῦ πρόφασις.

---

Nr. 308. V. 4. σύνθρονον. P. V. 5. ἄρα. P. Nr. 309. V. 1. ἄνθρακι. Nr. 310. V. 4. ἔθηκε. P. V. 5. ληφθεὶς ἐκ. P.

Digitized by Google

### 311. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ὠκείαις ἐλάφοισι κύων ἰσάμιλλα δραμοῦσα
ἔγκυος, ἠλκώθη παιδοπόρον γένεσιν·
πᾶσα δὲ συγκατέμυσε κατουλωθεῖσα χρόνοισιν.
ἤδη δ' ἡ τοκετῶν ὥριος ἦν βάσανος.
πολλὰ δ' ἐπωρύουσαν ἀνὴρ ἐσιδηροτόμησεν,
καὶ σκύλακες φίλιοι νηδύος ἐξέθορον.
Ἀρτέμιδος λέλυται λοχίων χάρις· ἔμπαλι δ' Ἄρης
ἦρκται μαιοῦσθαι γαστέρας ἡμετέρας.

### 312. ΖΩΝΑ ΣΑΡΔΙΑΝΟΥ.

Ὦνερ, τῶν βαλάνων τὰν ματέρα φείδεο κόπτειν,
φείδεο· γηραλέαν δ' ἐκκεράϊζε πίτυν,
ἢ πεύκαν, ἢ τάνδε πολυστέλεχον παλίουρον,
ἢ πρῖνον, ἢ τὰν αὐαλέαν κόμαρον.
τηλόθι δ' ἴσχε δρυὸς πέλεκυν· κοκύαι γὰρ ἔλεξαν
ἁμῖν ὡς πρότεραι ματέρες ἐντὶ δρύες.

### [P] 313. ΑΝΥΤΗΣ.

Ἷζεῦ ἅπας ὑπὸ καλὰ δάφνας εὐθαλέα φύλλα,
ὡραίου τ' ἄρυσαι νάματος ἁδὺ πόμα,
ὄφρα τοι ἀσθμαίνοντα πόνοις θέρεος φίλα γυῖα
ἀμπαύσῃς, πνοιῇ τυπτόμενα Ζεφύρου.

---

Nr. 311. V. 2. εἱλκώθη. P. V. 5. ἐσιδαρατύμησεν. P. V. 8. Fort. γαστέρα θηλυτέραις. Nr. 312. V. 4. Fort. καὶ τάν. V. 6. ἦντι δρ. P. Nr. 313. V. 1. Fort. Ἷζεο τᾶσδ' ὑπό. et εὐθηλέα.

### 314. ΤΗΣ ΑΥΤΗΣ.

Ἑρμᾶς τᾷδ' ἕστακα παρ' ὄρχατον ἠνεμόεντα
  ἐν τριόδοις, πολιᾶς ἐγγύθεν ἀϊόνος,
ἀνδράσι κεκμηῶσιν ἔχων ἄμπαυσιν ὁδοῖο·
  ψυχρὸν δ' ἀχραὲς κράνα ὑποϊάχει.

### 315. ΝΙΚΙΟΥ.

Ἵζευ ὑπ' αἰγείροισιν, ἐπεὶ κάμες, ἐνθάδ' ὁδῖτα,
  καὶ πίε θᾶσσον ἰὼν πίδακος ἁμετέρας·
μνᾶσαι δὲ κράναν καὶ ἀπόπροθι, τὰν ἐπὶ Γίλλῳ
  Σῖμος ἀποφθιμένῳ παιδὶ παριδρύεται.

### 316. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Ὦ τάνδε στείχοντες ἀταρπιτόν, αἴτε ποτ' ἀγροὺς
  δαμόθεν, αἴτ' ἀπ' ἀγρῶν νεῖσθε ποτ' ἀκρόπολιν,
ἄμμες ὅρων φύλακες, δισσοὶ θεοί, ὧν ὁ μέν, Ἑρμᾶς,
  οἷον ὁρῇς μ', οὗτος δ' ἅτερος, Ἡρακλέης.
ἄμφω μὲν θνατοῖς εὐάκοοι, ἀλλὰ * ποθ' αὐτοὺς
  αἴτ' ὠμὰς παραθῇς ἀχράδας, ἐγκέκαφεν·
ναὶ μὰν ὡσαύτως τοὺς βότρυας, αἴτε πέλονται
  ὥριμοι, αἴτε χύδαν ὄμφακες, εὐτρέπικεν.

---

Nr. 314. V. 4. ἀκραὲς κρ. P. Fort. ὑποπροχέει cum Schaefero. Nr. 315. V. 1. ὑπό. P. V. 3. μνᾶσε. P. ἀπὸπρόθι ἂν ἐπιγγείλω. P. Nr. 316. V. 1. στίχοντες. P. V. 5. Fort. ἀλλ' ὁ λαφύκτας, Κῆν ὠμὰς π. V. 6. αἰτῶμαι παρ. P. ἐνκέκαφεν. Ib. V. 8. χύλαν. P.

Digitized by Google

μισέω τὰν μετοχάν, οὐδ' ἥδομαι· ἀλλ' ὁ φέρων τι,
 ἀμφίς, μὴ κοινᾷ, τοῖς δυσὶ παρτιθέτω,
καὶ λεγέτω· τῇ τοῦθ', Ἡράκλεες· ἄλλο τὺ τοῦτο,
 Ἑρμᾶ· καὶ λύοι τὰν ἔριν ἀμφοτέρων.

## 317. ΑΔΗΛΟΝ.

α. Χαίρω τὸν λακέρυζον ὁρῶν θεὸν εἰς τὸ φάλανθον
 βρέγμ' ὑπὸ τᾶν ὀχνᾶν, αἰπόλε, τυπτόμενον.
β. αἰπόλε, τοῦτον ἐγὼ τρὶς ἐπύγισα· τοὶ δὲ τραγίσκοι
 εἰς ἐμὲ δερκόμενοι τὰς χιμάρας ἔβατευν.
α. ὄντως, Ἑρμαφρόδιτε, πεπύγικεν; γ. οὐ μὰ τὸν Ἑρμᾶν,
 αἰπόλε. β. ναὶ τὸν Πᾶν, αἰπόλε, κἀπιγελῶν.

## 318. ΛΕΩΝΙΔΟΥ.

Εὐμάραθον πρηῶνα καὶ εὐσκάνδικα λελογχώς,
 Ἑρμῆ, καὶ ταύταν, ἁ φίλος, αἰγίβοσιν,
καὶ λαχανηλόγῳ ἔσσο καὶ αἰγινομῆϊ προσηνής·
 ἕξεις καὶ λαχάνων καὶ γλάγεος μερίδα.

## [P] 319. ΦΙΛΟΞΕΝΟΥ.

Τληπόλεμος ὁ Μυρεὺς Ἑρμᾶν ἀφετήριον ἕρμα
 ἱροδρόμοις θῆκεν παῖς ὁ Πολυκρίτεω,

---

V. 10. ἄμφω μὴ κοινά. P. V. 11. τὴν τοῦθ'. P. ἄλλοτε. Ib. Fort. ἀλλὰ τὺ τ. V. 12. Ἑρμαῖ. P. Nr. 317. V. 1. λακόρυζον. P. V. 2. τᾶν αἰγᾶν. Br. V. 4. χιμέρας ἔβλεπον. P. V. 5. Fort. ὄντως σ', Ἑρμ. V. 6. καὶ τόν. P. Nr. 318. V. 1. πριῶνα. P.

δὶς δέκ' ἀπὸ σταδίων ἐναγώνιον· ἀλλὰ πονεῖτε,
μαλθακὸν ἐκ γονάτων ὄκνον ἀπωσάμενοι.

320. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Εἶπέ ποκ' Εὐρώτας ποτὶ τὰν Κύπριν· ἢ λάβε τεύχη,
ἢ 'ξιθι τᾶς Σπάρτας· ἁ πόλις ὁπλομανεῖ.
ἁ δ' ἁπαλὸν γελάσασα, καὶ ἔσσομαι αἰὲν ἀτευχής,
εἶπε, καὶ οἰκήσω τὰν Λακεδαιμονίαν.
χἁ μὲν Κύπρις ἄνοπλος· ἀναιδέες οἱ δὲ λέγουσιν
ἵστορες, ὡς ἁμῖν χἁ θεὸς ὁπλοφορεῖ.

321. ΑΝΤΙΜΑΧΟΥ.

Τίπτε μόθων ἄτλητος, Ἐνυαλίοιο λέλογχας,
Κύπρι; τίς ὁ ψεύστας στυγνὰ καθᾶψε μάτην;
ἔντεα σοὶ γὰρ Ἔρωτες ἐφίμεροι, ἅ τε κατ' εὐνὰν
τέρψις, καὶ κροτάλων θηλυμανεῖς ὄτοβοι.
δούρατα δ' αἱματόεντα μέθες Τριτωνίδι δίᾳ
ταῦτα· σὺ δ' εὐχαίταν εἰς Ὑμέναιον ἴθι.

322. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Οὐκ ἐμὰ ταῦτα λάφυρα· τίς ὁ θριγκοῖσιν ἀνάψας
Ἄρηος ταύταν τὰν ἄχαριν χάριτα;

---

Nr. 320. V. 1. ποτάν [τι]. P. V. 4. εἶπεν. P. V. 5. Fort. ἀναιδέες, οὐ δὲ λέγουσιν ἵστορες. Nr. 321. V. 2. Fort. μάτην Ἔντεα; σοὶ γὰρ Ἔρ. V. 5. καθεστρωνίδι [ιτ]. P. V. 6. εὔχεται ἄν. P. Nr. 322. V. 2. Ἄρηως. P.

ἄκλαστοι μὲν κῶνοι, ἀναίμακτοι δὲ γανῶσαι
ἀσπίδες, ἄκλαστοι δ' αἱ κλαδαραὶ κάμακες.
αἰδοῖ πάντα πρόσωπ' ἐρυθαίνομαι, ἐκ δὲ μετώπου
ἱδρὼς πιδύων στῆθος ἐπισταλάει.
παστάδα τις τοιοῖςδε, καὶ ἀνδρειῶνα, καὶ αὐλὰν
κοσμείτω, καὶ τὸν νυμφίδιον θάλαμον·
Ἄρευς δ' αἱματόεντα διωξίπποιο λάφυρα
νηὸν κοσμοίη· τοῖς γὰρ ἀρεσκόμεθα.

323. ΑΝΤΙΠΑΤΡΟΥ.

Τίς θέτο μαρμαίροντα βοάγρια; τίς δ' ἀφόρυκτα
δούρατα, καὶ ταύτας ἀῤῥαγέας κόρυθας,
ἀγκρεμάσας Ἄρηϊ μιάστορι κόσμον ἄκοσμον;
οὐκ ἀπ' ἐμῶν ῥίψει ταῦτά τις ὅπλα δόμων;
ἀπτολέμων τάδ' ἔοικεν ἐν οἰνοπλῆξι τεράμνοις
πλάθειν, οὐ θριγκῶν ἐντὸς Ἐνυαλίου.
σκῦλά μοι ἀμφίδρυπτα, καὶ ὀλλυμένων ἄδε λύθρος
ἀνδρῶν, εἴπερ ἔφυν ὁ βροτολοιγὸς Ἄρης.

[P] 324. ΜΝΑΣΑΛΚΟΥ.

Ἁ σύριγξ, τί τοι ὧδε παρ' Ἀφρογένειαν ὄρουσας;
τίπτ' ἀπὸ ποιμενίου χείλεος ὧδε πάρει;

---

V. 3. Fort. ἄθλαστοι. — κλωνοί. P. V. 4. κλαμαραί. P. V. 8. νυμφάδιον. P. V. 9. διόξιπποιο. P. Nr. 323. V. 6. πλάθιν. P. V. 7. ὁ δὲ λ. P. Nr. 324. V. 2. πάρη. P.

Digitized by Google

οὔ τοι πρῶνες ἔθ᾿ ὧδ᾿, οὔτ᾿ ἄγκεα· πάντα δ᾿ Ἔρωτες
καὶ Πόθος· ἁ δ᾿ ἀγρία Μοῦσ᾿ ἐν ὄρει νέμεται.

### 325. ΑΔΗΛΟΝ.

Πρὶν μὲν ἁλικλύστου πέτρας ἐνὶ βένθεσιν ἧμαν
εὐαλδὲς πόντου φῦκος ἀπαινυμένα·
νῦν δέ μοι ἱμερόεις κόλπων ἔντοσθεν ἰαύει
λάτρις ἐϋστεφάνου Κύπριδος ἁβρὸς Ἔρως.

### 326. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Πέτρης ἐκ δισσῆς ψυχρὸν καταπάλμενον ὕδωρ,
χαίροις, καὶ Νυμφέων ποιμενικὰ ξόανα,
πέτραι τε κρηνέων, καὶ ἐν ὕδασι κόσμια ταῦτα
ὑμέων, ὦ κοῦραι, μυρία τεγγόμενα,
χαίρετ᾿· Ἀριστοκλέης δ᾿ ἴδ᾿, ὁδοιπόρος ᾧπερ ἀπῶσα
δίψαν βαψάμενος, τοῦτο δίδωμι κέρας.

### 327. ΕΡΜΟΚΡΕΟΝΤΟΣ.

Νύμφαι ἐφυδριάδες, ταῖς Ἑρμοκρέων τάδε δῶρα
εἵσατο, καλλινάου πίδακος ἀντιτυχών,
χαίρετε, καὶ στείβοιτ᾿ ἐρατοῖς ποσὶν ὑδατόεντα
τόνδε δόμον, καθαροῦ πιμπλάμεναι πόματος.

---

V. 3. ὧδε. P. V. 4. μένεται. P. Nr. 325. V. 1. ἁλικλαύστου. P. ἐν βένθ. Ib. V. 2. ἀναινομένα. Br. V. 3. κόλποις ἐντοθεν. P. Nr. 326. V. 3. κρηναίων. P. Fort. πέτρα τε κρηνάων. V. 5. Ἀριστοκλέη σὲ δ᾿ ὁδ. P. V. 6. τουτὶ δ. γέρας. P.



Digitized by Google

### 328. ΔΑΜΟΣΤΡΑΤΟΥ.

Νύμφαι Νηϊάδες, καλλίῤῥοον αἳ τόδε νᾶμα
χεῖτε κατ᾽ οὐρείου πρωνὸς ἀπειρέσιον,
ὔμμιν ταῦτα πόρεν Δαμόστρατος Ἀντίλα υἱὸς
ξέσματα, καὶ δοιῶν ῥινὰ κάπρων λάσια.

### 329. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Νύμφαι ἐφυδριάδες, Δώρου γένος, ἀρδεύοιτε
τοῦτον Τιμοκλέους κᾶπον ἐπεσσύμεναι·
καὶ γὰρ Τιμοκλέης ὔμμιν, κόραι, αἰὲν ὁ καπεὺς
κάπων ἐκ τούτων ὥρια δωροφορεῖ.

### [↑] 330. ΝΙΚΑΡΧΟΥ.

α. Κράνας εὐΰδρου παρὰ νάμασι, καὶ παρὰ Νύμφαις
ἔστασέν με Σίμων, Πᾶνα τὸν αἰγιπόδην.
β. τεῦ δὲ χάριν; α. λέξω τοι. ὅσον ποθέεις ἀπὸ κράνας
καὶ πίε, καὶ κοίλαν κάλπιν ἑλὼν ἄρυσαι.
ποσσὶ δὲ μὴ ποτὶ νίπτρα φέρειν κρυστάλλινα Νυμφᾶν
δῶρα, τὸν ὑβριστὰν εἰς ἐμὲ δερκόμενος.
β. ὦ σέμν᾽, οὐ λέξεις ἕτερον λόγον; α. ἀλλὰ παρέξεις
πυγίξαι· τούτοις χρῶμαι ὁ Πὰν νομίμοις.
ἢν δὲ ποιῇς ἐπίτηδες, ἔχων πάθος, ἔστι καὶ ἄλλα
τέχνα, τῷ ῥοπάλῳ τὰν κεφαλὰν λέπομες.

---

Nr. 328. V. 1. καλλίροον. P. V. 4. κάπρωνα. P. Nr. 329. V. 1. διερὸν corr. Graef. V. 2. ἐπεσσόμεναι. P. V. 3. ὔμμι. P. Nr. 330. V. 5. νῆπτρα. P. V. 9. πίνῃις. P.

### 331. ΜΕΛΕΑΓΡΟΥ.

Αἱ Νύμφαι τὸν Βάκχον, ὅτ᾽ ἐκ πυρὸς ἥλατο κοῦρος,
νίψαν ὑπὲρ τέφρης ἄρτι κυλιόμενον.
τοὔνεκα σὺν Νύμφαις Βρόμιος φίλος· ἢν δέ νιν εἴργῃς
μίσγεσθαι, δέξῃ πῦρ ἔτι καιόμενον.

### 332. ΝΟΣΣΙΔΟΣ ΛΕΣΒΙΑΣ.

Ἐλθοῖσαι ποτὶ ναὸν ἰδοίμεθα τᾶς Ἀφροδίτας
τὸ βρέτας, ὡς χρυσῷ δαιδαλόεν τελέθει.
εἵσατό μιν Πολυαρχίς, ἐπαυρομένα μάλα πολλὰν
κτῆσιν ἀπ᾽ οἰκείου σώματος ἀγλαΐας.

### 333. ΜΝΑΣΑΛΚΟΥ.

Στῶμεν ἁλιῤῥάντοιο παρὰ χθαμαλὰν χθόνα πόντου,
δερκόμενοι τέμενος Κύπριδος Εἰναλίας,
κράναν τ᾽ αἰγείροισι κατάσκιον, ἇς ἄπο νᾶμα
ξουθαὶ ἀφύσσονται χείλεσιν ἀλκυόνες.

### 334. ΠΕΡΣΟΥ.

Κἀμὲ τὸν ἐν σμικροῖς ὀλίγον θεὸν ἢν ἐπιβώσῃς
εὐκαίρως, τεύξῃ· μὴ μεγάλων δὲ γλίχου.
ὡς ἅ γε δημογέρων δύναται θεὸς ἀνδρὶ πενέστῃ
δωρεῖσθαι, τούτων κύριός εἰμι Τύχων.

---

Nr. 331. V. 1. ἥλαθ᾽ ὁ κ. B. Nr. 332. V. 1. Fort. ἰδώμεθα. V. 2. ὃ χρυσῷ. Br. V. 3. Fort. ἀπαρνυμένα. Nr. 333. V. 1. χθαμαλόν. P. V. 3. αἰγείροιο. P. ἧς ἄπο. Ib. Nr. 334. V. 2. μεγάλωι. P. V. 3. ὡς ὅτε. P. ὥς ἅ γε. Br.

### 335. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Ὑλοφόρου τὤγαλμαθ', ὁδοιπόρε, Μικκαλίωνος·
Ἑρμῆς ἀλλ' ἴδε τὸν κρήγυνον ὑλοφόρον,
ὡς ἐξ οἰζυρῆς ἠπίστατο δωροδοκῆσαι
ἐργασίης· αἰὲν δ' ὡγαθὸς ἐστ' ἀγαθός.

### 336. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἥρως Ἠετίωνος ἐπίσταθμος Ἀμφιπολίτεω,
ἵδρυμαι μικρῷ μικρὸς ἐπὶ προθύρῳ,
λοξὸν ὄφιν καὶ μοῦνον ἔχων ξίφος· ἀνδρὶ * ιπείωι
θυμωθεὶς πεζὸν κἀμὲ παρῳκίσατο.

### [P] 337. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Εὐάγρει λαγόθηρα, καὶ εἰ πετεεινὰ διώκων
ἰξευτὴς ἥκεις τοῦθ' ὑπὸ δισσὸν ὄρος,
κἀμὲ τὸν ὑληωρὸν ἀπὸ κρημνοῖο βόασον
Πᾶνα· συναγρεύω καὶ κυσὶ καὶ καλάμοις.

### 338. ΘΕΟΚΡΙΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ.

Εὕδεις φυλλοστρῶτι πέδῳ, Δάφνι, σῶμα κεκμακὸς
ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.

---

Nr. 335. V. 1. Μικαλλίωνος. P. V. 2. Ἑρμῆς δ' ἀλίδετον. P. V. 4. Fort. αἰεὶ cum Herm. Nr. 336. V. 1. αἰετίωνος. P. V. 3. καὶ γυμνὸν conj. Br. ἀνδρὶ δὲ ἱππεῖ. Id. Fort. ἀνδρὶ δὲ πεζῷ. Nr. 337. V. 1. λαθόγηρα. P. V. 3. ὑλειωρόν. P. V. 4. συναγεύω. P. Nr. 338. V. 1. κεκμακώς. P. V. 2. ἀμπαύω (ου). P. ἀρτιπαγῆς δ' ἀν'. P.

ἀγρεύει δὲ τὺ Πάν, καὶ ὁ τὸν κροκόεντα Πρίηπος
κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
ἄντρον ἔσω στείχοντες ὁμόῤῥοθοι. ἀλλὰ τὺ φεῦγε,
φεῦγε, μεθεὶς ὕπνου κῶμα * καταγόμενον.

## 339. ΑΡΧΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Ἔν ποτε παμφαίνοντι μέλαν πτερὸν αἰθέρι νωμῶν
σκορπίον ἐκ γαίης εἶδε θορόντα κόραξ,
ὃν μάρψων ὤρουσεν· ὁ δ' ἀΐξαντος ἐπ' οὖδας
οὐ βραδὺς εὐκέντρῳ πέζαν ἔτυψε βέλει,
καὶ ζωῆς μιν ἄμερσεν. ἴδ' ὡς ὃν ἔτευχεν ἐπ' ἄλλῳ,
ἐκ κείνου τλήμων αὐτὸς ἔδεκτο μόρον.

## 340. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Αὐλοὶ τοῦ Φρυγὸς ἔργον Ὑαγνίδος, ἡνίκα Μήτηρ
ἱερὰ τὰν Κυβέλοις πρῶτ' ἀνέδειξε θεῶν,
καὶ πρὸς ἐμὸν φώνημα καλὴν ἀνελύσατο χαίταν
ἔκφρων Ἰδαίης ἀμφίπολος θαλάμης·
εἰ δὲ Κελαινίτης ποιμὴν * πάρος οὔπερ ἀείσας
* ἐγνώθη, Φοίβου κεῖνον ἔδειξεν ἔρις.

---

V. 3. δ' ὅτε. P. V. 5. ἄντρου. P. V. 6. κατεγρόμενος et καταρχόμενον corr. Toup. Nr. 339. V. 1. μελάντερον. P. V. 4. ἐν κέντρῳ. P. V. 5. ζωᾶς μέν. — ἴδ' ὕσσον. Ib. Nr. 340. V. 3. ἐνεδύσατο (ανε superscript). P. V. 5. Fort. πατρὸς εὗρεμ' Ἀθηνᾶς Ἔργον ἔφη, Φ. κ. ἔλεγξεν ἔρις.

### 341. ΓΛΑΥΚΟΥ.

α. Νύμφαι, πευθομένῳ φράσατ' ἀτρεκές, εἰ παρ-
οδεύων
Δάφνις τὰς λευκὰς ὧδ' ἀνέπαυσ' ἐρίφους.
[P] β. Ναὶ ναί, Πὰν συρικτά, καὶ εἰς αἴγειρον ἐκείναν
σοί τι κατὰ φλοιοῦ γράμμ' ἐκόλαψε λέγειν·
Πάν, Πάν, πρὸς Μαλέαν, πρὸς ὄρος Ψωφίδιον ἔρχευ,
ἵξοῦμαι. α. Νύμφαι, χαίρετ', ἐγὼ δ' ὑπάγω.

### 342. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Φημὶ πολυστιχίην ἐπιγράμματος οὐ κατὰ Μούσας
εἶναι. μὴ ζητεῖτ' ἐν σταδίῳ δολιχόν.
πόλλ' ἀνακυκλοῦται δολιχὸς δρόμος· ἐν σταδίῳ δὲ
ὀξὺς ἐλαυνόμενος, πνεύματός ἐστι τόνος.

### 343. ΑΡΧΙΟΥ.

Αὐταῖς σὺν κίχλαισιν ὑπὲρ φραγμοῖο διωχθεὶς
κόσσυφος, ἠερίης κόλπον ἔδυ νεφέλης.
καὶ τὰς μὲν συνοχηδὸν ἀνέκδρομος ὤχμασε θώμιξ,
τὸν δὲ μόνον πλεκτῶν αὖθι μεθῆκε λίνων.
ἱρὸν ἀοιδοπόλων ἔτυμον γένος. ἦ ἄρα πολλὴν
καὶ κωφαὶ πτανῶν φροντίδ' ἔχουσι πάγαι.

---

Nr. 341. V. 5. Ψωφήδιον. P. Nr. 342. V. 1. Φαμὶ πολυστυχίην. P. Nr. 343. V. 1. διssαῖς σύν. Br. V. 3. θώμιγξ. Br. V. 5. ἱερόν. P. πολλή. Ib.

### 344. ΛΕΩΝΙΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Ἦν ὁπότε γραμμαῖσιν ἐμὴν φρένα μοῦνον ἔτερπον,
οὐδ' ὄναρ εὐγενέταις γνώριμος Ἰταλίδαις·
ἀλλὰ τανῦν πάντεσσιν ἐράσμιος· ὀψὲ γὰρ ἔγνων,
ὁππόσον Οὐρανίην Καλλιόπη προφέρει.

### 345. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ τόσον [οὐδ'] Ἀθάμας ἐπεμήνατο παιδὶ Λεάρχῳ,
ὅσσον ὁ Μηδείης θυμὸς ἐτεκνοφόνει,
ζῆλος ἐπεὶ μανίης μεῖζον κακόν· εἰ δὲ φονεύει
μήτηρ, ἐν τίνι νῦν πίστις ἔτ' ἐστὶ τέκνων;

### 346. ΤΟΥ ΑΥΤΟΥ.

Αἶαν ὅλην νήσους τε διϊπταμένη σὺ χελιδών,
Μηδείης γραπτῇ πυκτίδι νοσσοτροφεῖς.
ἔλπῃ δ' ὀρταλίχων πίστιν σέο τήνδε φυλάξειν
Κολχίδα, μηδ' ἰδίων φεισαμένην τεκέων;

### 347. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ μόνον εὐάροτον βόες οἴδαμεν αὔλακα τέμνειν,
ἀλλ' ἴδε κὴκ πόντου νῆας ἐφελκόμεθα·
ἔργα γὰρ εἰρεσίης δεδιδάγμεθα· καὶ σύ, θάλασσα,
δελφῖνας γαίῃ ζεῦξον ἀροτροφορεῖν.

---

Nr. 344. V. 4. Οὐρανίης. Br. Nr. 345. V. 1. οὐδ'. om. P. V. 3. φονεύοι. P. Nr. 346. V. 2. νοσσοτροφεῖς πυκτίδι. P. Nr. 347. V. 2. κήν. P. V. 3. εἰρήνης. P. V. 4. γαίης. P.

348. ΤΟΥ ΑΥΤΟΥ.

Ὁ σταφυλοκλοπίδας Ἑκατώνυμος εἰς Ἀΐδαο
ἔδραμε, μαστιχθεὶς κλήματι φωριδίῳ.

[P] 349. ΤΟΥ ΑΥΤΟΥ.

Ὕδατά σοι Κοτίλεια γενέθλιον ἦμαρ ὁρῶντι,
Καῖσαρ, ἐπιβλύζοι σωρὸν ἀκεστορίης,
ὄφρα σε κόσμος ἅπας πάππον ...... αὐγάζηται,
ὡς πατέρα τρισσῆς εἴςιδεν εὐτοκίης.

350. ΤΟΥ ΑΥΤΟΥ.

Ἤτριά μοι βύβλων * ἀτονώδεα σὺν καλάμοισιν
πέμπεις, Νειλορύτου δῶρον ἀπὸ προβολῆς.
μουσοπόλῳ δ' ἀτελῆ, Διονύσιε, μηκέτι πέμπε
ὄργανα. τίς τούτων χρῆσις ἄτερ μέλανος;

351. ΤΟΥ ΑΥΤΟΥ.

Λυσίππης ὁ νεογνὸς ἀπὸ κρημνοῦ πάϊς ἕρπων
Ἀστυανακτείης ἤρχετο δυςμορίης·
ἡ δὲ μεθωδήγησεν ἀπὸ στέρνων προφέρουσα
μαζόν, τὸν λιμοῦ ῥύτορα καὶ θανάτου.

---

Nr. 349, V. 2. ἀκεσφορίης. P. ζωρὸν ἀκεστορίην. Br. V. 3. πάππον τρισὶν αὐγ. Br. Nr. 350. V. 1. ιτρια. P. — Fort. ἀτομώδεα. V. 2. πέμπει. P. Nr. 351. V. 1. ἐπὶ κρημνοῦ. Br.

352. ΤΟΥ ΑΥΤΟΥ.

Νεῖλος ἑορτάζει παρὰ Θύμβριδος ἱερὸν ὕδωρ,
εὐξάμενος θύσειν Καίσαρι σωζομένῳ.
οἱ δ' ἑκατὸν βουπλῆγες ἑκούσιον αὐχένα ταύρων
ἥμαξαν βωμοῖς Οὐρανίοιο Διός.

353. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ λόγον ἱστορίῃ κοσμούμενον ἠκρίβωσας,
καὶ βίον, ἐν φιλίῃ, Πάππε, βεβαιότατε.
τοῦτο δ' ἑορτάζοντι γενέθλιον ἠριγένειαν
δῶρον ὁ Νειλαιεὺς πέμπει ἀοιδοπόλων.

354. ΤΟΥ ΑΥΤΟΥ.

Ὃν πόλεμος δεδιὼς οὐκ ὤλεσε, νῦν ὑπὸ νούσου
θλίβομαι, ἐν δ' ἰδίῳ τήκομ' ὅλος πολέμῳ.
ἀλλὰ διὰ στέρνων ἴθι φάσγανον· ὡς γὰρ ἀριστεὺς
θνήξομ', ἀπωσάμενος καὶ νόσον ὡς πόλεμον.

355. ΤΟΥ ΑΥΤΟΥ.

Οὐράνιον μίμημα γενεθλιακαῖσιν ἐν ὥραις
τοῦτ' ἀπὸ Νειλογενοῦς δέξο Λεωνίδεω,
Ποππαία, Διὸς εὖνι, Σεβαστιάς· εὔαδε γάρ σοι
δῶρα, τὰ καὶ λέκτρων ἄξια καὶ σοφίης.

---

Nr. 353. V. 4. ἀοιδοπόλος. Br. Nr. 354. V. 2. θλίβομ' ἐν δ'. P.

Digitized by Google

356. ΤΟΥ ΑΥΤΟΥ.

Οἴγνυμεν ἐξ ἑτέρης πόμα πίδακος, ὥστ᾽ ἀρύσασθαι
ξεῖνον μουσοπόλου γράμμα Λεωνίδεω.
δίστιχα γὰρ ψήφοισιν ἰσάζεται. ἀλλὰ σύ, Μῶμε,
ἔξιθι, κεὶς ἑτέρους ὀξὺν ὀδόντα βάλε.

357. ΑΔΕΣΠΟΤΟΝ.

Τέσσαρές εἰσιν ἀγῶνες ἀν᾽ Ἑλλάδα· τέσσαρες ἱροί.
οἱ δύο μὲν θνητῶν, οἱ δύο δ᾽ ἀθανάτων·
Ζηνός, Λητοΐδαο, Παλαίμονος, Ἀρχεμόροιο.
ἆθλα δὲ τῶν, κότινος, μῆλα, σέλινα, πίτυς.

358. ΑΔΗΛΟΝ.

Εἴ με Πλάτων οὐ γράψε, δύω ἐγένοντο Πλάτωνες.
Σωκρατικῶν ὀάρων ἄνθεα πάντα φέρω.
ἀλλὰ νόθον μ᾽ ἐτέλεσσε Παναίτιος· ὅς ῥ᾽ ἐτέλεσσε
καὶ ψυχὴν θνητήν, κἀμὲ νόθον τελέσει.

359. ΠΟΣΕΙΔΙΠΠΟΥ. οἱ δὲ ΠΛΑΤΩΝΟΣ ΚΩΜΙΚΟΥ.

Ποίην τις βιότοιο τάμοι τρίβον; εἰν ἀγορῇ μὲν
νείκεα καὶ χαλεπαὶ πρήξιες· ἐν δὲ δόμοις
φροντίδες· ἐν δ᾽ ἀγροῖς καμάτων ἅλις· ἐν δὲ θαλάσσῃ
τάρβος· ἐπὶ ξείνης δ᾽, ἢν μὲν ἔχῃς τι, δέος·

---

Nr. 358. V. 1. *Πλάτωνος*. P. V. 3. *παραίτιος*. P. V. 3. *ἐτάλασσε*. Plan. V. 5. *τελέσαι*. P. Nr. 359. V. 1. Fort. *τάμῃ* c. Br. V. 4. *ἔχεις*. P.

ἢν δ' ἀπορῇς, ἀνιηρόν. ἔχεις γάμον; οὐκ ἀμέριμνος
ἔσσεαι· οὐ γαμέεις; ζῇς ἔτ' ἐρημότερος.
τέκνα, πόνοι· πήρωσις, ἄπαις βίος. αἱ νεότητες
ἄφρονες· αἱ πολιαὶ δ' ἔμπαλιν ἀδρανέες.
ἦν ἄρα τοῖνδε δυοῖν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν αὐτίκα τικτόμενον.

## 360. ΜΗΤΡΟΔΩΡΟΥ.

Παντοίην βιότοιο τάμοις τρίβον. εἰν ἀγορῇ μὲν
κύδεα καὶ πινυταὶ πρήξιες· ἐν δὲ δόμοις
ἄμπαυμ'· ἐν δ' ἀγροῖς Φύσιος χάρις· ἐν δὲ θαλάσσῃ
κέρδος. ἐπὶ ξείνης, ἢν μὲν ἔχῃς τι, κλέος·
ἢν δ' ἀπορῇς, μόνος οἶδας. ἔχεις γάμον; οἶκος ἄριστος
ἔσσεται· οὐ γαμέεις; ζῇς ἔτ' ἐλαφρότερον.
τέκνα, πόθος· ἄφροντις ἄπαις βίος. αἱ νεότητες
ῥωμαλέαι· πολιαὶ δ' ἔμπαλιν εὐσεβέες.
οὐκ ἄρα τῶν δισσῶν ἑνὸς αἵρεσις, ἢ τὸ γενέσθαι
μηδέποτ', ἢ τὸ θανεῖν. πάντα γὰρ ἐσθλὰ βίῳ.

## 361. ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Μῆτερ ἐμὴ δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
λίην ἄχθομαι ἕλκος, ὅ με βροτὸς οὔτασεν ἀνὴρ

---

V. 6. ζήσῃ. Br. V. 9. τοῖν δυοῖν. P. V. 10. μήποτε ἢ τὸ θανέειν. P. ἦν ἄρα τῶν πάντων τόδε λώϊον, ἠὲ γενέσθαι Μήποτε, ἠὲ θανεῖν. Stob. Nr. 360. V. 1. βίου. Plan.

Digitized by Google

[P] νύκτα δι' ὀρφναίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι,
γυμνὸς ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος.
πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· αὐτὰρ ἔπειτα
οὐρόν τε προέηκεν ἀπήμονά τε λιαρόν τε.

### 362. ΑΔΕΣΠΟΤΟΝ.

εἰς Ἀλφειὸν ποταμόν.

Ἱμερόεις Ἀλφειέ, Διὸς στεφανηφόρον ὕδωρ,
ὃς διὰ Πισαίων πεδίων κεκονιμένος ἕρπεις,
ἡσύχιος τὸ πρῶτον, ἐπὴν δ' ἐς πόντον ἵκηαι,
ὀξὺς ἀμετρήτοιο πεσὼν ὑπὸ κῦμα θαλάσσης,
νυμφίος αὐτοκέλευθος ἐῶν ὀχετηγὸς ἐρώτων,
ἐς Σικελὴν Ἀρέθουσαν ἐπείγεαι ὑγρὸς ἀκοίτης.
ἣ δέ σε κεκμηῶτα καὶ ἀσθμαίνοντα λαβοῦσα,
φῦκος ἀποσμήξασα καὶ ἄνθεα πικρὰ θαλάσσης,
χείλεα μὲν στομάτεσσι συνήρμοσεν· οἷα δὲ νύμφη
νυμφίον ἀμφιχυθεῖσα περίπλοκον ἠδέϊ δεσμῷ
κείμενον ἐν κόλποισιν Ὀλύμπιον εὔνασεν ὕδωρ. *
καὶ φονίῃ ῥαθάμιγγι λιβὰς κατεκίρνατο πηγή.
οὐδὲ Συρακοσίης ἔτι σοι μέλεν ἵμερος εὐνῆς·
πορφυρέῃ δ' ἀνέκοπτες ὕδωρ πεπιεσμένον αἰδοῖ,
φειδόμενος καὶ πόντον ὁμοῦ καὶ λέκτρα μιῆναι.
πολλάκι δ' εὐναίων ὀάρων βεβιημένος ὁρμῇ,

---

Nr. 362. V. 4. ἀμετρήτοις. P. V. 6. ἀγρὸς οἰκέτης. P. V. 8. ἀποτμήξασα. P. V. 15. πότμον. P. μιγῆναι. Ib.

αὐτὴν ἐς φιλότητα χυτῆς ἀλόχοιο περήσας,
ἑστήκεις ἄχραντον ὁρῶν Ἀρεθούσιον ὕδωρ·
ἡ δέ σε παπταίνουσα Πελωριάδος κατὰ πέτρης
δάκρυσι κυμαίνοντα, κατοικτείρουσα καὶ αὐτὴ
εὐειδὴς Ἀρέθουσα, φίλους ἀνεκόπτετο μαζούς,
καὶ δρόσος οἷα ῥόδοισιν ἐτήκετο· μυρομένῳ δὲ
Πισαίῳ ποταμῷ Σικελὴ προσεμύρετο πηγή. *
οὐδὲ Δίκην ἔλαθεν πολυδερκέα φοίνιος ἀνὴρ
Ἑλλάδος ἀμώων ἄγαμον στάχυν, ᾧ ἔπι πολλαὶ
ἡρώων ἄλοχοι, μινυώρια τέκνα τεκοῦσαι,
μαψιδίως ὠδῖνας ἀνεκλαύσαντο γυναῖκες.

## 363. ΜΕΛΕΑΓΡΟΥ.

Χείματος ἠνεμόεντος ἀπ᾿ αἰθέρος οἰχομένοιο,
πορφυρέη μείδησε φερανθέος εἴαρος ὥρη.
γαῖα δὲ κυανέη χλοερὴν ἐστέψατο ποίην,
καὶ φυτὰ θηλήσαντα νέοις ἐκόμησε πετήλοις.
οἱ δ᾿ ἁπαλὴν πίνοντες ἀεξιφύτου δρόσον Ἠοῦς
λειμῶνες γελόωσιν, ἀνοιγομένοιο ῥόδοιο.
χαίρει καὶ σύριγγι νομεὺς ἐν ὄρεσσι λιγαίνων,
καὶ πολιοῖς ἐρίφοις ἐπιτέρπεται αἰπόλος αἰγῶν.
ἤδη δὲ πλώουσιν ἐπ᾿ εὐρέα κύματα ναῦται
πνοιῇ ἀπημάντῳ Ζεφύρου λίνα κολπώσαντες.

---

V. 21. Fort. ἄμ᾿ ἐκόπτετο. V. 23. προσεμοίρετο. P. V. 24. Fort. οὐ δέ. V. 25. ἀγάμων. P. Nr. 363. V. 4. ἐκόμισσε πετίλοις. P. V. 10. ζεφύρωι. P.

Digitized by Google

ἤδη δ' εὐάζουσι φερεσταφύλῳ Διονύσῳ
ἄνθεϊ βοτρυόεντος ἐρεψάμενοι τρίχα κισσοῦ.
ἔργα δὲ τεχνήεντα βοηγενέεσσι μελίσσαις
καλὰ μέλει, καὶ σίμβλῳ ἐφήμεναι ἐργάζονται
λευκὰ πολυτρήτοιο νεόῤῥυτα κάλλεα κηροῦ.
πάντη δ' ὀρνίθων γενεὴ λιγύφωνον ἀείδει·
ἀλκυόνες περὶ κῦμα, χελιδόνες ἀμφὶ μέλαθρα,
κύκνος ἐπ' ὄχθαισιν ποταμοῦ, καὶ ὑπ' ἄλσος ἀηδών.
εἰ δὲ φυτῶν χαίρουσι κόμαι, καὶ γαῖα τέθηλεν,
συρίζει δὲ νομεύς, καὶ τέρπεται εὔκομα μῆλα,
καὶ ναῦται πλώουσι, Διώνυσος δὲ χορεύει,
καὶ μέλπει πετεεινά, καὶ ὠδίνουσι μέλισσαι,
πῶς οὐ χρὴ καὶ ἀοιδὸν ἐν εἴαρι καλὸν ἀεῖσαι;

### 364. ΝΕΣΤΟΡΟΣ ΛΑΡΑΝΔΕΩΣ.

Σπείσατέ μοι, Μοῦσαι, λιγυρὴν εὐτερπέα φωνήν,
ἡδὺν ἀπὸ στομάτων Ἑλικωνίδος ὄμβρον ἀοιδῆς.
ὅσσοι γὰρ προχέουσιν ἀοιδοτόκου πόμα πηγῆς,
ὑμετέρων ἐπέων λιγυρῇ τέρπονται ἀοιδῇ.

### 365. ΙΟΥΛΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ.

Ἀλλοίην ὁρόω δονάκων φύσιν. ἤπου ἀπ' ἄλλης
χαλκείης τάχα μᾶλλον ἀνεβλάστησαν ἀρούρης,

---

V. 13. τευχήεντα. P. V. 14. μέλη. P. V. 17. δ' ἀμφί. P. V. 18. κύκνος δ' ἐπ' ὄχθεσι. P. V. 21. δὲ πλώουσιν διόνυσος. P. Nr. 364. V. 3. Fort. ποθέουσιν c. Reiskio.

Digitized by Google

ἄγριοι, οὐδ᾽ ἀνέμοισιν ὑφ᾽ ἡμετέροις δονέονται·
ἀλλ᾽ ἀπὸ ταυρείης προθορὼν σπήλυγγος ἀήτης
νέρθεν ἐϋτρήτων καλάμων ὑπὸ ῥίζαν ὁδεύει.
καί τις ἀνὴρ ἀγέρωχος ἔχων θοὰ δάκτυλα χειρῶν,
ἵσταται ἀμφαφόων κανόνας συμφράδμονας αὐλῶν·
οἳ δ᾽ ἁπαλὸν σκιρτῶντες ἀποθλίβουσιν ἀοιδήν.

[P] 366. ΑΔΗΛΟΝ.

Ἀποφθέγματα τῶν ἑπτὰ σοφῶν.

Ἑπτὰ Σοφῶν ἐρέω κατ᾽ ἔπος πόλιν, οὔνομα, φωνήν.
Μέτρον μὲν Κλεόβουλος ὁ Λίνδιος εἶπεν ἄριστον.
Χίλων δ᾽ ἐν κοίλῃ Λακεδαίμονι, Γνῶθι σεαυτόν.
ὃς δὲ Κόρινθον ἔναιε, Χόλου κρατέειν, Περίανδρος.
Πιττακός, Οὐδὲν ἄγαν, ὃς ἔην γένος ἐκ Μιτυλήνης.
Τέρμα δ᾽ ὁρᾶν βιότοιο, Σόλων ἱεραῖς ἐν Ἀθήναις.
Τοὺς πλέονας κακίους δὲ Βίας ἀπέφηνε Πριηνεύς.
Ἐγγύην φεύγειν δὲ Θαλῆς Μιλήσιος ηὔδα.

367. ΛΟΥΚΙΑΝΟΥ ΣΑΜΟΣΑΤΕΩΣ.

Τὸν πατρικὸν πλοῦτον νέος ὢν Θήρων ὁ Μενίππου
αἰσχρῶς εἰς ἀκρατεῖς ἐξέχεεν δαπάνας.

---

Nr. 365. V. 4. ἀλλ᾽ ὑπό. P. Nr. 366. V. 4. ἔναιεν. P. V. 5. μυτιλίνης. P. Nr. 367. V. 2. δαπάναις. P.

ἀλλά μιν Εὐκτήμων, πατρικὸς φίλος, ὡς ἐνόησεν
ἤδη καρφαλέῃ τειρόμενον πενίῃ,
καί μιν δακρυχέων ἀνελάμβανε, καὶ πόσιν αὐτὸν
θῆκε θυγατρὸς ἑῆς, πόλλ' ἐπὶ μείλια δούς.
αὐτὰρ ἐπεὶ Θήρωνα * περιφρένας ἤλυθε πλοῦτος,
αὐτίκα ταῖς αὐταῖς ἐτρέφετ' ἐν δαπάναις,
γαστρὶ χαριζόμενος πᾶσαν χάριν οὐ κατὰ κόσμον,
τῇ θ' ὑπὸ τὴν μιαρὰν γαστέρα μαργοσύνῃ.
οὕτως μὲν Θήρωνα τὸ δεύτερον ἀμφεκάλυψεν
οὐλομένης πενίης κῦμα παλιῤῥόθιον.
Εὐκτήμων δ' ἐδάκρυσε τὸ δεύτερον, οὐκέτι κεῖνον,
ἀλλὰ θυγατρὸς ἑῆς προῖκά τε καὶ θάλαμον.
ἔγνω δ' ὡς οὐκ ἔστι κακῶς κεχρημένον ἄνδρα
τοῖς ἰδίοις εἶναι πιστὸν ἐν ἀλλοτρίοις.

### 368. ΙΟΥΛΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ.

Τίς; πόθεν εἶς Διόνυσε; μὰ γὰρ τὸν ἀληθέα Βάκχον,
οὔ σ' ἐπιγιγνώσκω. τὸν Διὸς οἶδα μόνον.
[P] κεῖνος νέκταρ ὄδωδε· σὺ δὲ τράγου. ἦ ῥά σε Κελτοὶ
τῇ πενίῃ βοτρύων τεῦξαν ἀπ' ἀσταχύων.
τῷ σε χρὴ καλέειν Δημήτριον, οὐ Διόνυσον,
πυρογενῆ μᾶλλον, καὶ Βρόμον, οὐ Βρόμιον.

---

V. 6. μήλια. P. V. 7. Θήρωνι παρ' ἐλπίδας. Plan. Fort. περὶ φερνῆς κλῦσε πλ. V. 9. κατὰ κοίμον. P. V. 13. ἐδάκρυε. P. Nr. 368. V. 3. ἦ ῥά νύ σε Κ. P.

### 369. ΚΥΡΙΛΛΟΥ.

*Πάγκαλόν ἐστ' ἐπίγραμμα. τὸ δίστιχον· ἢν δὲ παρέλθῃς*
*τοὺς τρεῖς, ῥαψῳδεῖς, κοὐκ ἐπίγραμμα λέγεις.*

### 370. ΤΙΒΕΡΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

*Οὐ κύνες, οὐ στάλικές με κατήνυσαν, οὐχὶ κυνηγοὶ*
*δορκάδα· τὸν δ' ἀπὸ γῆς εἰν ἁλὶ πλῆσα μόρον.*
*ἐξ ὕλης πόντῳ γὰρ ἐνέδραμον· εἶτά με πλεκταὶ*
*εἷλξαν ἐπ' αἰγιαλοὺς δικτυβόλων παγίδες.*
*ἤλιτον ἡ χέρσοιο μάτην φυγάς· οὐδ' ἀδίκως με*
*εἷλε σαγηνευτὴς τἀμὰ λιποῦσαν ὄρη.*
*οὔποτ' ἄγρης ἁλιῆες ἔτ' ἄστοχον οἴσετε χεῖρα,*
*χέρσῳ καὶ πελάγει κοινὰ πλέκοντες ὕφη.*

### 371. ΑΔΗΛΟΝ.

*Δίκτυον ἐκθρώσκοντα πολύπλοκον ἄρτι λαγωὸν*
*σεῦε κύων θερμοῖς ἴχνεσιν ὠκυπόδην.*
*τρηχὺν ὃ δ' ἐκνεύσας ταχινῶς πάγον, ἐς βαθὺ πόντου*
*ἥλατ' ἀλυσκάζων κῦμα παρακτίδιον.*
*εἰνάλιος τὸν δ' αἶψα κύων βρυχηδὸν ὀδοῦσιν*
*μάρψε. κυσὶν τλήμων ἦν ἄρ' ὀφειλόμενος.*

---

Nr. 369. V. 1. *πᾶν καλόν.* P. Nr. 370. V. 5. *ἐπέδραμον.* Br. V. 7. *ἄγρην.* P. Nr. 371. V. 3. *ταχινοῖς.* P.



Digitized by Google

372. ΑΔΗΛΟΝ.

Λεπτὸν ὑφηναμένα ῥαδινοῖς ὑπὸ ποσσὶν ἀράχνα
τέττιγα σκολιαῖς ἔνδετον εἶχε πάγαις.
ἀλλ' οὐ μὰν λεπταῖσιν ἐπαιάζοντα ποδίστραις
τὸν φιλαοιδὸν ἰδὼν παῖδα παρετρόχασα·
λύσας δ' ἐκ βροχίδων ἀπεκούφισα, καὶ τόδ' ἔλεξα·
σώζου μουσείῳ φθεγγόμενος κελάδῳ.

373. ΑΔΗΛΟΝ.

Τίπτ' ἐμὲ τὸν φιλέρημον ἀναιδέϊ ποιμένες ἄγρῃ
τέττιγα δροσερῶν ἕλκετ' ἀπ' ἀκρεμόνων,
τὴν Νυμφέων παροδῖτιν ἀηδόνα, κἤματι μέσσῳ
οὔρεσι καὶ σκιεραῖς ξουθὰ λαλεῦντα νάπαις;
ἠνίδε καὶ κίχλην καὶ κόσσυφον, ἠνίδε τόσσους
ψᾶρας, ἀρουραίης ἅρπαγας εὐπορίης.
[¶] καρπῶν δηλητῆρας ἑλεῖν θέμις· ὄλλυτ' ἐκείνους.
φύλλων καὶ χλοερῆς τίς φθόνος ἐστὶ δρόσου;

374. ΑΔΗΛΟΝ.

Ἀέναον ΚΑΘΑΡΗΝ με παρερχομένοισιν ὁδίταις
πηγὴν ἀμβλύζει γειτονέουσα νάπη·

---

Nr. 372. V. 1. Fort. ῥαδινοῖς ποσὶν ἱστόν. V. 3. οὐμιν. P. ὑπαιάζοντα ποδάγραις. Plan. Nr. 373. V. 3. παροδίτην. P. V. 6. ἅρπαγες. V. 8. τί φθόνος. P.

Digitized by Google

πάντη δ' αὖ πλατάνοισι καὶ ἡμεροθαλλέσι δάφναις
ἔστεμμαι, σκιερὴν ψυχομένη κλισίην·
τοὔνεκα μή με θέρευς παραμείβεο· δίψαν ἀλαλκὼν
ἄμπαυσον παρ' ἐμοὶ καὶ κόπον ἡσυχίῃ.

375. ΑΔΗΛΟΝ.

Τίς ποτ' ἀκηδέστως οἰνοτρόφον ὄμφακα Βάκχου
ἀνὴρ ἀμπελίνου κλήματος ἐξέταμεν,
χείλεα δὲ στυφθεὶς ἀπό μιν βάλεν, ὡς ἂν ὁδίταις
εἴη νισσομένοις ἡμιδαὲς σκύβαλον;
εἴη οἱ Διόνυσος ἀνάρσιος, οἷα Λυκοῦργος
ὅττι μιν αὐξομέναν ἔσβεσεν εὐφροσύναν.
τοῦδε γὰρ ἂν τάχα τις διὰ πώματος ἢ πρὸς ἀοιδὰς
ἤλυθεν, ἢ γοεροῦ κάδεος ἔσχε λύσιν.

376. ΑΔΗΛΟΝ.

Τίπτ' ἐμὲ τὴν ἀνέμοισιν ἁλώσιμον, ἠλεὲ τέκτον,
τήνδε πίτυν τεύχεις νῆα θαλασσοπόρον;
οὐδ' οἰωνὸν ἔδεισας; ὅ τοι Βορέης μ' ἐδίωξεν
ἐν χθονί· πῶς ἀνέμους φεύξομαι ἐν πελάγει;

377. ΠΑΛΛΑΔΑ.

Τάνταλος οὐδὲν ἔτρωγε· τινασσομένων γὰρ ὕπερθεν
καρπὸς ὑπὲρ κεφαλῆς αὐτὸν ἔφευγε φυτῶν,

Nr. 374. V. 3. ἡμεροθηλέσι Graef. V. 4. σκιερῇ . . κλισίῃ. Plan. V. 5. οὕνεκα et ἀλάλκω. P. Nr. 375. V. 4. νισομένοις. P. V. 5. Λυκούργῳ. Plan. V. 6. Fort. ὕττι οἱ. V. 8. κήδεος. Plan. Nr. 377. V. 2. αὐτῶν. P.

καὶ διὰ τοῦτο τροφῆς κεχρημένος, ἧττον ἐδίψα.
εἰ δὲ καὶ ἔτρωγεν σῦκα πεπαινόμενα,
καὶ βραβύλους, καὶ μῆλα, τί τηλίκον ἀνδράσι νεκροῖς
δίψος ἀπὸ χλωρῶν γίγνεται ἀκροδρύων;
ἡμεῖς δ' ἐσθίομεν κεκλημένοι ἁλμυρὰ πάντα,
χέννια, καὶ τυρούς, χηνὸς ἄλιστα λίπη,
ὄρνια καὶ μόσχεια· μίαν δ' ἐπιπίνομεν αὐτοῖς.
πάσχομεν οὐκοῦν σεῦ, Τάνταλε, πικρότερα.

### 378. ΤΟΥ ΑΥΤΟΥ.

Ἀνδροφόνῳ σαθρὸν παρὰ τειχίον ὑπνώοντι
νυκτὸς ἐπιστῆναι φασὶ Σάραπιν ὄναρ,
καὶ χρησμῳδῆσαι· κατακείμενος οὗτος, ἀνίστω,
καὶ κοιμῶ μεταβάς, ὦ τάλας, ἀλλαχόθι.
[P] ὃς δὲ διϋπνισθεὶς μετέβη. τὸ δὲ σαθρὸν ἐκεῖνο
τειχίον ἐξαίφνης εὐθὺς ἔκειτο χαμαί.
σῶστρα δ' ἕωθεν ἔθυε θεοῖς χαίρων ὁ κακοῦργος,
ἥδεσθαι νομίσας τὸν θεὸν ἀνδροφόνοις.
ἀλλ' ὁ Σάραπις ἔχρησε πάλιν, διὰ νυκτὸς ἐπιστάς·
κήδεσθαί με δοκεῖς, ἄθλιε, τῶν ἀδίκων;
εἰ μὴ νῦν σε μεθῆκα θανεῖν, θάνατον μὲν ἄλυπον
νῦν ἔφυγες, σταυρῷ δ' ἴσθι φυλαττόμενος.

---

V. 5. καὶ βαρβιβλους κ. μ. τιληκον. P. In marg. τί λῆκον ἄρ' ἀνδρ. V. 7. κεκλιμένοι. P. V. 9. ὄρβια καὶ μόσχια. P. Nr. 378. V. 1. παραστειχίον. P. V. 3. κατακείμενος (superscr. ν). P. ἀνίστω (superscr. α). P. V. 4. Fort. ὦ τάλαν. V. 7. ἔθυεν. P. V. 9. ἀπέχρησε. P. V. 12. δ' εὖ ἴσθι. P.

379. ΤΟΥ ΑΥΤΟΥ.

Φασὶ παροιμιακῶς, κἂν ὗς δάκοι ἄνδρα πονηρόν·
ἀλλὰ τόδ' οὐχ' οὕτω φημὶ προςῆκε λέγειν·
ἀλλὰ δάκοι κἂν ὗς ἀγαθοὺς καὶ ἀπράγμονας ἄνδρας,
τὸν δὲ κακὸν δεδιὼς δήξεται οὐδὲ δράκων.

380. ΓΡΑΜΜΑΤΙΚΟΥ

τινός, ἐπὶ τὸ μὴ δύνασθαι τοῖς ποιήμασι Παλλαδᾶ ἐξισοῦσθαι.

Εἰ κύκνῳ δύναται κόρυδος παραπλήσιον ᾄδειν,
τολμῷεν δ' ἐρίσαι σκῶπες ἀηδονίσιν,
εἰ κόκκυξ τέττιγος ἐρεῖ λιγυρώτερος εἶναι,
ἶσα ποεῖν καὶ ἐγὼ Παλλαδίῳ δύναμαι.

381. ΟΜΗΡΟΚΕΝΤΡΩΝ.

εἰς Λέανδρον καὶ Ἡρῶ.

Ἀκτῇ ἐπὶ προὐχούσῃ, ἐπὶ πλατεῖ Ἑλληςπόντῳ,
παρθένος αἰδοίη ὑπερώϊον εἰςαναβᾶσα
πύργῳ ἐφειστήκει γοόωσά τε μυρομένη τε,
χρύσεον λύχνον ἔχουσα, φάος περικαλλὲς ἐποίει,
κεῖνον ὀϊομένη τὸν κάμμορον, εἴ ποθεν ἔλθοι
νηχόμενος, καὶ λαῖτμα τάχισθ' ἁλὸς ἐκπεραάσκοι

---

Nr. 379. V. 1. et 3. Fort. κἂν μῦς. V. 2. προιῆκε. P. V. 3. δακοι ἄν. P. Nr. 380. V. 4. ποιεῖν. Plan. Nr. 381. V. 1. προχοούσῃ. P. V. 3. ἐφειστήκει. P. V. 5. ὀϊεμένη. P. V. 6. ἐκπεράασκε. P.

νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι·
ῥόχθει γὰρ μέγα κῦμα ποτὶ ξερὸν ἠπείροιο.
ὅσσαι γὰρ νύκτες τε καὶ ἡμέραι ἐκγεγάασι,
παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοισιν,
εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας,
οἳ Σηστὸν καὶ Ἄβυδον ἔχον καὶ δῖαν Ἀρίσβην.

## 382. ΑΛΛΟ.

ὁ πρῶτος Ἠχοῦς ἀκούσας.

Ὦ φίλοι, ἥρωες Δαναοί, θεράποντες Ἄρηος,
ψεύσομαι, ἢ ἔτυμον ἐρέω; κέλεται δέ με θυμός.
ἀγροῦ ἐπ' ἐσχατιῆς, ὅθι δένδρεα μακρὰ πεφύκει,
ναίει εὐπλόκαμος δεινὴ θεὸς αὐδήεσσα,
ἢ θεός, ἠὲ γυνή· τοὶ δὲ φθέγγοντο καλεῦντες.
[P] εἰ δὲ φθεγξαμένου του ἢ αὐδήσαντος ἀκούσῃ,
αὖτις ἀριζήλως εἰρημένα μυθολογεύει.
ἀλλὰ τίη τοι ταῦτα διεξερέεσθαι ἕκαστα;
τὴν δ' οὔτ' ἀθρῆσαι δύναμ' ἀντίον, οὔτε νοῆσαι.
ὁπποῖόν κ' εἴπῃσθα ἔπος, τοῖόν κ' ἐπακούσαις.

## 383. ΜΗΝΕΣ ΑΙΓΥΠΤΙΩΝ.

Πρῶτος Θ ὼ θ ἐδάη δρεπάνην ἐπὶ βότρυν ἐγείρειν.
ἰχθυβόλοισι Φ α ω φ ὶ φέρει πανδήμιον ἄγρην.

---

Nr. 382. V. 2. ἔτυμον (τι). P. V. 6. εἰ δὴ φ. τοῦ καὶ. P. V. 7. αὖθις. P. V. 8. διεξέρχεσθαι. P.

*Πληϊάδων φαίνουσαν Ἀθὺρ τεκμαίρεται ὥρην.*
*Χοιὰκ σπειρομένων σταχύων δείκνυσι γενέθλην.*
*Τυβὶ δὲ πορφύρεον βουληφόρον εἷμα τιταίνει.*
*[σημαίνει πλωτῆρσι Μεχεὶρ πλόον ἀμφιπολεύειν.]*
*Ἄρεος ὅπλα φέρειν Φαμενὼθ δείκνυσι μαχηταῖς.*
*εἰαρινῶν Φαρμουθὶ ῥόδων πρωτάγγελός ἐστι.*
*λήϊα δ' αὐανθέντα Παχὼν δρεπάνῃσι φυλάσσει.*
*εὐκάρπου δὲ Παϋνὶ προάγγελός ἐστιν ὀπώρης.*
*καὶ σταφυλὴν κατέχων εὐάμπελός ἐστιν Ἐπηφί.*
*καὶ Μεσορὶ Νείλοιο φέρει φυσίζοον ὕδωρ.*

384. *ΜΗΝΕΣ ΡΩΜΑΙΩΝ.*

*Ἐξ ἐμέθεν λυκάβαντος * ὑπνελίοιο θύρετρα*
*Αὐσονίης ὕψος δέρκεται Ἠέλιος.*
*Αὐτὰρ ἐγὼ θαμινῇσι γύην νιφάδεσσι διαίνω,*
*τεύχων εἰαρινῆς ἔγκυον ἀγλαΐης.*
*Ἄρχετ' Ἄρης ἀπ' ἐμεῖο, καὶ ἄνθεα, καὶ γλάγος ἡδύ·*
*ἴση δ' εἰκοστῷ ἤματι νὺξ τελέθει.*
*Ἐντύνοι τῆμόςδε φυτοσκάφος, ἔρνεα τάμνων,*
*ῥίζῃ ἐπ' ἀγροτέρῃ ἥμερον ἀκρέμονα.*
*Οἴγεται ἄρτι θάλασσα· ἐφοπλίζοιτε δὲ νῆας·*
*ὥριον ἀκλύστων ἐκτὸς ἄγειν λιμένων.*

---

Nr. 383. V. 6. accessit ex Plan. V. 7. *ἄρεως.* P. V. 9. *φυλάττει.* P. V. 12. *φυσίζωον.* P. Nr. 384. V. 1. *ὑπ' ἠελίοιο.* Plan. *ἀνοιγομένοιο θυρέτρου.* Br. V. 5. *ἤδη.* P. V. 7. *τῆμος φ.* P. V. 8. *ἐπακροτάτη.* P. V. 10. *ὕγειν.* P.

Digitized by Google

Μεσσάτιος ῥόδου εἰμὶ καὶ ἀργεννοῖο κρίνοιο,
  καὶ ξανθῆς κεράσου βρίθομαι ἀκρέμοσιν.
Καρκίνον Ἠέλιος μετανείσεται· ἀστάχυας δὲ
  καρφαλέους κείρει γειοπόνος δρεπάνη.
Κρίνω ἐγὼ Δηὼ καὶ ἀχυρμιάς· ἐν δὲ λέοντι
  ἀτρεκέα τελέθει χεύματα Νηϊάδων.
[P] Βρίθω ἐγὼ σταφυλῇ, βρίθω δ' ἐπὶ πᾶσιν ὀπώρῃ·
  αὖθις δ' ἰσοπαλὴς γίγνεται ἤματι νύξ.
Τίς δέ κ' ἐμεῖο πέλοι γλυκερώτερος, ὃς μέθυ ληνῷ,
  ἡδυεπῆ κατάγω Βάκχον ἀπ' οἰνοπέδου;
Εἴ τοι Ἀθηναίης πέλει ἔρνεα, ὥριον ἤδη
  καρπὸν ἀποθλίβειν, μνῆστιν ἔχειν καμάτων.
Παύσασθαι νειοῦ κέλομαι· γλαγόωντι γὰρ ἤδη
  σπέρματι ῥιγεδανὴ πηγυλὶς ἀντιάσει.

385. ΣΤΕΦΑΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἀκρόστιχα εἰς τὴν Ἰλιάδα κατὰ ῥαψῳδίαν.

Ἄλφα λιτὰς Χρύσου, λοιμὸν στρατοῦ, ἔχθος ἀνάκτων.
Βῆτα δ' ὄνειρον ἔχει, ἀγορήν, καὶ νῆας ἀριθμεῖν.
Γάμμα δ' ἄρ' ἀμφ' Ἑλένης οἴοις μόθος ἐστὶν ἀκοί-
  ταις.
Δέλτα θεῶν ἀγορή, ὅρκων χύσις, ἄρεος ἀρχή.

---

V. 13. καρκίνος (ν superscript). P. μετανίσσεται. Ib. V. 14. καρφαλέας. P. V. 15. δὴν καί. P. V. 17. ἐπὶ πᾶσι. P. ἔτι πάσῃ. Br. V. 19. πέλει. P. ὃς μέθυ Δηνῷ ἐπικατάγω. P. ἡδὺ ἐπικατάγω. Plan. V. 21. ἀθηναίη. P. V. 24. ῥηγεδανή. P.

Digitized by Google

*Εἶ, βάλλει Κυθέρειαν Ἄρηά τε Τυδέος υἱός·*
*Ζῆτα δ' ἄρ' Ἀνδρομάχης καὶ Ἕκτορός ἐστ' ὀαριστύς·*
*Ἦτα δ' Αἴας πολέμιζε μόνῳ μόνος Ἕκτορι δίῳ.*
*Θῆτα θεῶν ἀγορή· Τρώων κράτος· Ἕκτορος εὖχος.*
*Ἐξεσίη Ἀχιλῆος ἀπειθέος ἐστὶν Ἰῶτα·*
*Κάππα δ' ἄρ' ἀμφοτέρων σκοπιαζέμεν ἤλυθον ἄνδρες.*
*Λάμβδα δ' ἀριστῆας Δαναῶν βάλον Ἕκτορος ἄνδρες.*
*Μῦ Τρώων παλάμῃσι κατήριπε τεῖχος Ἀχαιῶν.*
*Νῦ δὲ Ποσειδάων Δαναοῖς κράτος ὤπασε λάθρῃ.*
*Ξῖ Κρονίδην ὕπνῳ λεχέεσσί τε ἤπαφεν Ἥρη.*
*Οὐ Κρονίδης κεχόλωτο Ποσειδάωνι καὶ Ἥρῃ.*
*Πῖ Πάτροκλον ἔπεφνεν ἀρήϊον Ἕκτορος αἰχμή.*
*Ῥῶ Δαναοὶ Τρῶές τε νέκυν πέρι χεῖρας ἔμισγον.*
*Σῖγμα Θέτις Ἀχιλῆϊ παρ' Ἡφαίστου φέρεν ὅπλα·*
*Ταῦ δ' ἀπέληγε χόλοιο, καὶ ἔκθορε δῖος Ἀχιλλεύς.*
*Ὗ μακάρων ἔρις ὦρτο, φέρει δ' ἐπὶ κάρτος Ἀχαιοῖς.*
*Φῖ [κρατερῶς] κατὰ χεύματ' ἐδάμνατο Τρῶας Ἀχιλλεύς·*
*Χῖ δ' ἄρα τρὶς περὶ τεῖχος ἄγων κτάνεν Ἕκτορ' Ἀχιλλεύς.*
*Ψῖ Δαναοῖσιν ἀγῶνα διδοὺς ἐτέλεσσεν Ἀχιλλεύς.*
*Ὦ Πριάμῳ νέκυν υἷα λαβὼν γέρα δῶκεν Ἀχιλλεύς.*

---

Nr. 385. V. 5. *ἄρη* (α supra) *τε ὁ Τ.* P. V. 14. *λεχέεσσί τε ὕπνῳ.* V. 19. *ἕκτορε.* P. V. 21. *κρατερῶς* omissum in P. accessit ex Cod. Homeri Vratisl.

[P] 386. ΑΔΗΛΟΝ.

Ἁ Κύπρις πρώαν γυμνάν σ' ἐβόασεν ἰδοῦσα·
φεῦ, φεῦ, πῶς σταγόνων ἔκτοθεν Οὐρανίων,
ζαλώσας ὠδῖνα Θαλάσσας, ὁ θρασὺς ἄλλαν
Νεῖλος ἀπὸ γλυκερῶν Κύπριν ἀνῆκε βυθῶν;

387. ΑΔΡΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ, οἱ δὲ ΓΕΡΜΑΝΙΚΟΥ.

Ἕκτορ, Ἀρήϊον αἷμα, κατὰ χθονὸς εἴ που ἀκούεις,
χαῖρε, καὶ ἄμπνευσον βαιὸν ὑπὲρ πατρίδος.
Ἴλιον οἰκεῖται κλεινὴ πόλις, ἄνδρας ἔχουσα
σοῦ μὲν ἀφαυροτέρους, ἀλλ' ἔτ' ἀρηϊφίλους·
Μυρμιδόνες δ' ἀπόλοντο. παρίστασο, καὶ λέγ' Ἀχιλλεῖ
Θεσσαλίην κεῖσθαι πᾶσαν ὑπ' Αἰνεάδαις.

388. 389.

Πρὸς ταῦτα ὑπέγραψε στρατιώτης, φασὶ δὲ Τραϊανοῦ εἶναι,

Θάρσυνοι· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον.

---

Nr. 386. V. 1. ἐβόασσεν. P. Nr. 387. V. 1. ἀκούοις. P. V. 2. ἄμπνευσον ὑπὲρ πατρίδος βαιόν. P. Nr. 388. θάρσυνος. P.

Digitized by Google

εἶτα τοῦ Βασιλέως ἐπαινέσαντος καὶ γράψαντος·
Δήλωσόν μοι τίς εἶ·
ἀντέγραψεν·

Εἰμὶ μὲν εὐθώρηκος Ἐνυαλίου πολεμιστής·
εἰμὶ δὲ καὶ θεράπων Ἑλικωνίου Ἀπόλλωνος,
αὐτοῖς ἐν πρώτοισι λελεγμένος ἀσπιδιώταις.

### 390. ΜΕΝΕΚΡΑΤΟΥΣ ΣΜΥΡΝΑΙΟΥ.

Παισὶν ἐπὶ προτέροις ἤδη τρίτον ἐν πυρὶ μήτηρ
θεῖσα, καὶ ἀπλήστῳ δαίμονι μεμφομένη,
Τέτρατον ἄλγος ἔτικτε, καὶ οὐκ ἀνέμεινεν ἀδήλους
ἐλπίδας, ἐν δὲ πυρὶ ζωὸν ἔθηκε βρέφος,
οὐ θρέψω, λέξασα· τί γὰρ πλέον; Ἄϊδι μαστοὶ
κάμνετε· κερδήσω πένθος ἀμοχθότερον.

### 391. ΔΙΟΤΙΜΟΥ.

Τὰν ἥβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
ἅδε Ποσειδῶνος, καὶ Διὸς ἁ γενεά.
κεῖται δέ σφιν ἀγὼν οὐ χαλκέου ἀμφὶ λέβητος,
ἀλλ' ὅςτις ζωὰν οἴσεται ἢ θάνατον.
Ἀνταίου τὸ πτῶμα· πρέπει δ' Ἡρακλέα νικᾶν
τὸν Διός. Ἀργείων ἁ πάλα, οὐ Λιβύων.

---

Nr. 391. Δοτίμου. P. V. 1. πάλης. P. V. 3. χάλκεος. P. V. 4. εἴσεται. P.

Digitized by Google

### 392. ΑΔΗΛΟΝ.

*Εἴ τις ἀπάγξασθαι μὲν ὀκνεῖ, θανάτου δ' ἐπιθυμεῖ,*
*ἐξ Ἱερᾶς πόλεως ψυχρὸν ὕδωρ πιέτω.*

### 393. ΠΑΛΛΑΔΑ.

*Οὐδεὶς καὶ καθαρὸς καὶ μείλιχος ἤλυθεν ἄρχων.*
*ἓν γὰρ ἑνὸς δοκέει δόγματος ἀντίπαλον·*
*τὸ γλυκὺ τοῦ κλέπτοντος, ὑπερφιάλου δὲ τὸ ἁγνόν.*
*ὄργανα τῆς ἀρχῆς ταῦτα δύ' ἐστὶ πάθη.*

### [P] 394. ΤΟΥ ΑΥΤΟΥ.

*Χρυσέ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱέ,*
*καὶ τὸ ἔχειν σε, φόβος· καὶ μὴ ἔχειν σ', ὀδύνη.*

### 395. ΤΟΥ ΑΥΤΟΥ.

*Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος εἶπεν Ὀδυσσεύς,*
*ἐν γὰρ τοῖς Κίρκης ἔκχυτον οὐκ ἔφαγεν,*
*οὗ μόνον εἰ καὶ καπνὸν ἀποθρώσκοντ' ἐνόησεν,*
*εἶπεν ἂν οἰμώζειν καὶ δέκα Πηνελόπαις.*

---

Nr. 392. V. 2. *Ἱεραπόλεως.* Br. Nr. 393. V. 4. *τῆς ἀρετῆς.* P. Nr. 394. V. 2. *καὶ τὸ μὴ ἔχειν σε λύπη.* P. Nr. 395. V. 1. *γλυκίον γ' ἧς.* Plan. *εἶπεν Ὅμηρος.* P. V. 2. *τῆς Κ. ἔγχυτον.* Br. V. 4. *Πηνελόπας.* P.

Digitized by Google

396. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ὄρθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ
ἔμπεσε σὺν κίχλῃ κόσσυφος ἡδυβόας.
καὶ τὰν μὲν πανάφυκτος ἕλε βρόχος· ὠκὺ δ' ἀπέπτα
ἐξ ὀρνιθοπέδας ᾠδὸς ἐρημοφίλας.
ἦ τάχα που τριμάκαιρα φιλαγρέτις ὄρνιν ἀοιδὸν
Ἄρτεμις εὐμόλπῳ λῦσεν ἄνακτι λύρης.

397. ΠΑΛΛΑΔΑ.

Φεῦγε Λάκων ποτὲ δῆριν· ὑπαντιάσασα δὲ μήτηρ
εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη·
ζώων μὲν σέο μητρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
καὶ κρατερῆς Σπάρτης πάτρια θεσμὰ λύεις·
ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μήτηρ μὲν ἀκούσω
δύςμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένη.

398. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Ὁλκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης
ἐν χθονὸς ἀγκοίναις ὤλετο μητριάσιν.
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
δυςμενέων ὑδάτων συμμαχίην ἐκάλει.

---

Nr. 396. V. 4. ἐρημοφίλους. P. V. 6. εὐμόλπω. P. Nr. 398. V. 2. δημιτρίας. P.

Digitized by Google

### 399. ΠΑΛΛΑΔΑ.

Ἠέλιον νίκησε τεὸς νόος ἡδὺ φαείνων,
αἰὲν ἀπαστράπτων βροτοφεγγέα πάνσοφον αἴγλην,
ἡδυφαῆ, χαρίεσσαν,.* ἀπαστράπτουσαν ἀδύτως.

### 400. ΤΟΥ ΑΥΤΟΥ.

Ὅταν βλέπω σε, προσκυνῶ, καὶ τοὺς λόγους,
τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων.
εἰς οὐρανὸν γάρ ἐστι σοῦ τὰ πράγματα,
Ὑπατία σεμνή, τῶν λόγων εὐμορφία,
ἄχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

### 401. ΑΔΗΛΟΝ, οἱ δὲ ΠΑΛΛΑΔΑ.

Ἡ φύσις ἐξεῦρεν, φιλίης θεσμοὺς ἀγαπῶσα,
τῶν ἀποδημούντων ὄργανα συντυχίης,
τὸν κάλαμον, χάρτην, τὸ μέλαν, τὰ χαράγματα χειρός,
σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης.

[P] ### 402. ΑΔΡΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ.

εἰς τὸν τάφον Πομπηΐου ἐν Αἰγύπτῳ.

Τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβου.

---

Nr. 399. V. 3. ἀποστάζουσαν ἀλήκτως. Br. Fort. ἀδούπως.
Nr. 402. τωῖν βοῖ σβρίθοντι. P.

### 403. ΜΑΚΚΙΟΥ.

Αὐτὸς ἄναξ ἔμβαινε θοῷ πηδήματι, ληνοῦ
λακτιστής, ἔργου δ' ἡγέο νυκτερίου,
λεύκωσαι πόδα γαῦρον, ἐπίῤῥωσαι δὲ χορείην
λάτριν, ὑπὲρ κούφων ζωσάμενος γονάτων·
εὔγλωσσον δ' ὀχέτευε κενοὺς μάκαρ ἐς πιθεῶνας
οἶνον, ἐπὶ ψαιστοῖς καὶ λασίῃ χιμάρῳ.

### 404. ΑΝΤΙΦΙΛΟΥ.

Ἆ καλόν, αὐτοπόνητον ἐν αἰθέρι ῥεῦμα μελισσῶν,
κἄπλαστοι χειρῶν αὐτοπαγεῖς θαλάμαι,
προίκιος ἀνθρώπων βιότῳ χάρις, οὐχὶ μακέλλας,
οὐ βοός, οὐ γαμψῶν δευομένα δρεπάνων,
γαυλοῦ δὲ σμικροῖο, τόθι γλυκὺ νᾶμα μέλισσα
πηγάζει, σκήνευς δαψιλὲς ἐξ ὀλίγου.
χαίροιτ' εὐαγέες, καὶ ἐν ἄνθεσι ποιμαίνεσθε,
αἰθερίου πτηναὶ νέκταρος ἐργάτιδες.

### 405. ΔΙΟΔΩΡΟΥ.

Ἀδρήστειά σε δῖα, καὶ ἰχναίη σε φυλάσσοι
παρθένος, ἡ πολλοὺς ψευσαμένη, Νέμεσις.

---

Nr. 403. V. 3. λευκῶσαι et ἐπιῤῥῶσαι. P. V. 4. χλαῖναν ὑπέρ. Br. Nr. 404. V. 2. αἱ πλασταί. P. V. 3. ἀνθρώπωι. P. μακέλλαις. Ib. V. 5. γλαυκοῦ. P. V. 6. σκήνες δαψηλές. P. in marg. γρ. δαψαλές. ἐξολόγου (οι above). Ib. Nr. 405. V. 1. φυλάσσει. P.

δείδια σόν τε φυῆς ἐρατὸν τύπον, ἠδὲ σά, κοῦρε,
　　δήνεα, θεσπεσίης καὶ μένος ἠνορέης,
καὶ σοφίην, καὶ μῆτιν ἐπίφρονα. τοιάδε τέκνα,
　　Δροῦσε, πέλειν μακάρων πευθόμεθ' ἀθανάτων.

## 406. ΑΝΤΙΓΟΝΟΥ ΚΑΡΥΣΤΙΟΥ.

Ἀργυρέη κρήνη με, τὸν οὐκέτι μακρὰ βοῶντα
　　βάτραχον, οἰνηραῖς ἔσχεν ὑπὸ σταγόσι.
κεῖμαι δ' ἐν Νύμφαις, κείναις φίλος, οὐδὲ Λυαίῳ
　　ἐχθρός, ὑπ' ἀμφοτέρων λουόμενος σταγόσιν.
ὀψέ ποτ' εἰς Διόνυσον ἐκώμασα. φεῦ, τίνες ὕδωρ
　　πίνουσιν, μανίην σώφρονα μαινόμενοι;

## 407. ΑΝΤΙΠΑΤΡΟΥ * ΚΑΡΥΣΤΙΟΥ.

Δμωΐον Ἱπποκράτευς ἔθανε βρέφος, ἐς πλατὺ πόντου
　　χεῖλος γειτοσύνης ἑρπύσαν ἐκ καλύβης,
πλεῖον ἐπεὶ μαζῶν ἔπιεν ποτόν. ἔῤῥε θάλασσα,
　　ἣ βρέφος ὡς μήτηρ ψεύσαο δεξαμένη.

## 408. ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ ΑΝΤΙΠΑΤΡΟΥ.

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
　　ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.

---

V. 3. κοῦρα. P. Nr. 406. V. 1. ἐμέ. P. V. 2. In marg. γρ. χεῦεν. P. V. 5. ἐκόμασα. P. Nr. 408. V. 2. ἀλωομένην. P.

[P] οὐκ ἂν χητοσύνην τόσον ἔστενον. οἲ ἐμὲ δειλήν,
ὅσσαις Ἑλλήνων νηυσὶ παραπλέομαι,
Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας. ὀψέ μοι Ἥρη
Λητοῦς, ἀλλ᾽ οἰκτρὴν τήνδ᾽ ἐπέθηκε δίκην.

409. ΑΝΤΙΦΑΝΟΥΣ.

Εἴ τινα μὴ τέρπει λωτοῦ χέλυς, ἢ γλυκὺς ἦχος
ψαλμῶν, ἢ τριγέρων νεκτάρεος Βρόμιος,
ἢ πεῦκαι, κοῦροι, στέφανοι, μύρα, λιτὰ δὲ δειπνῶν
λαθροπόδας τρώκταις χερσὶ τίθησι τόκους,
οὗτος ἐμοὶ τέθνηκε * περίμνηστιν δὲ παρέρπω
νεκρόν, ἐς ἀλλοτρίους φειδόμενον φάρυγας.

410. ΤΥΛΛΙΟΥ ΣΑΒΙΝΟΥ.

Σμίνθος, ὁ παντοίης δαιτὸς λίχνος, οὐδὲ μυάγρης
δειλός, ὁ κὰκ θανάτου κέρδεα ληϊζόμενος,
νευρολάλον Φοίβου χορδὴν θρίσεν· ἡ δ᾽ ἐπὶ πῆχυν
ἑλκομένη θηρὸς λαιμὸν ἀπεβρόχισεν.
τόξων εὐστοχίην θαυμάζομεν· ὃς δὲ κατ᾽ ἐχθρῶν
ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

---

V. 4. ναυσί. P. V. 5. ὀψεποι. P. Nr. 409. V. 1. λωτός. Br. V. 3. ἢ πεύκας. P. V. 3. λειτά. P. V. 4. τρόκτας. P. V. 5. Fort. τέθνηκε πάλαι· νῆστιν δέ. V. 6. φάρυγα. P. Nr. 410. V. 6. ἄστοχον. P.

### 411. ΜΑΚΚΙΟΥ.

Ἤλλακτ' ἐξαπίνης Κορνήλιος, οὐδ' ἐπὶ λιτῷ
τέρπεται ἡμετέρῳ μουσοχαρεῖ βιότῳ·
κούφης δ' αἰωρεῖται ἀπ' ἐλπίδος· οὐκέτι δ' ἡμεῖς
οἱ πάρος· ἀλλ' ἑτέρης ἐλπίδος ἐκκρέμαται.
εἴκωμεν, ψυχή, πεπαλαίσμεθα, μηδὲ βιάζου·
εἰς ἔδαφος τέχνης κείμεθ' ὑπ' ἀργυρέης.

### 412. ΦΙΛΟΔΗΜΟΥ.

Ἤδη καὶ ῥόδον ἐστί, καὶ ἀκμάζων ἐρέβινθος,
καὶ καυλοὶ κράμβης, Σωσύλε, πρωτοτόμου,
καὶ μαίνη * ζαλαγεῦσα, καὶ ἀρτιπαγὴς ἁλίτυρος,
καὶ θριδάκων οὔλων ἀφροφυῆ πέταλα.
ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει
γιγνόμεθ', ὡς αἰεί, Σωσύλε, τὸ πρότερον;
καὶ μὴν Ἀντιγένης καὶ Βάκχιος ἐχθὲς ἔπαιζον·
νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν.

### 413. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἡ τερεβινθώδης, ὀλιγάμπελος, οἷά τε βαιή,
νησίς, ἀλλ' ὁμαλὴ πᾶσα καὶ ἀστύφελος·
[P] αἱ δ' ἀγχοῦ, μεγάλαι τε καὶ εὐρέες, ἀλλ' ἐπὶ πουλὺ
τρηχεῖαι· μεγέθει τοῦτο περισσότεραι.

---

Nr. 411. V. 1. ἔτι λιτῷ. Br. V. 2. μουσοχαρῆ. P. V. 3. Fort. ἐπ' ἐλπίδος cum Schaefero. V. 5. εἴκομεν. P. Nr. 412. V. 2. καυλοῖο. P. V. 3. λαλαγεῦσα. Br. σελαγεῦσα. Jos. Scaliger. Nr. 413. V. 2. νήσοις. P. V. 3. πολύ. P.

Digitized by Google

καρποῖς, οὐ σταδίοισιν ἐρίζομεν· οὐδὲ γὰρ αὖλαξ
Αἰγύπτου Λιβύης ψάμμου ἐπιστρέφεται.

### 414. ΓΕΜΙΝΟΥ.

Ἡ παλίουρος ἐγώ, τρηχὺ ξύλον· * ἴος ἐν ἕρκει·
τίς μ' ἄφορον λέξει, τὴν φορίμων φύλακα;

### 415. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἤμην καὶ προπάροιθε συνέμπορος ἀνέρι κέρδους,
ἡνίκα δημοτέρην Κύπριν ἐναυτολόγει·
κεῖθεν καὶ συνέπηξεν ἐμὴν τρόπιν, ὄφρα με λεύσσῃ
Κύπρις, τὴν ἀπὸ γῆς εἰν ἁλὶ ῥεμβομένην.
ἔστιν ἑταίρειος μὲν ἐμοὶ στόλος, εἰσὶ δὲ λεπτὰ
κάρπασα, καὶ λεπτὸν φῦκος ὑπὲρ σανίδων.
ναυτίλοι, ἀλλ' ἄγε πάντες ἐμῆς ἐπιβαίνετε πρύμνης
θαῤῥαλέως· πολλοὺς οἶδα φέρειν ἐρέτας.

### 416. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἡ ναῦς ἀπ' ἔργων Κύπριδος γομφουμένη,
πρὸς τὸν γενάρχην πόντον ἤλυθον θεοῦ·
ἀνὴρ γάρ ὥρης μ' ἔμπορος τεκτήνατο,
καλέσας ἙΤΑΙΡΗΝ· εἰμὶ γὰρ πᾶσιν φίλη.

---

Nr. 414. V. 1. Fort. εἰμὶ δ' ἐν ἕρ. V. 2. ἀφορῶν. P. Nr. 415. V. 2. ἐναυστολόγει P. V. 3. λεύσσει. P. V. 5. ἑταίρειος ἐμοί (οι supra). P. et in marg. ἑταιρείοιος ἐμοὶ στόλος. Nr. 416. V. 4. εἰμὶ τάν. P.

Digitized by Google

ἔμβαινε θαῤῥῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
ἐλθόντα δέχομαι πάντα· βαστάζω ξένον,
ἀστόν τ'· ἐπὶ γαίης, κὴν βυθῷ μ' ἐρέσσετε.

### 417. ΑΝΤΙΠΑΤΡΟΥ.

Θηρευτὴν Λάμπωνα, Μίδου κύνα, δίψα κατέκτα,
καίπερ ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον.
ποσσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον, ἀλλὰ τὸ νωθὲς
πίδακος ἐκ τυφλῆς οὐκ ἐτάχυνεν ὕδωρ·
πίπτε δ' ἀπαυδήσας· ἡ δ' ἔβλυσεν. ἦ ἄρα, Νύμφαι,
Λάμπωνι κταμένων μῆνιν ἔθεσθ' ἐλάφων.

### 418. ΤΟΥ ΑΥΤΟΥ.

Ἴσχετε χεῖρα μυλαῖον, ἀλετρίδες, εὕδετε μακρά,
κὴν ὄρθρον προλέγῃ γῆρυς ἀλεκτρυόνων·
Δηὼ γὰρ Νύμφαισι χερῶν ἐπετείλατο μόχθους·
αἱ δὲ κατ' ἀκροτάτην ἁλλόμεναι τροχιήν,
ἄξονα δινεύουσιν· ὁ δ' ἀκτίνεσσιν ἑλικταῖς
στρωφᾶται πισύρων κοῖλα βάρη μυλάκων.
γευόμεθ' ἀρχαίου βιότου πάλιν, εἰ δίχα μόχθου
δαίνυσθαι Δηοῦς ἔργα διδασκόμεθα.

---

V. 5. οὐκετῶ. P. οὐκ αἰτῶ. in marg. V. 6. βαστάζων ξέναν. P. V. 7. ὥς ποτ' ἐπί. P. ἐρέσσεται. Ib. Nr. 417. V. 5. πίπτεν. P. αἱ δ' ἔβλυσαν παρὰ ν. Ib. V. 6. κταμένωι. P. Nr. 418. V. 2. προλέγει. P. V. 3. χορῶν. P. V. 4. ἄλ λ όμενον προχιήν. P. in marg. τροχιήν. V. 5. δινεῦσιν. P. V. 6. στρωφᾶ πισ. P.

Digitized by Google

[?] 419. ΚΡΙΝΑΓΟΡΟΥ.

Κἢν μυχὸν Ὀρκυναῖον, ἢ ἐς πύματον Σολόεντα
ἔλθῃ, καὶ Λιβυκῶν κράσπεδον Ἑσπερίδων
Καῖσαρ ὁ πουλυσέβαστος, ἅμα κλέος εἶσιν ἐκείνῳ
πάντη. Πυρήνης ὕδατα μαρτύρια.
οἷσι γὰρ οὐδὲ πέριξ δρυτόμοι ἀπεφαιδρύναντο,
λουτρὰ καὶ ἠπείρων ἔσσεται ἀμφοτέρων.

420. ΑΝΤΙΠΑΤΡΟΥ.

Μὴ κλαίων τὸν Ἔρωτα δόκει, Τηλέμβροτε, πείσειν,
μηδ' ὀλίγῳ παύσειν ὕδατι πῦρ ἀπνεές.
χρύσὸς Ἔρωτος ἀεὶ παιώνιος· ἐσβέσθη δὲ
οὐδὲ τότ' ἐν πολλῷ τικτόμενος πελάγει.

421. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Νῆσοι ἐρημαῖαι, τρύφεα χθονός, ἃς κελαδεινὸς
ζωστὴρ Αἰγαίου κύματος ἐντὸς ἔχει,
Σίφνον ἐμιμήσασθε, καὶ αὐχμηρὴν Φολέγανδρον,
τλήμονες, ἀρχαίην δ' ὠλέσατ' ἀγλαΐην.
ἦ ῥ' ὑμᾶς ἐδίδαξεν ἕνα τρόπον ἡ τότε λευκὴ
Δῆλος, ἐρημαίου δαίμονος ἀρξαμένη.

---

Nr. 419. V. 2. ἔλθῃς. P. Nr. 420. V. 1. τελέμβροτε. P. Nr. 421. V. 5. ἑὸν τρ. ἥ ποτε κλεινή. Br.

Digitized by Google

### 392. ΑΔΗΛΟΝ.

Εἴ τις ἀπάγξασθαι μὲν ὀκνεῖ, θανάτου δ' ἐπιθυμεῖ,
ἐξ Ἱερᾶς πόλεως ψυχρὸν ὕδωρ πιέτω.

### 393. ΠΑΛΛΑΔΑ.

Οὐδεὶς καὶ καθαρὸς καὶ μείλιχος ἤλυθεν ἄρχων.
ἓν γὰρ ἑνὸς δοκέει δόγματος ἀντίπαλον·
τὸ γλυκὺ τοῦ κλέπτοντος, ὑπερφιάλου δὲ τὸ ἁγνόν.
ὄργανα τῆς ἀρχῆς ταῦτα δύ' ἐστὶ πάθη.

### [P] 394. ΤΟΥ ΑΥΤΟΥ.

Χρυσέ, πάτερ κολάκων, ὀδύνης καὶ φροντίδος υἱέ,
καὶ τὸ ἔχειν σε, φόβος· καὶ μὴ ἔχειν σ', ὀδύνη.

### 395. ΤΟΥ ΑΥΤΟΥ.

Ὡς οὐδὲν γλύκιον ἧς πατρίδος εἶπεν Ὀδυσσεύς,
ἐν γὰρ τοῖς Κίρκης ἔκχυτον οὐκ ἔφαγεν,
οὗ μόνον εἰ καὶ καπνὸν ἀποθρώσκοντ' ἐνόησεν,
εἶπεν ἂν οἰμώζειν καὶ δέκα Πηνελόπαις.

---

Nr. 392. V. 2. Ἱεραπόλεως. Br. Nr. 393. V. 4. τῆς ἀρετῆς. P. Nr. 394. V. 2. καὶ τὸ μὴ ἔχειν σε λύπη. P. Nr. 395. V. 1. γλυκίον γ' ἧς. Plan. εἶπεν Ὅμηρός. P. V. 2. τῆς Κ. ἔγχυτον. Br. V. 4. Πηνελόπας. P.

Digitized by Google

### 396. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ὄρθριος εὐπλέκτοιο λίνου νεφοειδέϊ κόλπῳ
    ἔμπεσε σὺν κίχλῃ κόσσυφος ἡδυβόας.
καὶ τὰν μὲν πανάφυκτος ἕλε βρόχος· ὠκὺ δ' ἀπέπτα
    ἐξ ὀρνιθοπέδας ᾠδὸς ἐρημοφίλας.
ἦ τάχα που τριμάκαιρα φιλαγρέτις ὄρνιν ἀοιδὸν
    Ἄρτεμις εὐμόλπῳ λῦσεν ἄνακτι λύρης.

### 397. ΠΑΛΛΑΔΑ.

Φεῦγε Λάκων ποτὲ δῆριν· ὑπαντιάσασα δὲ μήτηρ
    εἶπε, κατὰ στέρνων ἄορ ἀνασχομένη·
ζώων μὲν σέο μητρὶ διαμπερὲς αἶσχος ἀνάπτεις,
    καὶ κρατερῆς Σπάρτης πάτρια θεσμὰ λύεις·
ἢν δὲ θάνῃς παλάμῃσιν ἐμαῖς, μήτηρ μὲν ἀκούσω
    δύςμορος, ἀλλ' ἐν ἐμῇ πατρίδι σωζομένη.

### 398. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Ὁλκὰς ὕδωρ προφυγοῦσα πολυφλοίσβοιο θαλάσσης
    ἐν χθονὸς ἀγκοίναις ὤλετο μητριάσιν.
ἱσταμένην γὰρ πυρσὸς ἐπέφλεγε· καιομένη δὲ
    δυςμενέων ὑδάτων συμμαχίην ἐκάλει.

---

Nr. 396. V. 4. ἐρημοφίλους. P. V. 6. εὐμόλπω. P. Nr. 398. V. 2. δημιτρίας. P.

Digitized by Google

### 399. ΠΑΛΛΑΔΑ.

Ἥλιον νίκησε τεὸς νόος ἡδὺ φαείνων,
αἰὲν ἀπαστράπτων βροτοφεγγέα πάνσοφον αἴγλην,
ἡδυφαῆ, χαρίεσσαν, * ἀπαστράπτουσαν ἀδύτως.

### 400. ΤΟΥ ΑΥΤΟΥ.

Ὅταν βλέπω σε, προσκυνῶ, καὶ τοὺς λόγους,
τῆς παρθένου τὸν οἶκον ἀστρῷον βλέπων.
εἰς οὐρανὸν γάρ ἐστι σοῦ τὰ πράγματα,
Ὑπατία σεμνή, τῶν λόγων εὐμορφία,
ἄχραντον ἄστρον τῆς σοφῆς παιδεύσεως.

### 401. ΑΔΗΛΟΝ, οἱ δὲ ΠΑΛΛΑΔΑ.

Ἡ φύσις ἐξεῦρεν, φιλίης θεσμοὺς ἀγαπῶσα,
τῶν ἀποδημούντων ὄργανα συντυχίης,
τὸν κάλαμον, χάρτην, τὸ μέλαν, τὰ χαράγματα χειρός,
σύμβολα τῆς ψυχῆς τηλόθεν ἀχνυμένης.

### [P] 402. ΑΔΡΙΑΝΟΥ ΚΑΙΣΑΡΟΣ.

εἰς τὸν τάφον Πομπηΐου ἐν Αἰγύπτῳ.

Τῷ ναοῖς βρίθοντι πόση σπάνις ἔπλετο τύμβου.

---

Nr. 399. V. 3. ἀποστάζουσαν ἀλήκτως. Br. Fort. ἀδούπως.
Nr. 402. τῶϊν βοῒ σβρίθοντι. P.

Digitized by Google

### 403. *ΜΑΚΚΙΟΥ.*

*Αὐτὸς ἄναξ ἔμβαινε θοῷ πηδήματι, ληνοῦ*
*λακτιστής, ἔργου δ' ἡγέο νυκτερίου,*
*λεύκωσαι πόδα γαῦρον, ἐπίῤῥωσαι δὲ χορείην*
*λάτριν, ὑπὲρ κούφων ζωσάμενος γονάτων·*
*εὔγλωσσον δ' ὀχέτευε κενοὺς μάκαρ ἐς πιθεῶνας*
*οἶνον, ἐπὶ ψαιστοῖς καὶ λασίῃ χιμάρῳ.*

### 404. *ΑΝΤΙΦΙΛΟΥ.*

*Ἁ καλόν, αὐτοπόνητον ἐν αἰθέρι ῥεῦμα μελισσῶν,*
*κἄπλαστοι χειρῶν αὐτοπαγεῖς θαλάμαι,*
*προίκιος ἀνθρώπων βιότῳ χάρις, οὐχὶ μακέλλας,*
*οὐ βοός, οὐ γαμψῶν δευομένα δρεπάνων,*
*γαυλοῦ δὲ σμικροῖο, τόθι γλυκὺ νᾶμα μέλισσα*
*πηγάζει, σκήνευς δαψιλὲς ἐξ ὀλίγου.*
*χαίροιτ' εὐαγέες, καὶ ἐν ἄνθεσι ποιμαίνεσθε,*
*αἰθερίου πτηναὶ νέκταρος ἐργάτιδες.*

### 405. *ΔΙΟΔΩΡΟΥ.*

*Ἀδρήστειά σε δῖα, καὶ Ἰχναίη σε φυλάσσοι*
*παρθένος, ἡ πολλοὺς ψευσαμένη, Νέμεσις.*

---

Nr. 403. V. 3. *λευκῶσαι* et *ἐπιῤῥῶσαι*. P. V. 4. *χλαῖναν ὑπέρ*. Br. Nr. 404. V. 2. *αἱ πλασταί*. P. V. 3. *ἀνθρώπωι*. P. *μακέλλαις*. Ib. V. 5. *γλαυκοῦ*. P. V. 6. *σκήνες δαψηλές*. P. in marg. *γρ. δαψαλές*.
*οι*
*ἐξολόγου*. Ib. Nr. 405. V. 1. *φυλάσσει*. P.

δείδια σόν τε φυῆς ἐρατὸν τύπον, ἠδὲ σά, κοῦρε,
δήνεα, θεσπεσίης καὶ μένος ἠνορέης,
καὶ σοφίην, καὶ μῆτιν ἐπίφρονα. τοιάδε τέκνα,
Δροῦσε, πέλειν μακάρων πευθόμεθ' ἀθανάτων.

406. ΑΝΤΙΓΟΝΟΥ ΚΑΡΥΣΤΙΟΥ.

Ἀργυρέῃ κρήνῃ με, τὸν οὐκέτι μακρὰ βοῶντα
βάτραχον, οἰνηραῖς ἔσχεν ὑπὸ σταγόσι.
κεῖμαι δ' ἐν Νύμφαις, κείναις φίλος, οὐδὲ Λυαίῳ
ἐχθρός, ὑπ' ἀμφοτέρων λουόμενος σταγόσιν.
ὀψέ ποτ' εἰς Διόνυσον ἐκώμασα. φεῦ, τίνες ὕδωρ
πίνουσιν, μανίην σώφρονα μαινόμενοι;

407. ΑΝΤΙΠΑΤΡΟΥ * ΚΑΡΥΣΤΙΟΥ.

Δμωΐον Ἱπποκράτευς ἔθανε βρέφος, ἐς πλατὺ πόντου
χεῖλος γειτοσύνης ἑρπύσαν ἐκ καλύβης,
πλεῖον ἐπεὶ μαζῶν ἔπιεν ποτόν. ἔῤῥε θάλασσα,
ἣ βρέφος ὡς μήτηρ ψεύσαο δεξαμένη.

408. ΑΠΟΛΛΩΝΙΔΟΥ, οἱ δὲ ΑΝΤΙΠΑΤΡΟΥ.

Εἴθε με παντοίοισιν ἔτι πλάζεσθαι ἀήταις,
ἢ Λητοῖ στῆναι μαῖαν ἀλωομένῃ.

---

V. 3. κοῦρα. P. Nr. 406. V. 1. ἐμέ. P. V. 2. In marg. γρ. χεῦεν. P. V. 5. ἐκόμασα. P. Nr. 408. V. 2. ἀλωομένην. P.

[P] οὐκ ἂν χητοσύνην τόσον ἔστενον. οἱ ἐμὲ δειλήν,
ὅσσαις Ἑλλήνων νηυσὶ παραπλέομαι,
Δῆλος ἐρημαίη, τὸ πάλαι σέβας. ὀψέ μοι Ἥρη
Λητοῦς, ἀλλ' οἰκτρὴν τήνδ' ἐπέθηκε δίκην.

### 409. ΑΝΤΙΦΑΝΟΥΣ.

Εἴ τινα μὴ τέρπει λωτοῦ χέλυς, ἢ γλυκὺς ἦχος
ψαλμῶν, ἢ τριγέρων νεκτάρεος Βρόμιος,
ἢ πεῦκαι, κοῦροι, στέφανοι, μύρα, λιτὰ δὲ δειπνῶν
λαθροπόδας τρώκταις χερσὶ τίθησι τόκους,
οὗτος ἐμοὶ τέθνηκε * περίμνηστιν δὲ παρέρπω
νεκρόν, ἐς ἀλλοτρίους φειδόμενον φάρυγας.

### 410. ΤΥΛΛΙΟΥ ΣΑΒΙΝΟΥ.

Σμίνθος, ὁ παντοίης δαιτὸς λίχνος, οὐδὲ μυάγρης
δειλός, ὁ κὰκ θανάτου κέρδεα ληζόμενος,
νευρολάλον Φοίβου χορδὴν θρίσεν· ἡ δ' ἐπὶ πῆχυν
ἑλκομένη θηρὸς λαιμὸν ἀπεβρόχισεν.
τόξων εὐστοχίην θαυμάζομεν· ὃς δὲ κατ' ἐχθρῶν
ἤδη καὶ κιθάρην εὔστοχον ὅπλον ἔχει.

---

V. 4. ναυσί. P. V. 5. ὀψεποι. P. Nr. 409. V. 1. λωτός. Br. V. 3. ἢ πεύκας. P. V. 3. λειτά. P. V. 4. τρόκτας. P. V. 5. Fort. τέθνηκε πάλαι· νῆστιν δέ. V. 6. φάρυγα. P. Nr. 410. V. 6. ἄστοχον. P.

411. ΜΑΚΚΙΟΥ.

Ἤλλακτ' ἐξαπίνης Κορνήλιος, οὐδ' ἐπὶ λιτῷ
τέρπεται ἡμετέρῳ μουσοχαρεῖ βιότῳ·
κούφης δ' αἰωρεῖται ἀπ' ἐλπίδος· οὐκέτι δ' ἡμεῖς
οἱ πάρος· ἀλλ' ἑτέρης ἐλπίδος ἐκκρέμαται.
εἴκωμεν, ψυχή, πεπαλαίσμεθα, μηδὲ βιάζου·
εἰς ἔδαφος τέχνης κείμεθ' ὑπ' ἀργυρέης.

412. ΦΙΛΟΔΗΜΟΥ.

Ἤδη καὶ ῥόδον ἐστί, καὶ ἀκμάζων ἐρέβινθος,
καὶ καυλοὶ κράμβης, Σωσύλε, πρωτοτόμου,
καὶ μαίνη * ζαλαγεῦσα, καὶ ἀρτιπαγὴς ἁλίτυρος,
καὶ θριδάκων οὔλων ἀφροφυῆ πέταλα.
ἡμεῖς δ' οὔτ' ἀκτῆς ἐπιβαίνομεν, οὔτ' ἐν ἀπόψει
γιγνόμεθ', ὡς αἰεί, Σωσύλε, τὸ πρότερον;
καὶ μὴν Ἀντιγένης καὶ Βάκχιος ἐχθὲς ἔπαιζον·
νῦν δ' αὐτοὺς θάψαι σήμερον ἐκφέρομεν.

413. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἡ τερεβινθώδης, ὀλιγάμπελος, οἷά τε βαιή,
νησίς, ἀλλ' ὁμαλὴ πᾶσα καὶ ἀστύφελος·
[P] αἱ δ' ἀγχοῦ, μεγάλαι τε καὶ εὐρέες, ἀλλ' ἐπὶ πουλὺ
τρηχεῖαι· μεγέθει τοῦτο περισσότεραι.

---

Nr. 411. V. 1. ἔτι λιτῷ. Br. V. 2. μουσοχαρῆ. P. V. 3. Fort. ἐπ' ἐλπίδος cum Schaefero. V. 5. εἴκομεν. P. Nr. 412. V. 2. καυλοῖο. P. V. 3. λαλαγεῦσα. Br. σελαγεῦσα. Jos. Scaliger. Nr. 413. V. 2. νήσοις. P. V. 3. πολύ. P.

Digitized by Google

*καρποῖς, οὐ σταδίοισιν ἐρίζομεν· οὐδὲ γὰρ αὖλαξ*
*Αἰγύπτου Λιβύης ψάμμον ἐπιστρέφεται.*

### 414. ΓΕΜΙΝΟΥ.

*Ἡ παλίουρος ἐγώ, τρηχὺ ξύλον· * ἴος ἐν ἕρκει·*
*τίς μ' ἄφορον λέξει, τὴν φορίμων φύλακα;*

### 415. ΑΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

*Ἤμην καὶ προπάροιθε συνέμπορος ἀνέρι κέρδους,*
*ἡνίκα δημοτέρην Κύπριν ἐναυτολόγει·*
*κεῖθεν καὶ συνέπηξεν ἐμὴν τρόπιν, ὄφρα με λεύσσῃ*
*Κύπρις, τὴν ἀπὸ γῆς εἰν ἁλὶ ῥεμβομένην.*
*ἔστιν ἑταίρειος μὲν ἐμοὶ στόλος, εἰσὶ δὲ λεπτὰ*
*κάρπασα, καὶ λεπτὸν φῦκος ὑπὲρ σανίδων.*
*ναυτίλοι, ἀλλ' ἄγε πάντες ἐμῆς ἐπιβαίνετε πρύμνης*
*θαῤῥαλέως· πολλοὺς οἶδα φέρειν ἐρέτας.*

### 416. ΦΙΛΙΠΠΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

*Ἡ ναῦς ἀπ' ἔργων Κύπριδος γομφουμένη,*
*πρὸς τὸν γενάρχην πόντον ἤλυθον θεοῦ·*
*ἀνὴρ γάρ ὥρης μ' ἔμπορος τεκτήνατο,*
*καλέσας ἙΤΑΙΡΗΝ· εἰμὶ γὰρ πᾶσιν φίλη.*

---

Nr. 414. V. 1. Fort. *εἰμὶ δ' ἐν ἕρ.* V. 2. *ἀφορῶν.* P. Nr. 415. V. 2. *ἐναυστολόγει.* P. V. 3. *λεύσσει.* P. V. 5. *ἑταιρειος* (οι) *ἐμοί.* P. et in marg. *ἑταιρείοιος ἐμοὶ στόλος.* Nr. 416. V. 4. *εἰμὶ τάν.* P.

Digitized by Google

ἔμβαινε θαῤῥῶν· μισθὸν οὐκ αἰτῶ βαρύν.
ἐλθόντα δέχομαι πάντα· βαστάζω ξένον,
ἀστόν τ᾽· ἐπὶ γαίης, κὴν βυθῷ μ᾽ ἐρέσσετε.

### 417. ΑΝΤΙΠΑΤΡΟΥ.

Θηρευτὴν Λάμπωνα, Μίδου κύνα, δίψα κατέκτα,
  καίπερ ὑπὲρ ψυχῆς πολλὰ πονησάμενον.
ποσσὶ γὰρ ὤρυσσεν νοτερὸν πέδον, ἀλλὰ τὸ νωθὲς
  πίδακος ἐκ τυφλῆς οὐκ ἐτάχυνεν ὕδωρ·
πίπτε δ᾽ ἀπαυδήσας· ἡ δ᾽ ἔβλυσεν. ἦ ἄρα, Νύμφαι,
  Λάμπωνι κταμένων μῆνιν ἔθεσθ᾽ ἐλάφων.

### 418. ΤΟΥ ΑΥΤΟΥ.

Ἴσχετε χεῖρα μυλαῖον, ἀλετρίδες, εὕδετε μακρά,
  κὴν ὄρθρον προλέγῃ γῆρυς ἀλεκτρυόνων·
Δηὼ γὰρ Νύμφαισι χερῶν ἐπετείλατο μόχθους·
  αἱ δὲ κατ᾽ ἀκροτάτην ἀλλόμεναι τροχιήν,
ἄξονα δινεύουσιν· ὁ δ᾽ ἀκτίνεσσιν ἑλικταῖς
  στρωφᾶται πισύρων κοῖλα βάρη μυλάκων.
γευόμεθ᾽ ἀρχαίου βιότου πάλιν, εἰ δίχα μόχθου
  δαίνυσθαι Δηοῦς ἔργα διδασκόμεθα.

---

V. 5. οὐκετῶ. P. οὐκ αἰτῶ. in marg. V. 6. βαστάζων ξέναν. P. V. 7. ὥς ποτ᾽ ἐπί. P. ἐρέσσεται. Ib. Nr. 417. V. 5. πίπτεν. P. αἱ δ᾽ ἔβλυσαν παρὰ ν. Ib. V. 6. κταμένωι. P. Nr. 418. V. 2. προλέγει. P. V. 3. χορῶν. P. V. 4. ἀλ (λ) όμενον προχιήν. P. in marg. τροχιήν. V. 5. δινεῦσιν. P. V. 6. στρωφᾶ πισ. P.

Digitized by Google

[P] 419. ΚΡΙΝΑΓΟΡΟΥ.

Κὴν μυχὸν Ὀρκυναῖον, ἢ ἐς πύματον Σολόεντα
    ἔλθῃ, καὶ Λιβυκῶν κράσπεδον Ἑσπερίδων
Καῖσαρ ὁ πουλυσέβαστος, ἅμα κλέος εἶσιν ἐκείνῳ
    πάντη. Πυρήνης ὕδατα μαρτύρια.
οἷσι γὰρ οὐδὲ πέριξ δρυτόμοι ἀπεφαιδρύναντο,
    λουτρὰ καὶ ἠπείρων ἔσσεται ἀμφοτέρων.

420. ΑΝΤΙΠΑΤΡΟΥ.

Μὴ κλαίων τὸν Ἔρωτα δόκει, Τηλέμβροτε, πείσειν,
    μηδ' ὀλίγῳ παύσειν ὕδατι πῦρ ἀπνεές.
χρυσὸς Ἔρωτος ἀεὶ παιώνιος· ἐσβέσθη δὲ
    οὐδὲ τότ' ἐν πολλῷ τικτόμενος πελάγει.

421. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Νῆσοι ἐρημαῖαι, τρύφεα χθονός, ἃς κελαδεινὸς
    ζωστὴρ Αἰγαίου κύματος ἐντὸς ἔχει,
Σίφνον ἐμιμήσασθε, καὶ αὐχμηρὴν Φολέγανδρον,
    τλήμονες, ἀρχαίην δ' ὠλέσατ' ἀγλαΐην.
ἦ ῥ' ὑμᾶς ἐδίδαξεν ἕνα τρόπον ἡ τότε λευκὴ
    Δῆλος, ἐρημαίου δαίμονος ἀρξαμένη.

---

Nr. 419. V. 2. ἔλθῃς. P. Nr. 420. V. 1. τελέμβροτε. P. Nr. 421. V. 5. ἑὸν τρ. ἥ ποτε κλεινή. Br.

Digitized by Google

## 422. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Πρὸς παίδων, εἶπεν, γουνάζομαι, ἤν με θανοῦσαν
στείλῃς, μὴ σπεῖσαι δεύτερα φίλτρα γάμου.
εἶπεν· ὁ δ' εἰς ἑτέρην ἐσπούδασεν. ἀλλὰ Φίλιννα
Διογένην λήθης τίσατο καὶ φθιμένη.
νυκτὶ γὰρ ἐν πρώτῃ θάλαμον σχάσε μῆνις ἄφυκτος,
ὡς μὴ λέκτρον ἰδεῖν δεύτερον ἠέλιον.

## 423. ΒΙΑΝΟΡΟΣ.

Σάρδιες αἱ τὸ πάλαι Γύγου πόλις, αἵ τ' Ἀλυάττου
Σάρδιες, αἳ βασιλεῖ Περσὶς ἐν Ἀσιάδι,
αἳ χρυσῷ τὸ παλαιὸν ἐπλινθώσασθε μέλαθρον,
ὄλβον Πακτωλοῦ ῥεύματι δεξάμεναι·
νῦν δὲ ὅλαι δύστηνοι ἐς ἓν κακὸν ἁρπασθεῖσαι,
ἐς βυθὸν ἐξ ἀχανοῦς χάσματος ἠρίπετε.
Βοῦρα * καὶ εἰς Ἑλίκην κεκλασμένα· αἱ δ' ἐνὶ χέρσῳ
Σάρδιες ἐμβυθίαις εἰς ἓν ἔκεισθε τέλος.

## 424. ΔΟΥΡΙΔΟΣ ΕΛΑΪΤΟΥ.

Ἠέριαι νεφέλαι, πόθεν ὕδατα πικρὰ πιοῦσαι
νυκτὶ σὺν ἀστεμφεῖ πάντα κατεκλύσατε,

---

Nr. 422. V. 3. ἑταίρην. P. Nr. 423. V. 2. ἀσίδι. P. V. 3. χρυσῶ (superscript: οι). P. V. 5. Fort. δ' ὅλαι, ὦ δύστηνοι. sive: δ' ἄρ' ὅλαι δ. V. 6. ἐξ ἀφανοῦς. P. V. 7. Fort. κάθηρ' Ἑλίκη τε κεκλισμένα. V. 8. ἐν βυθίαις. P.

οὐ Λιβύης, Ἐφέσου δὲ τὰ μυρία κεῖνα ταλαίνης
αὔλια, καὶ μακάρων ἐξ ἐτέων κτέανα;
[P] ποῦ δὲ σαωτῆρες τότε δαίμονες ἔτραπον ὄμμα;
αἴ, αἴ, τὴν Ἰάδων πολλὸν ἀοιδοτάτην.
κεῖνα δὲ κύμασι πάντα κυλινδομένοισιν ὁμοῖα
εἰς ἅλα σὺν ποταμοῖς ἔδραμε πεπταμένοις.

425. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

Ἅδ' ἐγὼ ἁ τλάμων ἄπολις πόλις, ἄμμιγα νεκροῖς
ἐνναέταις κεῖμαι ἁ παναποτμοτάτα.
Ἥφαιστός μ' ἐδάμασσε μετὰ κλόνον Ἐννοσιγαίου.
φεῦ, ἀπὸ τοσσατίου κάλλεος εἰμὶ κόνις.
ἀλλὰ παραστείχοντες ἐμὰν στοναχήσατε μοῖραν·
σπείσατε Βηρύτῳ δάκρυα καὶ φθιμένᾳ.

426. ΤΟΥ ΑΥΤΟΥ.

Ποῦ τελέθει Κύπρις πολιήοχος, ὄφρα νοήσῃ
ἔνδιον εἰδώλων τὴν πρὶν ἕδος Χαρίτων;
τύμβος ἀταρχύτων μερόπων πόλις, ἧς ὑπὸ τέφρῃν
αἱ Βερόης πολλαὶ κείμεθα χιλιάδες.
γράψαθ' ἑνὸς καθύπερθε λίθου, φίλα λείψανα φωτῶν·
Βηρυτὸς γοερὴ κεῖται ὑπὲρ δαπέδων.

---

Nr. 424. V. 5. ποῦ $\overset{\text{δὲ}}{\text{}}$ σαωτῆρες. P. ἔτρεπον. Ib. V. 8. πεπταμένα. Br. Nr. 426. V. 5. γράψασθ'. P.

427. ΑΛΛΟ.

Ναυτίλε, μὴ στήσῃς δρόμον ὁλκάδος εἵνεκ' ἐμεῖο,
    λαίφεα μὴ λύσῃς· χέρσον ὁρᾷς λιμένα.
τύμβος ὅλη γενόμην· ἕτερον δ' ἐς ἀπενθέα χῶρον
    δουπήσεις κώπῃ νηὸς ἐπερχομένης.
τοῦτο Ποσειδάωνι φίλον, ξενίοις τε θεοῖσιν.
    χαίρεθ' ἁλιπλανέες, χαίρεθ' ὁδοιπλανέες.

428. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Σοί με, Θρηϊκίης σκυληφόρε, Θεσσαλονίκη,
    μήτηρ ἡ πάσης πέμψε Μακηδονίης·
ἀείδω δ' ὑπὸ σοὶ δεδμημένον Ἄρεα Βεσσῶν,
    ὅσσ' ἐδάην πολέμου πάντ' ἀναλεξάμενος.
ἀλλά μοι ὡς θεὸς ἔσσο κατήκοος, εὐχομένου δὲ
    κλῦθι. τίς ἐς Μούσας οὔατος ἀσχολίη;

429. ΚΡΙΝΑΓΟΡΟΥ.

Τὸν σκοπὸν Εὐβοίης ἁλικύμονος ᾖσεν Ἀριστώ,
    Ναύπλιον· ἐκ μολπῆς δ' ὁ θρασὺς ἐφλεγόμην.
ὁ ψεύστης δ' ὑπὸ νύκτα Καφηρείης ἀπὸ πέτρης
    πυρσὸς ἐμὴν μετέβη δύςμορος ἐς κραδίην.

---

Nr. 427. V. 4. κώπην. P. δουπήσει κώπη. Plan. Nr. 429. V. 3. ὕπερ νύκτα ταφηρείης. P. V. 4. Fort. δυςμόρου.

[P] 430. ΤΟΥ ΑΥΤΟΥ.

εἰς πρόβατον τριτόκον.

Τῆς ὄϊος γενεὴ μὲν Ἀγαῤῥικὴ, * ἐντὸς Ἀράξεω
    ὕδωρ πιλοφόροις πίνεται Ἀρμενίοις.
χαῖται δ' οὐ μήλοις * ἅτε που μαλακοῖς ἐπὶ μαλλοῖς,
    ψεδναὶ δ' ἀγροτέρων τρηχύτεραι χιμάρων.
νηδὺς δὲ τριτοκεῖ ἀνὰ πᾶν ἔτος, ἐκ δὲ γάλακτος
    θηλὴ ἀεὶ μαστοῦ πλήθεται οὐθατίου·
βληχὴ δ' ἀσσοτάτω τερένης μυκήματι μόσχου.
    ἄλλα γὰρ ἀλλοῖαι πάντα φέρουσι γέαι.

431. ΑΔΗΛΟΝ.

εἰς κλέπτην εὑρόντα σπάθην χρυσῆν.

Καὶ χρυσὸν φιλέω καὶ δήϊον ἄρεα φεύγω.

432. ΘΕΟΚΡΙΤΟΥ.

Ὦ δείλαιε τὺ Θύρσι, τί τοι πλέον, εἰ καταταξεῖς
    δάκρυσι διγλήνως ὦπας ὀδυρόμενος;
οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς Ἅιδαν·
    τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος.
αἱ δὲ κύνες κλαγγεῦντι· τί τοι πλέον, ἁνίκα τήνας
    ὀστέον, οὐδὲ τέφρα λείπετ' ἀποιχομένας;

---

Nr. 430. V. 1. ἀράξεο. P. ἔνθα γ' Ἀρ. Br. Fort. οὗ τό γ' Ἀρ. V. 3. χεῖται. P. μήλων. Br. ποῦ. P. F. μήλοιο γένους. Nr. 431. ἀνέρα. P. Nr. 432. V. 2. ὀδυρώμενος. P. V. 5. καλεῦντι. P. V. 6. ὀστίον. P.

[P] 433. ΤΟΥ ΑΥΤΟΥ.

Λῇς ποτὶ τᾶν Μοισᾶν διδύμοις αὐλοῖσιν ἀεῖσαι
ἁδύ τί μοι; κἠγὼ πακτίδ' ἀειράμενος
ἀρξεῦμαί τι κρέκειν· ὁ δὲ βωκόλος ἐγγύθεν ᾀσεῖ
Δάφνις, καροδέτῳ πνεύματι μελπόμενος.
ἐγγὺς δὲ στάντες λασιαύχενος ἐγγύθεν ἄντρου
Πᾶνα τὸν αἰγιβάταν ὀρφανίσωμες ὕπνου.

434. ΤΟΥ ΑΥΤΟΥ.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,
εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρακοσίων,
υἱὸς Πραξαγόραο, περικλειτῆς τε Φιλίννης·
Μοῦσαν δ' ὀθνείαν οὔ τιν' ἐφελκυσάμαν.

435. ΤΟΥ ΑΥΤΟΥ.

Ἀστοῖς καὶ ξείνοισιν ἴσον νέμει ἅδε τράπεζα·
θεὶς ἀνελεῦ, ψήφου πρὸς λόγον ἐρχομένης.
ἄλλος τις πρόφασιν λεγέτω· τὰ δ' ὀθνεῖα Καΐκος
χρήματα καὶ νυκτὸς βουλομένοις ἀριθμεῖ.

---

Nr. 433. V. 2. ἀειρόμενος. P. V. 3. ταξεῦμαι. P. V. 5. λασιαύ-
ο
χενες. P. Fort. ἔμπροθεν ἄντρου. V. 6. ὀρφανίσομες. P. Nr. 434. V. 1. τόδ'. P. V. 3. Fort. Φιλίννας. Nr. 435. V. 2. ἀρχομένης. P.

Digitized by Google

## 436. ΑΛΛΟ.

Ἀρχαῖα τῶ Ἀπόλλωνος τἀναθήματα ταῦτα
ὑπῆρχεν· ἡ βάσις δὲ τοῖς μὲν εἴκοσι,
τοῖς δ' ἑπτά, τοῖς δὲ πέντε, τοῖς δὲ δώδεκα,
τοῖς δὲ διηκοσίοισι νεωτέρη ἥδ' ἐνιαυτοῖς·
τοσσόςδε γάρ νιν ἐξέβη μετρούμενος.

## 437. ΤΟΥ ΑΥΤΟΥ.

Τήναν τὰν λαύραν, τόθι ταὶ δρύες, αἰπόλε, κάμψας,
σύκινον εὑρησεῖς ἀρτιγλυφὲς ξόανον,
τρισκελές, αὐτόφλοιον, ἀνούατον· ἀλλὰ φάλητι
παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν.
ἕρκος δὲ σκιερὸν περιδέδρομεν· ἀέναον δὲ
ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
δάφναις καὶ μύρτοισι καὶ εὐώδει κυπαρίσσῳ,
ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
ἄμπελος. εἰαρινοὶ δὲ λιγγυφθόγγοισιν ἀοιδαῖς
κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη·
ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀντιαχεῦσαι
μέλπουσι στόμασιν τὰν μελίγηρυν ὄπα.
ἕζεο δὴ τηνεί, καὶ τῷ χαρίεντι Πριάπῳ
εὔχου ἀποστρέψαι τοὺς Δάφνιδός με πόθους,

Nr. 436. V. 1. τῶιπολλανος. P. Nr. 437. V. 3. ἕρκος δ' εὐθ' ἱερόν. V. 7—12. separatim leguntur P. 432. V. 11. ξουθαὶ δ' ἀηδονίδες. P. ἀντιαχεῦσι. Ib. V. 12. In marg. μέλποιτε. fortasse pro μέλποντι. V. 13—17. tanquam peculiare epigr. leguntur in P.

*κεὐθὺς ἀποῤῥέξαι χίμαρον καλόν. ἢν δ' ἀνανεύσῃ,*
*τοῦδε τυχὼν ἐθέλω τρισσὰ θύη τελέσαι.*
*ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα τὸν ἴσχῳ*
*σακίταν· νεύοι δ' εὐμενέως ὁ θεός.*

[P] 438. *ΦΙΛΙΠΠΟΥ.*

*Βωλοτόμοι μύρμηκες, ὁ γῆς στρατός, ἡνίκα * τηνδε*
*γειομόρου μελιχρὴν σμηνοδόκου χάριτα,*
*μηνίσας ὁ πρέσβυς, ἐς ὕδατα κρωσσὸν ἔβαψεν,*
*ἐνθάδε τοὺς ἀπὸ γῆς οὐ δοκέων πελάσειν.*
*οἱ δὲ νέας, [κάρφας] ἀχυρίτιδας, ἀντιφέροντες,*
*αὐτοκυβερνῆται πρὸς κύτος ἐτρόχασαν.*
*ἦ ῥα φίλη γαστὴρ καὶ βαιοτάτους ἀνέπεισεν*
*ἐκ χθονὸς εἰς Νύμφας καινοτάτους ἐρέτας.*

439. *ΚΡΙΝΑΓΟΡΟΥ.*

*Βρέγμα πάλαι λαχναῖον, ἐρημαῖόν τε κέλυφος*
*ὄμματος, ἀγλώσσου θ' ἁρμονίῃ στόματος,*
*ψυχῆς ἀσθενὲς ἕρκος, ἀτυμβεύτου θανάτοιο*
*λείψανον, εἰνόδιον δάκρυ παρερχομένων,*

---

V. 15. ἐπιῤῥέξεῖν. Br. καλαν. P. ἀνανεύσαι. Ib. Fort. ἐπινεύσῃ. V. 17. τάρνα. P. Nr. 438. V. 1. ἡνίκ' ἐσύλων. Plan. Fort. τένδε, sive τένδον. V. 3. κροσσόν. P. V. 5. νέας ἀχυρτίδας. P. νέας κούφας ἀχ. Plan. νεῶν. Br. Nr. 439. V. 2. ἁρμονίην. P.

Digitized by Google

κεῖσο πέλας πρέμνοιο παρ' ἀτραπόν, ὄφρα [μάθῃ τις]
ἀθρήσας, τί πλέον φειδομένῳ βιότου.

## 404. ΜΟΣΧΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ.

Ἁ Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
μισθός τοι τὸ φίλαμα τὸ Κύπριδος· ἢν δ' ἀγάγῃς νιν,
οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ', ὦ ξένε, καὶ πλέον ἑξεῖς.
ἔστι δ' ὁ παῖς περίσαμος, ἐν εἴκοσι πᾶσι μάθοις νιν.
χρῶτα μὲν οὐ λευκός, πυρὶ δ' εἴκελος· ὄμματα δ' αὐτοῦ
δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά·
ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτάς,
οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει.
εὐπλόκαμον τὸ κάρανον· ἔχει δ' ἰταμὸν τὸ πρόσωπον.
μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει·
βάλλει δ' εἰς Ἀχέροντα καὶ Ἀΐδεω βασιλῆα.

---

V. 5. πέλας κατὰ πρέμν. P. Nr. 440. V. 3. ἐστι. P. V. 4. μισθόν. P. V. 5. τοι δ'. P. V. 13. μήκυλλα. P. V. 14. ἀΐδαο. P. καὶ εἰς ἀΐδεω. Vulgo.

γυμνὸς μὲν τόγε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται·
καὶ πτερόεις ὅσον ὄρνις ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλως,
ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται·
τόξον ἔχει μάλα βαιόν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
τυτθὸν ἐοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται.
καὶ χρυσέον περὶ νῶτα φαρέτριον· ἔνδοθι δ' ἐντὶ
τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἀμὲ τιτρώσκει.
[P] πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δὲ οἱ αὐτῷ
βαιὰ λαμπὰς ἐοῖσα· τὸν ἅλιον αὐτὸν ἐναίθει.
ἢν τύ γ' ἕλῃς τῆνον, δάσας ἄγε, μηδ' ἐλεήσῃς·
κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο, μή σε πλανήσῃ.
κἢν γελάῃ, τύ νιν ἕλκε· καὶ ἢν ἐθέλῃ σε φιλᾶσαι,
φεῦγε· κακὸν τὸ φίλαμα· τὰ χείλεα φαρμακόεντα.
ἢν δὲ λέγῃ, λάβε ταῦτα, χαρίζομαι ὅσσα μοι ὅπλα,
μὴ τὺ θίγῃς, πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

## 441. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Τὸν Διὸς ἐν τριόδοισιν ἐθαύμασα χάλκεον υἷα,
τὸν πρὶν ἐν εὐχωλαῖς, νῦν παραριπτόμενον.
ὀχθήσας δ' ἄρ' ἔειπον· Ἀλεξίκακε τρισέληνε,
μηδέποθ' ἡττηθείς, σήμερον ἐξετάθης.

---

V. 16. ἄλλωι. P. V. 19. ἐεί. P. V. 23. ἐνοῖσα. P. V. 26. γελάα. P. V. 27. φαρμακο ν ἐντί εντα. P. V. 29. πλαναῖ. P. Nr. 441. V. 4. μηδέποτ'. P.

*νυκτὶ δὲ μειδιόων με θεὸς προςέειπε παραστάς·*
*καιρῷ δουλεύειν καὶ θεὸς ὢν ἔμαθον.*

### 442. ΑΓΑΘΙΟΥ ΣΧΟΛ. ΜΥΡΙΝΑΙΟΥ.

*Γριπεύς τις μογέεσκεν ἐπ᾽ ἰχθύσι· τὸν δ᾽ ἐςιδοῦσα*
*εὐκτέανος κούρη θυμὸν ἔκαμνε πόθῳ,*
*καί μιν θῆκε σύνευνον. ὁ δ᾽ ἐκ βιότοιο πενιχροῦ*
*δέξατο παντοίης ὄγκον ἀγηνορίης.*
*ἡ δὲ Τύχη γελόωσα παρίστατο, καὶ ποτὶ Κύπριν,*
*οὐ τεὸς οὗτος ἀγών, ἀλλ᾽ ἐμός ἐστιν, ἔφη.*

### 443. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

*Μή ποτε κοιλήνῃς Παφίῃ νόον· ἀντιτύπου γὰρ*
*εὐθὺς ἀποθρώσκει κοῦφος Ἔρως κραδίης.*
*οἶστρος ὀλισθήεσσαν ἔχει φύσιν. ἤν τις ὀϊστοῦ*
*ἄκρον ἕλῃ φλογεροῦ, δύεται ἐντὸς ὅλος.*
*ἐλπίδι μὴ θέλξῃς φρένα μαχλάδι· γυιοβόρον γὰρ*
*πῦρ ὑποριπίζει, θυμὸν ἐφελκομένη.*

### 444. ΕΡΑΤΟΣΘΕΝΟΥΣ ΣΧΟΛΑΣΤΙΚΟΥ.

*Καλὰ τὰ παρθενίης κειμήλια· παρθενίη δὲ*
*τὸν βίον ὤλεσσ᾽ ἂν πᾶσι φυλασσομένη.*
*τοὔνεκεν εὐθέσμως ἄλοχον λάβε, καί τινα κόσμῳ*
*δὸς βροτὸν ἀντὶ σέθεν· φεῦγε δὲ μαχλοσύνην.*

---

Nr. 442. V. 3. Fort. *μιν ἔθηκε.* Nr. 443. V. 5. *μαχάδι.* P. V. 6. *ὑπὸ ῥηπίζει.* P. Nr. 444. V. 2. *ὤλεσσ᾽ ἐν πᾶσι.* P. *ὤλεσεν ἄν.* alii. V. 3. *ἐνθέσμως.* alii.

445. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Ἤθελε μὲν βασιλεύς σε βοηθόον εἰςέτι πέμπειν
ἄστεσι τειρομένοις δευομένων μερόπων,
Τητιανὲ χρύσειε· σὺ δ' ἐν βιότοιο γαλήνῃ
πατρίδα καὶ κλῆρον σὸν προβέβουλας ἔχειν,
[P] αὔξων σῶν προγόνων κτέρας ἔνδικον· ἀρχομένων γὰρ
πλοῦτον ὅτι στυγέεις σύνθρονος οἶδε Δίκη.

446. ΤΟΥ ΑΥΤΟΥ.

Ἡδέα πάντα κέλευθα λάχεν βίος. ἀστεϊ μέσσῳ
εὖχος ἑταιρεῖαι, κρυπτὰ δόμοισιν ἄχη·
ἀγρὸς τέρψιν ἄγει, κέρδος πλόος, ἀλλοδαπὴ χθὼν
γνώσιας. ἐκ δὲ γάμων οἶκος ὁμοφρονέει·
τοῖς δ' ἀγάμοις ἄφροντις ἀεὶ βίος. ἕρκος ἐτύχθη
πατρὶ τέκος· φροῦδος τοῖς ἀγόνοισι φόβος.
ἠνορέην νεότης, πολιὴ φρένας οἶδεν ὀπάσσαι.
ἔνθεν θάρσος ἔχων, ζῶε, φύτευε γένος.

447. ΤΟΥ ΑΥΤΟΥ.

Μήτηρ υἷα λιπόντα μάχην μετὰ πότμον ἑταίρων
ἔκτανεν, ὠδίνων μνῆστιν ἀνηναμένη.

---

Nr. 445. V. 3. Τιτιανέ. Plan. Τατιανέ. Br. — βίοιο. P. V. 5. ἀρχομ. πρίν. marg. πλήν. P. V. 6. πλοῦτον. P.

καὶ γὰρ γνήσιον αἷμα διακρίνει Λακεδαίμων
ἀλκῇ μαρναμένων, οὐ γενεῇ βρεφέων.

## 448. ΑΛΛΟ.

Ἐρώτησις Ὁμήρου καὶ ἀνταπόκρισις.

α. Ἄνδρες ἀπ' Ἀρκαδίης ἁλιήτορες, ἦ ῥ' ἔχομέν τι;
β. ὅσσ' ἕλομεν λιπόμεσθ', ὅσσ' οὐχ ἕλομεν φερόμεσθα.

## 449. ΑΛΛΟ.

Τίνας ἂν εἴποι λόγους Ἔρως ἐρῶν.

Τίς πυρὶ πῦρ ἐδάμασσε; τίς ἔσβεσε λαμπάδι πυρσόν;
τίς κατ' ἐμῆς νευρῆς ἑτέρην ἐτανύσσατο νευρήν;
καινὸς Ἔρως κατ' Ἔρωτος ἐμῷ μένει ἰσοφαρίζει.

## 450. ΦΙΛΗΜΟΝΟΣ.

Εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες
αἴσθησιν εἶχον ἄνδρες, ὥς φασίν τινες,
ἀπηγξάμην ἄν, ὥστ' ἰδεῖν Εὐριπίδην.

## 451. ΑΔΕΣΠΟΤΟΝ.

Τίνας ἂν εἴποι λόγους πρὸς Πρόκνην τὴν ἀδελφὴν Φιλομήλη.

Σός με πόσις κακοεργὸς ἐνὶ σπήλυγγι βαθείῃ
μουνώσας βαρύποτμον, ἐμὴν ἀπέκερσε κορείην·

---

Nr. 448. V. 2. λιπόμεθα. P. Fort. λιπόμεσθ', ὅσα δ' οὐχ.
Nr. 450. V. 2. φασί. P.

στυγνὰ δέ μοι πόρεν ἕδνα πολυτλήτοιο γάμοιο.
γλῶσσαν ἐμὴν ἐθέρισσε, καὶ ἔσβεσεν ἑλλάδα φωνήν.

452. ΑΛΛΟ.

Χαῖρε, Πρόκνη, παρὰ σεῖο κασιγνήτης Φιλομήλης,
χαίρειν εἰ τόδε γ' ἔστιν· ἐμοῦ δέ σοι ἄλγεα θυμοῦ
πέπλος ἀπαγγείλειε, τά μοι λυγρὸς ὤπασε Τηρεύς,
ὅς μ' ἔρξας βαρύποτμον ἐν ἕρκεσι μηλονομήων,
πρῶτον παρθενίης, μετέπειτα δ' ἐνόσφισε φωνῆς.

453. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Μελέαγρος, μέλλοντος βοὺς θύεσθαι τῷ Διῒ καὶ μυκωμένου.*

Αὐτὸς ὁ βοῦς ἱκέτης ἐπιβώμιος, αἰθέριε Ζεῦ,
μυκᾶται, ψυχὴν ῥυόμενος θανάτου.
ἀλλὰ μέθες, Κρονίδη, τὸν ἀροτρέα· καὶ σὺ γὰρ αὐτὸς
πορθμεὺς Εὐρώπης ταῦρος, ἄναξ, ἐγένου.

[P.] 454. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Καλλιόπη εἰς Γεώργιον.*

Οὗτος ἐμὸς γενέτης γνήσιος, οὐ Κρονίδης.

---

Nr. 452. V. 3. ἀπαγγέλλειε. P. V. 5. ἐνόσφησε. P. Nr. 454. εγώ. P.

455. ΑΛΛΟ.

Τίνας ἂν εἴποι λόγους Ἀπόλλων περὶ Ὁμήρου.

Ἤειδον μὲν ἐγών, ἐχάρασσε δὲ θεῖος Ὅμηρος.

456. ΑΛΛΟ.

Πασιφάης διὰ τὸν ἔρωτα τοῦ ταύρου.

Εἰ ποθέειν μ' ἐδίδαξας ἐν οὔρεσι ταῦρον ἀλήτην,
μυκηθμόν με δίδαξον, ὅπως φίλον ἄνδρα καλέσσω.

457. ΑΛΛΟ.

Τί ἂν εἴποι Ἀχιλλεὺς τρωθέντος Ἀγαμέμνονος.

Ἔγνως νῦν, Ἀγάμεμνον, ἐμὸν φθισήνορα θυμόν·
ἔγνως ἐν σταδίῃσιν ὅσον σθένος Ἕκτορός ἐστι.
νῦν γὰρ πάντες ὄλοντο τεῇ πολυπήμονι λώβῃ·
σοὶ δ' αὐτῷ μέγα πῆμα φάνη, θανάτοιο χέρειον.
ἀφροσύνης κακὰ ἔργα, καὶ ἄσχετα πένθεα πάσχεις,
ὃς πᾶσιν Δαναοῖσιν ἀρήϊον ἕρκος ἐτύχθης.

458. ΑΛΛΟ.

Τί ἂν εἴποι Ὀδυσσεὺς ἐπιβὰς τῆς Ἰθάκης.

Χαῖρ' Ἰθάκη. μετ' ἄεθλα, μετ' ἄλγεα πικρὰ θαλάσσης
ἀσπασίως τεὸν οὖδας ἱκάνομαι, ὄφρα νοήσω

---

Nr. 457. V. 2. σταδίοισιν. P. V. 3. βλάβῃ. P. V. 4. φάνει. P.

Λαέρτην, ἄλοχόν τε, καὶ ἀγλαὸν υἱέα μοῦνον.
σὸς γὰρ ἔρως κατέθελξεν ἐμὸν νόον. οἶδα καὶ αὐτός,
„ὡς οὐδὲν γλυκίον ἧς πατρίδος, οὐδὲ τοκήων.“

459. ΑΛΛΟ.

Τί ἂν εἴποι Ἀχιλλεὺς ὁρῶν Ὀδυσσέα ἐν Ἅιδου.

Ἀτρεκέως πάντων πολυμήχανός ἐστιν Ὀδυσσεύς.
ζωὸς ἐὼν ἐνόησεν ἃ μὴ θέμις ἐστὶν ἰδέσθαι,
νερτέριον κευθμῶνα, καὶ ἄλγεα πικρὰ θανόντων.
πῶς δ' ἔτλη προλιπεῖν ἱερὸν φάος; ἢ τίς ἀνάγκη
ἤγαγεν οὐκ ἐθέλοντα; δόλων ἀκόρητος ἐτύχθη
ἐν χθονὶ καὶ πελάγεσσι καὶ ἐν νεκύεσσιν Ὀδυσσεύς.

460. ΑΛΛΟ.

Τί ἂν εἴποι Ἀχιλλεὺς ὁρῶν τὰ ὅπλα κείμενα.

Μῆτερ, τεύχεα ταῦτα καὶ ἀγλαὰ δῶρα κομίζεις
ἀγχεμάχῳ σέο παιδί, τὰ μὴ πάρος ἔδρακεν ἀνήρ.
οἶδα δὲ νῦν, ὅτι Παλλὰς ἐφ' Ἕκτορι χεῖρα κορύσσει
ἡμετέρην, καὶ Τρωσὶν ἀεικέα λοιγὸν ἐγείρει.

461. ΑΛΛΟ.

Τίνας ἂν εἴποι λόγους ὁ Πύῤῥος ἐπιβὰς τῆς Τροίας.

Μόχθος ἐμοῦ γενετῆρος ἀμύμονος οὐ τέλος εὗρεν·
αὐτὰρ ἐγὼ Τρώεσσι φόνον πάντεσσι κορύσσων

---

Nr. 460. V. 3. οἶδα νῦν ὅτι πολλά τ' ἐφ. P. • V. 4. ἡμετέρης. P.

ἤλυθον. ἠνορέῃ γὰρ ὑπέρτερον εὖχος ἀείρω,
καὶ Πρίαμον βασιλῆα, καὶ οὓς προλέλοιπεν Ἀχιλλεύς,
πάντας ὁμοῦ κατὰ μῶλον ἐμὸν μένος οἶδεν ὀλέσσαι,
καὶ Τροίης πτολίεθρον ἀρήϊον ἐξαλαπάξω,
καὶ Δαναοῖς δεκέτηρον ἐμὸν δόρυ μόχθον ἀνύσσει.

## 462. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Δηϊδάμεια τοῦ Πύῤῥου πορθήσαντος τὴν Τροίαν.*

Πᾶσαν ἐμῆς κραδίης χαλεπὴν ἀπέπαυσας ἀνίην,
[P] ὑμετέρου γενετῆρος Ἀχιλλέος εἵνεκα πότμου,
ὃν Τροίη στονόεσσα κατέκτανεν. ἀλλὰ σὺ πᾶσαν
Ἴλιον ἐξαλάπαξας· ἐελδομένοισι δ' Ἀχαιοῖς
ἄφθιτον ὤπασας εὖχος, ὃ μὴ δεκέτηρος ἐννοῦς
πᾶσιν μαρναμένοις Δαναοῖς χρόνος εὗρεν ἀνύσσαι.

## 463. ΑΛΛΟ.

*Τί ἂν εἴποι Ἕλενος ὁρῶν τὸν Ἀχιλλέα ἐν τοῖς ὅπλοις.*

Πηλείδην κοτέουσα πάλιν θώρηξεν Ἀθήνη
ἔντεσιν ἀθανάτοισι. τί ῥίγιον ἔσσεται ἄλγος
αἰνομόροις Τρώεσσι, καὶ Ἕκτορι, καὶ γενετῆρι,
ὁππόταν ἔντεα ταῦτα θεὸς πόρεν ἀνέρι τῷδε.

---

Nr. 462. V. 2. Ἀχιλλέως. P. Nr. 463. V. 2. ῥήγιον. P. Fort. ἀθανάτοις· ἦ ῥίγιον. V. 4. ὅσποτ' ἄν. P. in marg. ὡς.

Digitized by Google

### 464. ΑΛΛΟ.

*Τί ἂν εἴποι Πάρις τρωθέντος Μενελάου.*

Ἔῤῥετε οἱ ξύμπαντες, ἐλεγχέες, Αἰγιαλῆες,
ἄρτι θανὼν Μενέλαος ἐμὸν μέγα κῦδος ἀέξει.

### 465. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Ἀλθαία παρακαλοῦσα τὸν Μελέαγρον.*

Τέκνον ἐμόν, γενεῆς ἐπιλήθεαι, οὐδ' ἀλεγίζεις
πατρίδος ὀλλυμένης, βριαρὴν δ' ἀπόειπες ἀκωκήν,
αἰσχύνων Καλυδῶνα, καὶ Οἰνέα, καὶ ναετῆρας.

### 466. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Ἄλκηστις, τοῦ Ἀδμήτου ζεύξαντος λέοντα καὶ κάπρον εἰς τὸ ὄχημα.*

Ἠνορέης κλυτὰ ἔργα τεὴν ἔστρεψαν ἀπήνην,
καὶ νύμφην βοόωσιν ἀριστοπόνοις ὑμεναίοις.

### 467. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους ὁ Πηλεὺς ἀκούων, ὅτι ἀπόμαχός ἐστιν Ἀχιλλεύς.*

Πηλιάδες σκοπιαί, κουροτρόφοι, εἴπατε παιδί,
ὃν Χείρων ἐδίδαξεν ἀριστεύειν ἐνὶ χάρμῃ,
μῆνιν ἀποῤῥίψαι καὶ λοίγιον ἔχθος Ἀχαιοῖς.

---

Nr. 464. Fort. *Πάνδαρος*, Nr. 465. V. 1. ἀλεγίζῃ. P. Nr. 466. V. 1. Fort. ἔστεψαν.

468. *ΑΛΛΟ.*

*Τίνας ἂν εἴποι λόγους ἡ Ἥρα ἀποθεωθέντος Ἡρακλέους.*

*Σῆς ἀρετῆς ἱδρῶτι καλὴν ἀπέδωκεν ἀμοιβὴν*
*σὸς γενέτης, Ἥρακλες, ἐπεὶ πόνος ἄσπετον εὖχος*
*ἀνδράσιν οἶδεν ἄγειν μετ᾽ ἀπείρονα κύκλον ἀέθλων.*

469. *ΑΛΛΩΣ.*

*Σοὶ χάριν ἐξετέλεσσε πόνος καὶ ἀθέσφατος ἱδρώς,*
*χῶρον ἔχειν πολύολβον, ὃν οὐ πάρος ἔλλαχεν ἀνήρ.*

470. *ΑΛΛΟ.*

*Τί ἂν εἴποι Ἀχιλλεὺς πρὸς τὸν Αἴαντα φιλωθῆναι.*

*Οὐ θέμις ἐν φθιμένοισιν ἔχειν κότον· ἄλγεα γαίης*
*καλλείψας ἀγάπαζε τεὸν φίλον· οὐ γὰρ Ὀδυσσεὺς*
*ἤλιτεν εἰς σὲ θέλων, βριαρὴ δέ σ᾽ ἔπεφνεν Ἀθήνη,*
*Ζεύς τε πατήρ, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννύς.*
*Αἴθε δὲ τεύχεα ῥίψεν ἐς ἁλμυρὰ βένθεα πόντου*
*δῖα Θέτις, καὶ νεῖκος ἀπέσβεσε σεῖο μενοινῆς.*

---

Nr. 468. V. 2. πόνον. P. Nr. 469. V. 1. χάριν ἐτέλεσσε. P.
Nr. 470. V. 4. Ζεὺς δέ. P.

471. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Νέστωρ ἀκούσας Ὀδυσσέα ἐπανελθόντα.*

Ἐσθλὸς ἀνὴρ φύγε πόντον ἀπηνέα καὶ μετὰ μόχθον
ἐς πάτρην ἀφίκανεν, ἐμοῦ δέ κε φέρτερος εἴη,
εὖ δεδαὼς πτόλιάς τε καὶ ἔθνεα, καὶ νόον ἀνδρῶν.

[P] 472. ΑΛΛΟ.

*εἰς τὸν αὐτόν.*

Πολλὰ καμὼν νόστησεν ἀνὴρ τλήθυμος Ὀδυσσεύς,
ἀλλ' ἔμπης κλέος ἔσχεν ἀνὰ χθόνα καὶ κατὰ πόντον
ἀνδράσιν ἐσσομένοισιν ἀεὶ πτολίπορθος Ὀδυσσεύς.

473. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους ὁ Ἀγαμέμνων κατοπλισθέντος Ἀχιλλέως.*

Ἴλιος ὀφρυόεσσα κατήριπεν· ἄρτι δὲ πᾶσαν
ληϊδίην Δαναοῖσι θεὸς πόρεν, ὁππότ' Ἀχιλλεὺς
μῆνιν ἀποῤῥίψας, φθισήνορα χεῖρα κορύσσει.

---

Nr. 471. V. 2. ἀφίκανε. P.

474. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Εἰδοθέα ὁρῶσα τὴν Ἑλένην εἰς τὴν Φάρον.*

Οἰκτείρω σὸν κάλλος, ἐπεὶ Διός ἐσσι γενέθλη.
εἰςορόω γὰρ ἄγαλμα διοτρεφές· ἀτρεκέως δὲ
Τρωσί τε καὶ Δαναοῖσι μάχη δεκέτηρος ἐτύχθη.
ποῦ Διὸς αἰγιόχοιο, τεοῦ γενετῆρος, ἀρωγαί;
ἔμπης δ' ἔρχεο θᾶσσον, ἀπήμονα νόστον ἑλοῦσα,
Εἰδοθέης ἰότητι, κακῆς ἐπὶ νῶτα θαλάσσης.

475. ΑΛΛΟ.

*Τίνας ἂν εἴποι λόγους Ἑλένη ὁρῶσα τὸν Μενέλαον καὶ τὸν Πάριδα μονομαχοῦντας.*

Εὐρώπης Ἀσίης τε δορισθενέες βασιλῆες,
ὑμῖν ἀμφοτέροισιν ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς,
τίς κεν ἐμὲ τλήθυμος ἕλοι δύστηνον ἀκοίτης·
Ζεὺς δὲ πατὴρ δικάσειεν, ἄνευθε δὲ Κυπρογενείης,
μὴ πάλιν ἄλλος ἕλῃ με γαμοκλόπος, αἶσχος Ἀχαιοῖς.

476. ΑΛΛΟ.

*Τί εἴποι Ἕκτωρ τοῦ Πατρόκλου μὴ δυνηθέντος βαστάσαι τὸ δόρυ τὸ Ἀχιλλέως.*

Ἐζημίωσας ἀσθενῶν τὸν Ἕκτορα·
φέρεις γὰρ ἡμῖν ἐλλιπῆ σκυλεύματα.

---

Nr. 474. V. 2. ἀτρεκέως γάρ. P. Nr. 475. V. 1. δορισθενές. P. V. 3. ἕλῃ. P.

### 477. ΑΛΛΟ.

*Τί εἴποι ἡ Θέτις τοῦ Τηλέφου σκελισθέντος ὑπὸ τῆς ἀμπέλου.*

Ἄμπελε, τί πράξωμεν, ὅταν Δαφναῖος Ἀπόλλων
πτόρθον ἐμὸν κλίνῃ ἐξ Ἀλεξάνδροιο βελέμνων;

### 478. ΑΛΛΟ.

*Τί εἴποι ὁ Πρίαμος τοῦ Ἑλένου διδόντος βουλὴν τοῖς Ἕλλησιν, ἵνα ληφθῇ Τροία.*

Τὰ δῶρα λαμπρὰ προςφέρεις τῇ πατρίδι.

### 479. ΑΛΛΟ.

*Τί εἴποι Περσεὺς μετὰ τὴν ἀναίρεσιν τοῦ κήτους τῆς Ἀνδρομέδας μὴ θελούσης αὐτὸν λαβεῖν.*

Σεῖο νόον πέτρωσεν ἀμείλιχα δέσμια πέτρης,
καὶ λίθον ἐκτελέσειε τεὸν δέμας ὄμμα Μεδούσης.

### 480. ΑΛΛΟ.

*Τί εἴποι Ἱπποδάμεια μετὰ τὴν ἀναίρεσιν τοῦ Οἰνομάου Πέλοπος μὴ θελήσαντος αὐτὴν λαβεῖν.*

Ἀπεστράφης νῦν, ὡς λαβὼν ἐξουσίαν·
ταύτῃ γὰρ οὐ πέφυκε συντρέχειν Ἔρως·
Ἔρως γὰρ ἄλλην ἀνταμείβεται τρίβον.

---

Nr. 477. V. 1. πράξομεν. P. V. 2. ἐξ Ἀλ. P. ἐν Ἀλ. βελέμνοις. Plan.

[P] 481. ΙΟΥΛΙΑΝΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ἑσπέριός μ' ἐδάμασσεν ὁμοῦ, καὶ πρώϊος ὕπνος,
    ὃς μὲν ἐπιβρίσας, ὃς δέ με μὴ καλέσας·
ὧν ἐξ ἀμφοτέρων ὁ μὲν ἐῤῥέτω, ὃς δὲ παρείη
    ἵλαος, ὡράων μέτρον ἐπιστάμενος.

482. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Οὐτιδανοὶ μερόπων, εἰ καὶ μέγα ῥέξαμεν ἔργον,
    οὔτινος εἰς μνήμην δηρὸν ἐπερχόμεθα·
οἱ δ' ἀγαθοί, κἢν μηδέν, ἀναπνεύσωσι δὲ μοῦνον,
    ὡς Λίβυς εἶπεν ἀνήρ, τοῦτ' ἀδάμαντι μένει.
δήποτε γὰρ Ζήνωνα πολισσοῦχον βασιλῆα,
    παίγνιον ἀφράστων ἐκτελέοντα κύβων,
τοίη ποικιλότευκτος ἕλεν θέσις, εὖτ' ἀπὸ λευκοῦ,
    τοῦ καὶ ὀπισθιδίην εἰς ὁδὸν ἐρχομένου,
ἑπτὰ μὲν ἔκτος ἔχεν, μίαν εἴνατος· αὐτὰρ ὁ σοῦμμος
    δισσὰς ἀμφιέπων ἶσος ἔην δεκάτῳ·
ὅς τε πέλει μετὰ σοῦμμον ἔχεν δύο, μουνάδα δ' ἄλλην
    ψῆφον τὴν πυμάτην ἀμφιέπεσκε δίβος.

---

Nr. 481. V. 3. ὁ δέ. P. Nr. 482. V. 1. ῥέξομεν. Plan. V. 3. ἀναπνεύσουσι. marg. πνεύσωσι. P. V. 4. λυβυς. P. V. 6. κύβον. P. V. 7. θέτις. P. V. 8. ὀπισθιδίκην. P. V. 11. μονάδα. V. 12. πομάτην.

ἀλλὰ μέλας δισσὰς μὲν ἐν ὀγδοάτῳ λίπε χώρῳ
καὶ τόσσας ἑτέρας ἐς θέσιν ἑνδεκάτην·
ἀμφὶ δυωδέκατον δὲ διέπρεπον εἴκελοι ἄλλαι,
καὶ τρισκαιδεκάτῳ ψῆφος ἔκειτο μία·
δίζυγες Ἀντίγονον διεκόσμεον· ἀλλὰ καὶ αὐτῷ
ἶσος ἔμιμνε τύπος πεντεπικαιδεκάτῳ,
ὀκτωκαιδεκάτῳ πανομοΐϊος· εἰςέτι δ' ἄλλας
εἶχεν διχθαδίας τέτρατος ἐκ πυμάτου.
αὐτὰρ ἄναξ λευκοῖο λαχὼν σημήϊα πεσσοῦ,
καὶ τὴν ἐσσομένην οὐ νοέων παγίδα,
τριχθαδίας ἀδόκητα βαλὼν ψηφῖδας ἀπ' ἠθμοῦ,
πύργου δουρατέου κλίμακι κευθομένῃ,
[P] δοιὰ καὶ ἓξ καὶ πέντε κατήγαγεν· αὐτίκα δ' ὀκτὼ
ἄζυγας εἶχεν ὅλας πρόσθε μεριζομένας.
Τάβλην φεύγετε πάντες, ἐπεὶ καὶ κοίρανος αὐτὸς
κείνης τὰς ἀλόγους οὐχ ὑπάλυξε τύχας.

483. ΑΔΗΛΟΝ.

εἴς τινα ἀπὸ περσέας πεσόντα.

Ἐκ φονίων Περσῶν φόνιον φυτὸν ἤγαγε Περσεύς,
παιδὶ Θεογνόστου τοῦ θανάτου πρόφασιν.

---

V. 13. μὲν ὀγδ. et χώρῃν (ωι supra) P. V. 18. παρομοΐϊος. Br. εἰςέτι ἄλλας. P. V. 22. ψηφάδα γὰρ ἰσθμοῦ. P. V. 25. κευθομένας. Br. V. 26. καὶ om. P.

### 484. ΠΑΛΛΑΔΑ.

*εἴς τινα αὐτῷ πέμψαντα σιτεύσιμον.*

Ἀσκὸν τῶν ἀνέμων ἔλαβέν ποτε δῶρον Ὀδυσσεύς,
πόντον ἐπιπλείων· χρῆμα γὰρ ἦν τι μέγα.
ἀλλ' ἐμὸς Αἰόλος οὗτος ἔχων ἀνεμώλιον ἦτορ,
ὄρνεον ἐκπέμπει τῶν ἀνέμων γεμίσας.
πνεύματά μοι πτερόεντα, φίλος, καὶ πνεύματα πέμ-
πεις·
οὐ δύναμαι δὲ φαγεῖν θλιβομένους ἀνέμους.

### 485. ΗΛΙΟΔΩΡΟΥ.

Τὰν Θέτιν ἀείδω· χρυσοέθειρα Θέτι,
Νηρέος ἀθανάταν εἰναλίοιο κόραν,
τὰν Διὸς ἐννεσίῃ Πηλέϊ γημαμέναν,
τὰν ἁλὸς ἀγλαΐαν, ἁμετέραν Παφίην·
ἃ τὸν δουριμανῆ, τὸν δ' Ἄρεα πτολέμῳ,
Ἑλλάδος ἀστεροπάν, ἐξέτεκεν λαγόνων,
δῖον Ἀχιλλῆα, τοῦ κλέος οὐράνιον·
τῷ ὑπὸ Πύῤῥα τέκεν παῖδα Νεοπτόλεμον,
περσέπολιν Τρώων, ῥυσίπολιν Δαναῶν.
Ἱλήκοις ἥρως ἄμμι Νεοπτόλεμε·

---

Nr. 484. V. 2. *πόντον ἐπιπλώων.* Plan. *πόντου.* P. *ἤτει μέγα.* P. V. 5. Fort. *κενὰ πνεύματα.* Nr. 485. V. 1. *Θέτιν.* P. V. 2. *νιρέος.* P. V. 6. *λογόν.* P. V. 9. *ῥυσίπτολιν.* P.

ὄλβιε, Πυθιάδι νῦν χθονὶ κευθόμενε.
δέχνυσο δ᾽ εὐμενέων τάνδε θυηπολίην,
πᾶν δ᾽ ἀπέρυκε δέος ἁμετέρας πόλιος·
τὰν Θέτιν ἀείδω, χρυσοέθειρα Θέτι.

### 486. ΠΑΛΛΑΔΑ.

εἰς τὸ σιτεύσιμον.

Τὴν λαπάραν, τὴν αὐτὸς ἀποσφίγξας ἀποπέμπεις,
εὗρεν ὁ παῖς λύσας φῦσαν ὑπηνέμιον.

### 487. ΤΟΥ ΑΥΤΟΥ.

Βρώματά μοι χοίρων συκιζομένων προέθηκας,
ξηρῶν, διψαλέων, Κυπρόθεν ἐρχομένων.
ἀλλ᾽ ἐμὲ συκωθέντα μαθὼν ἢ σφάξον ἑτοίμως,
ἢ σβέσον ἐκ δίψης νάματι τῷ Κυπρίῳ.

### 488. ΤΡΥΦΩΝΟΣ.

Τέρπης εὐφόρμιγγα κρέκων σκιάδεσσιν ἀοιδὰν
κάτθαν᾽ * ἐνοστήσας ἐν Λακεδαιμονίοις,
οὐκ ἄορι πληγείς, οὐδ᾽ ἐν βέλει, ἀλλ᾽ ἐνὶ σύκῳ
χείλεα. φεῦ, προφάσεων οὐκ ἀπορεῖ θάνατος.

---

V. 11. πυθιάδη. P. V. 14. χρ. θέτιν. P. Nr. 486. V. 1. λιπαράν. P. ἀποσφάξας. Ib. Nr. 487. V. 1. σηκαζομένων. P. hoc loco. V. 2. γυψαλέων. P. hoc loco. Nr. 488. V. 1. τέρπην et ἀείδων. P. V. 2. κάτθανεν ἐξαπίνης. Br. Fort. κάτθανεν ὀχθήσας.

Digitized by Google

[Γ] 489. ΠΑΛΛΑΔΑ.

ἐπὶ βρέφεσι δύο ἅμα τεχθεῖσι καὶ παραχρῆμα ἀποθανοῦσι.

Γραμματικοῦ θυγάτηρ ἔτεκεν φιλότητι μιγεῖσα
παιδίον ἀρσενικόν, θηλυκόν, οὐδέτερον.

490. ἩΛΙΟΔΩΡΟΥ.

Πανταρβην φορέουσα πυρὸς μὴ τάρβει ἐρωήν·
ῥηϊδίως Μοίραις καὶ τἀδόκητα πέλει.

491. ΘΕΩΝΟΣ.

μονόστιχον εἰς τὴν ἑβδομάδα.

Ζεὺς, Ἄρης, Παφίη, Μήνη, Κρόνος, Ἥλιος, Ἑρμῆς.

492. ΣΤΡΑΤ.

Κεῖτο δ' ὁμοῦ σάκος, ἔγχος, .... θώρηξ, κόρυς, ἵππος.

493. ΑΛΛΟ.

Ἀσπίς, τόξα, βέλεμνα, κόρυς, ξίφος, ἄλκιμον ἔγχος.

494. ΑΛΛΟ.

Ἰός, τόξα, σάκος, κυνέη, δόρυ, φάσγανα, θώρηξ.

---

Nr. 492. Fort. ἄορ excidit.

### 495. ΑΔΕΣΠΟΤΟΝ.

εἰς Ἀγαμέμνονα.

Ἑλλάδος ἐνναετῆρες, ἀμεμφέες ἡγεμονῆες,
μηκέτι πιστὰ φέροιτε δολοφρονέουσι γυναιξί.
θηλυτέρη μ' ἐδάμασσε, τὸν οὐ κτάνε δήϊος Ἕκτωρ.

### 496. ΑΔΗΛΟΝ.

Ὦ Στοϊκῶν μύθων εἰδήμονες, ὦ πανάριστα
δόγματα ταῖς ἱεραῖς ἐνθέμενοι σελίσιν,
τὰν ἀρετὰν ψυχᾶς ἀγαθὸν μόνον· ἅδε γὰρ ἀνδρῶν
μούνα καὶ βίοτον ῥύσατο καὶ πόλιας.
σαρκὸς δ' ἁδυπάθημα, φίλον τέλος ἀνδράσιν ἄλλοις,
ἁ μία τῶν Μνήμης ἤνυσε θυγατέρων.

### 497. ΚΡΑΤΗΤΟΣ.

Ἔρωτα παύει λιμός· εἰ δὲ μή, χρόνος.
ἐὰν δὲ μηδὲ ταῦτα τὴν φλόγα σβέσῃ,
θεραπεία σοι τὸ λοιπὸν ἠρτήσθω βρόχος.

---

Nr. 495. V. 2. γυναιξὶ δολοφρονεούσαις. Plan. Nr. 496. V. 1. παναριστα (α supra) ναριοται. P. V. 3. τὰν ἀρίσταν ἀρετάν. P. V. 4. βιότου et πόλιος. P. V. 5. ἡδυπάθημα. P. V. 6. ἡ μία τῆς. P. ἤνεσε. Br. Nr. 497. V. 3. ἠρτείσθω. P.

498. ΑΔΗΛΟΝ.

*Εἰς Πέρσην μητροφθόρον.*

Μὴ θάπτε τὸν ἄθαπτον, ἔα κυσὶ κύρμα γενέσθαι·
γῆ πάντων μήτηρ μητροφθόρον οὐ δέχετ' ἄνδρα.

499. ΑΔΗΛΟΝ.

Ἀργαλέως φέρεται πολιὸς χρόνος· ἀλλὰ παρέρπων
καὶ φωνὰς κλέπτει φθεγγομένων μερόπων,
καὶ μὴ φαινόμενος τοὺς φαινομένους ἀφανίζει,
καὶ μὴ φαινομένους εἰς φανερὸν προφέρει.
ὦ ζωῆς ἀόριστος ἐν ἀνθρώποισι τελευτή,
ἦμαρ ἐπ' ἦμαρ [ἀεὶ] πρὸς ζόφον ἐρχομένων.

500. ΑΛΛΟ.

*Εἰς τὴν κατάπτωσιν Βηρύτου.*

Μηκέτι κληρονόμους ὀνομάζετε φέγγος ὁρῶντας·
τοὺς δ' ἀποθνήσκοντας κληρονόμους λέγετε.
οἱ νῦν κληρονόμοι νέκυες μέγα κέρδος ἔχουσι,
τὴν ἀναχώρησιν τοῦ μογεροῦ βιότου.

501. ΑΛΛΟ.

*Εἰς Βήρυτον.*

Τὴν πόλιν οἱ νέκυες πρότερον ζῶσαν κατέλειψαν·
ἡμεῖς δὲ ζῶντες τὴν πόλιν ἐκφέρομεν.

---

Nr. 498. V. 1. θάψῃς. Br. Fort. θάπτειν. Nr. 499. V. 5. ἄριστος. P. V. 6. ἀεὶ omissum in P. suppeditat Plan.

[P] 502. ΠΑΛΛΑΔΑ.

Κονδίτου μοι δεῖ. τὸ δὲ κονδῖτον πόθεν ἔσχεν
τοὔνομα; τῆς φωνῆς ἐστὶ γὰρ ἀλλότριον
τῆς τῶν Ἑλλήνων· εἰ Ῥωμαϊκῶς δὲ καλεῖται,
αὐτὸς ἂν εἰδείης, Ῥωμαϊκώτατος ὤν.
σκεύασον οὖν μοι τοῦτο· τὸ γὰρ κατέχον με νόσημα
τοῦ στομάχου χρῄζει τοῦδε, λέγουσι, ποτοῦ.

503. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἀλόγως ἐν * διζύφοις δύναμίν τινα θείαν
εἶναι ἔφην. χθὲς γοῦν * δίζυφον ἐν χρονίῳ
ἠπιάλῳ κάμνοντι τεταρταίῳ περιῆψα,
καὶ γέγονεν ταχέως, οἷα κρότων, ὑγιής.

504. ΑΔΗΛΟΝ.

εἰς τὰς Μούσας.

Καλλιόπη σοφίην ἡρωΐδος εὗρεν ἀοιδῆς·
Κλειὼ καλλιχόρου κιθάρης μελιηδέα μολπήν·
Εὐτέρπη τραγικοῖο χοροῦ πολυηχέα φωνήν·
Μελπομένη θνητοῖσι μελίφρονα βάρβιτον εὗρε·

Nr. 502. V. 6. χρῄζειν. Plan. Nr. 503. V. 1. ζωὐφίοις. et V. 2. ζωῦφι' ἐν. Br. c. Toupio. V. 4. γέγονε. in marg. γέγονεν. P. Hoc Epigr. sequitur in P. versus Nicandri ex Ther. 771. Nr. 504. V. 4. ηὗρε marg. P.

Digitized by Google

Τερψιχόρη χαρίεσσα πόρεν τεχνήμονας αὐλούς·
ὕμνους ἀθανάτων Ἐρατὼ πολυτερπέας εὗρε·
τέρψιας ὀρχηθμοῖο Πολύμνια πάνσοφος εὗρεν·
[ἁρμονίην πάσῃσι Πολύμνια δῶκεν ἀοιδαῖς·]
Οὐρανίη πόλον εὗρε καὶ οὐρανίων χορὸν ἄστρων·
κωμικὸν εὗρε Θάλεια βίον καὶ ἤθεα κεδνά.

505. ΑΛΛΟ.

εἰς τὰς αὐτάς.

Οὐκ ἴδε Τερψιχόρην ὁ ζωγράφος, ἀλλ' ὑπὸ τέχνας
ψεύδεται ὀφθαλμοὺς δείκελον ἀτρεκίῃ.

* *

Εἴ ποτε τερψινόοιο, φίλος, φόρμιγγος ἀκούσῃς,
τὴν Ἐρατὼ θαύμαζε τόσης εἰδήμονα τέχνης.

* *

Εὐτέρπη δονάκεσσι πολυτρήτοισι λιγαίνει,
πνεῦμα σοφῆς ὀχετηγὸν ἐπισπείρουσα μελίσσης.

* *

Κωμικὸν ἀμφιέπω Θάλεια μέλος, ἔργα δὲ φωτῶν
οὐχ ὁσίων θυμέλῃσι φιλοκροτάλοισιν ἀθύρω.

* *

Nr. 505. V. 2. εἴκελον. P. V. 3. ἀκούσεις. Br. Saltem ἀκούσῃ. V. 4. ἐριτήμονα. P. V. 5. λιγαίνει [ω]. P. V. 8. θηλυτέρησι. P.

Εἰκόνα τῆς σοφίης ποτιδέρκεο· Καλλιόπης γὰρ
εἰκόνα σῇ κραδίῃ λάμβανε τὴν σοφίην.

* *

Δαφνοκόμοις Φοίβοιο παρὰ τριπόδεσσι κελεύω
Κλειώ, μαντοσύνης Μοῦσα καὶ ἱστορίης.

* *

[P] Οὐρανίη ψήφοιο θεορρήτῳ τινὶ μέτρῳ
ἀστρῴην ἐδίδαξα παλινδίνητον ἀνάγκην.

* *

Σκέπτεο χαλκεόφωνον ἐπισπέρχουσαν ἀοιδὴν
Μελπομένην, ἐρατῆς ἵστορα εὐεπίης.

* *

Σιγῶ, φθεγγομένη παλάμης θελξίφρονα παλμόν,
νεύματι φωνήεσσαν ἀπαγγέλλουσα σιωπήν.

506. ΠΛΑΤΩΝΟΣ.

Ἐννέα τὰς Μούσας φασίν τινες· ὡς ὀλιγώρως.
ἠνίδε καὶ Σαπφὼ Λεσβόθεν ἡ δεκάτη.

507. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἡσιόδου τόδ' ἄεισμα καὶ ὁ τρόπος· οὐ τὸν ἀοιδῶν
ἔσχατον, ἀλλ' ὀκνέω, μὴ τὸ μελιχρότατον

---

V. 9. σῆς σοφ. P. V. 15. σκέπτο. P. V. 17. φθεγγομένης. Plan. θελξίφρονι παλμῷ. Br. Nr. 507. V. 1. ἀοιδόν. P.

τῶν ἐπέων ὁ Σολεὺς ἀπεμάξατο. χαίρετε λεπταὶ
ῥήσιες, Ἀρήτου σύντονος ἀγρυπνίη.

### 508. ΠΑΛΛΑΔΑ.

Ὅταν θέλῃ τις ἡμέραν ἰδεῖν καλήν,
συντυγχάνων σοι γίγνεται καλήμερος·
τοὐναντίον δὲ καί τις εἰ θέλοι παθεῖν,
μὴ συντυχὼν σοι γίγνεται κακήμερος.

### 509. ΧΡΗΣΜΟΣ.

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσιν.

### 510. ΑΔΗΛΟΝ.

Γῆμε Κριτωνιανός με, Σόλων ἐτέκνωσεν, ἐκλήθην
Μελτίνη, πλάσθην ἀνδρὸς ἐμοῦ παλάμαις.

### 511. ΑΔΗΛΟΝ.

Χιονέην τρίχα Παιήων ἐκέλευέ με χρυσῷ
δαιδάλλειν ἀγανοφροσύνῃ, ἐτέλεσσα δὲ χαίρων,
οὕνεκεν ἐξ ἐμέθεν τόδε οἱ θυμῆρες ἔκρινεν.

---

V. 4. ἀῤῥήτου. P. ἀρήτου ἀντὶ ἀράτου. marg. Nr. 508. V. 3. Fort. εἰ θέλει. V. 4. καχήμερος. Plan. Nr. 509. κολιάδες et φρίξουσιν. P. Nr. 510. V. 1. κριτωνίαν ὅς με σόλον. P. θηλήθην. Ib. V. 2. ἐπλάσθην. P.

Digitized by Google

### 512. ΑΔΗΛΟΝ.

*εἰς βίβλον.*

Εὐμενέως πρώτοιο δεδεγμένος ὄργια βίβλου
φιλοπόνου, γραφίδεσσι δεδεγμένα βένθεα μύθων,
κοιράνου Αὐσονίοισι διδάσκαλε, ἵλαος εἴης.

### 513. ΚΡΙΝΑΓΟΡΟΥ.

Δράμασιν ἐν πολλοῖσι διέπρεπες, ὅσσα Μένανδρος
ἔγραφεν, ἢ Μουσέων σὺν μιῇ ἢ Χαρίτων.

### 514. ΑΛΛΟ.

Ἐς γάμον ἔζευξέν με νεοζεύκτοιο Προκίλλης,
τὸν νυμφῶν θαλάμοις αἰὲν ἀειδόμενον,
εὐξάμενος τάδε Μῆνις ὁ Κωμικός· ὦ Ὑμέναιε,
ἔρχεο καὶ νύμφῃ καὶ γαμέοντι φίλος.

### 515. ΑΛΛΟ.

Τρεῖς εἰσὶν Χάριτες· σὺ δὲ δὴ μία ταῖς τρισὶ ταύ-
ταις
γεννήθης, ἵν᾽ ἔχωσ᾽ αἱ Χάριτες Χάριτα.

---

Nr. 512. V. 1. εὐμενές. P. V. 2. Fort. δεδειγμένα. Nr. 514. V. 1. Fort. ἐς δόμον. V. 2. θαλάμους. P. Nr. 515. V. 1. εἰσὶν αἱ Χάρ. σὺ δὲ μία. P.

Digitized by Google

[Ⅱ] 516. ΚΡΙΝΑΓΟΡΟΥ.

Ἔρδοι τὴν ἔμαθέν τις, ὅπου καὶ ὑπ᾽ Ἄλπιας ἄκρας
λῃσταὶ λασίαις ἀμφίκομοι κεφαλαῖς,
φωρῆς ἁπτόμενοι, φύλακας κύνας ὧδ᾽ ἀλέονται.
χρίονται νεφροῖς πῖαρ * ἄπεστι νόσου,
ψευδόμενοι ῥινῶν ὀξὺν στίβον. ὦ κακὸν εὑρεῖν
ῥηΐτεραι Λιγύων μήτιες, ἢ ἀγαθόν.

517. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ὀρφεὺς θῆρας ἔπειθε· σὺ δ᾽ Ὀρφέα. Φοῖβος ἐνίκα
τὸν Φρύγα· σοὶ δ᾽ εἴκει μελπομένῳ, Γλάφυρε.
οὔνομα καὶ τέχνης καὶ σώματος· οὔ κεν Ἀθήνη
ἔρριψεν λωτοὺς τοῖα μελιζομένη,
οἷα σὺ ποικιλοτερπές· ἀφυπνώσαι κεν ἀκούων
αὐτὸς Πασιθέης Ὕπνος ἐν ἀγκαλίσιν.

518. ΑΛΚΑΙΟΥ ΜΕΣΣΗΝΙΟΥ.

Μακύνου τείχη, Ζεῦ Ὀλύμπιε, πάντα Φιλίππῳ
ἀμβατά· χαλκείας κλεῖε πύλας μακάρων·
χθὼν μὲν δὴ καὶ πόντος ὑπὸ σκήπτροισι Φιλίππου
δέδμηται, λοιπὰ δ᾽ ἁ πρὸς Ὄλυμπον ὁδός.

---

Nr. 516. V. 4. Fort. νεφροῖς πῖαρ ἀπὸ στέατος. V. 5. καλόν. P. V. 6. ῥηΐτεροι . . ἀγαθῶν. P. in marg. ἢ ἀγαθόν. Nr. 517. V. 2. σῦ δῆ κεῖ μελπομένα. P. V. 5. ποικιλοτερπε σάφ᾽ ὑπνώ(σ)σα. P. Nr. 518. V. 1. τειχίζεν. P.

### 519. ΤΟΥ ΑΥΤΟΥ.

Πίομαι, ὦ Ληναῖε, πολὺ πλέον, ἢ πίε Κύκλωψ
νηδὺν ἀνδρομέων πλησάμενος κρεάων·
πίομαι. ὡς ὄφελόν γε καὶ ἔγκαρον ἐχθροῦ ἀράξας
βρέγμα Φιλιππείης ἐξέπιον κεφαλῆς,
ὅςπερ ἑταιρείοιο παρὰ κρητῆρι φόνυιο
γεύσατ', ἐν ἀκρήτῳ φάρμακα χευάμενος.

### 520. ΑΛΛΟ.

Ἀλκαίου τάφος οὗτος, ὃν ἔκτανεν ἡ πλατύφυλλος
τιμωρὸς μοιχῶν γῆς θυγάτηρ ῥάφανος.

### 521. ΑΔΕΣΠΟΤΟΝ.

εἰς Σαπφῶ παρὰ τῶν Μουσῶν, κοιμωμένης.

Οὐκ ἄρα σοί γε ὀλίζον ἐπὶ κλέος ὤπασε Μοῖρα
ἤματι, τῷ πρώτῳ φῶς ἴδες ἀελίου,
Σαπφοῖ. σοὶ γὰρ κισσὸν ἐνείμαμεν ἄφθιτον εἶμεν·
σὺν δὲ πατὴρ πάντων νεῦσεν ἐρισφάραγος·
μέλψῃ δ' ἐν πάντεσσιν ἀοίδιμος ἀμερίοισιν,
οὐδὲ κλυτᾶς φάμας ἔσσεαι ἠπεδανά.

---

Nr. 519. V. 1. π. Ἕλληνες. P. hoc loco. V. 3. ἐνκάρον. P. in marg. ἐκχερον hoc loco. V. 5. 6. desiderantur in P. hoc loco. Nr. 521. V. 3. κρίσιν ἐνοῦμεν ἄφ. P. Fort. ἄφθιτον ἄμμες. V. 5. μέλψαι. P. V. 6. ἔσσεται ἠπαγία. Br.

Digitized by Google

ἐγερθεῖσα δὲ Σαπφὼ εἶπε τάδε.

μ..... μάθες ὅς μοι ἐνύπνιον ἦλθεν ὄνειρος.

### [P] 522. ΑΔΕΣΠΟΤΟΝ.

Ἰλιάς, ὦ μέγα ἔργον, Ὀδυσσείης τε τὸ σῶφρον
γράμμα, τὸ καὶ Τροίῃ θῆκεν ἴσην Ἰθάκην,
τόν με γέροντ᾽ αὔξοιτ᾽ ἐς ἀεὶ νέον· ἡ γὰρ Ὁμήρου
σειρὴν ὑμετέρων ῥεῖται ἀπὸ στομάτων.

### 523. ΑΔΗΛΟΝ.

Καλλιόπη πολύμυθε μελισσοβότου Ἑλικῶνος,
τίκτε μοι ἄλλον Ὅμηρον, ἐπεὶ μόλεν ἄλλος Ἀχιλλεύς.

### 524. ΑΔΕΣΠΟΤΟΝ.

Ὕμνος εἰς Διόνυσον.

Μέλπωμεν βασιλῆα φιλεύϊον, εἰραφιώτην,
Ἁβροκόμην, ἀγροῖκον, ἀοίδιμον, ἀγλαόμορφον,
Βοιωτόν, βρόμιον, βακχεύτορα, βοτρυοχαίτην,
Γηθόσυνον, γονόεντα, γιγαντολέτην, γελόωντα,
Διογενῆ, δίγονον, διθυραμβογενῆ, Διόνυσον,
Εὔϊον, εὐχαίτην, εὐάμπελον, ἐγρεσίκωμον,

---

V. 7. Fort. μαῖα ἐμά, θεῖός μοι ἐν. Nr. 522. V. 3. γέροντα αὔξοιτε ἀεί. P. Nr. 524. V. 1. in marg. P. V. 6. εὐάπελον. et ἐγ[ρ]εσικωμον. P.

Digitized by Google

Ζηλαῖον, ζάχολον, ζηλήμονα, ζηλοδοτῆρα,
Ἤπιον, ἡδυπότην, ἡδύθροον, ἠπεροπῆα,
Θυρσοφόρον, θρήικα, θιασώτην, θυμολέοντα,
Ἰνδολέτην, ἱμερτὸν, ἰοπλόκον, ἰραφιώτην,
Κωμαστήν, κεραόν, κισσοστέφανον, κελαδεινόν,
Λυδόν, ληναῖον, λαθικηδέα, λυσιμέριμνον,
Μύστην, μαινόλιον, μεθυδώτην, μυριόμορφον,
Νυκτέλιον, νόμιον, νεβρώδεα, νεβριδόπεπλον,
Ξυστοβόλον, ξυνόν, ξενοδώτην, ξανθοκάρηνον,
Ὀργίλον, ὀβριμόθυμον, ὀρέσκιον, οὐρεσιφοίτην,
Πουλυπότην, πλαγκτῆρα, πολυστέφανον, πολύκωμον,
Ῥηξίνοον, ῥαδινόν, ῥικνώδεα, ῥηνοφορῆα,
Σκιρτητήν, Σάτυρον, σεμεληγενέτην, Σεμελῆα,
Τερπνόν, ταυρωπόν, τυρρηνολέτην, ταχύμηνιν,
Ὑπνοφόβην, ὑγρὸν, ὑμενήιον, ὑλήεντα,
Φηρομανῆ, φρικτόν, φιλομειδέα, φοιταλιώτην,
Χρυσόκερων, χαρίεντα, χαλίφρονα, χρυσεομίτρην,
Ψυχοπλάνην, ψεύστην, ψοφομήδεα, ψυχοδαικτήν,
Ὤριον, ὠμηστήν, ὠρεἰτροφον, ὠρεσίλοιπον.
Μέλπωμεν βασιλῆα φιλεύιον, εἰραφιώτην.

---

V. 9. Θρήϊκα, θυρσοφόρον. Br. V. 15. ξενοδότην. P. in marg. ξενιδότην. V. 22. φωρομανῆ. marg. P. V. 24. ψυχοπλανῆ. P. V. 25. ὡρινομίστην, ὡρεσσίτροφον, ὡρεσσίλοιπον. P. in marg. ὡρεσίλοιπον. — ὡρεσίδουπον. Br.

[P] 525. ΑΔΕΣΠΟΤΟΝ.

Ὕμνος εἰς Ἀπόλλωνα.

Ὑμνέωμεν Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα,
Ἄμβροτον, ἀγλαόμορφον, ἀκερσεκόμην, ἁβροχαίτην,
Βριθύνοον, βασιλῆα, βελεσσιχαρῆ, βιοδώτην,
Γηθόσυνον, γελόωντα, γιγαντολέτην, γλυκύθυμον,
Διογενῆ, Διόπαιδα, δρακοντολέτην, δαφνογηθῆ,
Εὔλαλον, εὐρυβίην, ἑκατηβόλον, ἐλπιδοδώτην,
Ζωογόνον, ζάθεον, ζηνόφρονα, ζηνοδοτῆρα,
Ἤπιον, ἡδυεπῆ, ἡδύφρονα, ἠπιόχειρα,
Θηροφόνον, θαλερόν, θελξίφρονα, θελγεσίμυθον,
Ἰαφέτην, ἱμερτόν, ἰήϊον, ἱπποκορυστήν,
Κοσμοπλόκον, Κλάριον, κρατερόφρονα, καρπογένεθλον,
Λητογενῆ, λαρόν, λυρογηθέα, λαμπετόωντα,
Μυστιπόλον, μάντιν, μεγαλήτορα, μυριόμορφον,
Νευροχαρῆ, νοερόν, νηπενθέα, νηφαλιῆα,
Ξυνοχαρῆ, ξυνόν, ξυνόφρονα, ξυνοδοτῆρα,
Ὄλβιον, ὀλβιοεργόν, Ὀλύμπιον, οὐρεσιφοίτην,
Πρηῢν, πανδερκῆ, παναπήμονα, πλουτοδοτῆρα,
Ῥυσίπονον, ῥοδόχρουν, ῥηξήνορα, ῥηξικέλευθον,
Σιγαλόεντα, σοφόν, σελαηγενέτην, σωτῆρα,
Τερψίχορον, Τιτᾶνα, τελέστορα, τιμήεντα,
Ὑμναγόρην, ὕπατον, ὑψαύχενα, ὑετόεντα,

---

Nr. 525. V. 1. obscurum an ὑμνέομεν. V. 12. λυροθηγέα. V. 21. ὑψόεντα (o supra scr.). P. ὑψήεντα corr. Br.

Φοῖβον, φοιβάζοντα, φιλοστέφανον, φρενογηθῆ,
Χρησμαγόρην, χρύσεον, χρυσόχροα, χρυσοβέλεμνον,
Ψαλμοχαρῆ, ψάλτην, ψευσίστυγα, ψυχοδοτῆρα,
Ὤκυπον, ὠκυεπῆ, ὠκύσκοπον, ὠρεσιδώτην.
Ὑμνέωμεν Παιᾶνα μέγαν θεὸν Ἀπόλλωνα.

### 526. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Κλεῖε, θεός, μεγάλοιο πύλας ἀκμῆτας Ὀλύμπου,
φρούρει, Ζεῦ, ζαθέαν αἰθέρος ἀκρόπολιν.
ἤδη γὰρ καὶ πόντος ὑπέζευκται δορὶ Ῥώμης,
καὶ χθών· οὐρανίῃ δ' οἶμος ἔτ' ἔστ' ἄβατος.

### 527. ΧΡΗΣΜΟΣ.

Τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ.
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

### 528. ΠΑΛΛΑΔΑ.

εἰς τὸν οἶκον Μαρίνης.

Χριστιανοὶ γεγαῶτες Ὀλύμπια δώματ' ἔχοντες,
ἐνθάδε ναιετάουσιν ἀπήμονες· οὐδὲ γὰρ αὐτοὺς
χώνη φόλλιν ἄγουσα φερέσβιον ἐν πυρὶ θήσει.

---

V. 23. χρημαγόρην. P. χρυσόχροαν. Ib. V. 25. ὠκύπορον. P. Nr. 526. V. 4. δ' ὅμως. P. δ' οἶμος. marg. Nr. 527. V. 2. ἀδίκων. P. ἀποτίσῃ. Ib. Nr. 528. V. 3. φόλλην. P.

Digitized by Google

[P]

### 529. ΑΔΗΛΟΝ.

ἐς κλινάριον πόρνης ἀπὸ δάφνης.

Λέκτρον ἑνὸς φεύγουσα, λέκτρον πολλοῖσιν ἐτύχθη.

### 530. ΑΔΗΛΟΝ.

εἰς ἄρχοντα ἀνάξιον.

Οὐκ ἐθέλουσα Τύχη σε προήγαγεν· ἀλλ' ἵνα δείξῃ,
ὡς ὅτι μέχρις σοῦ πάντα ποιεῖν δύναται.

### 531. ΑΔΗΛΟΝ.

εἰς Ἰσαύρους.

Αὔραις ἶσα θέουσιν, ὅθεν λάχον οὔνομα τοῦτο.

### 532. ΑΔΗΛΟΝ.

εἰς κολόκυνθον.

Εἰπέ μοι, ὦ κολόκυντε, τίνος χάριν εἰςέτι καὶ νῦν
οὐ σικύων ἐφάνη διερὸν γένος, οὐ κολοκύντων;
Ὁ κολόκυνθος πρὸς ταῦτα.
Ζηνὸς ἐπομβρήσαντος ἐπεκλύσθησαν ἄρουραι,
ἡμετέρην δ' ἀέκουσαν ἔτι κρύπτουσι γενέθλην.

---

Nr. 529. λέχος π. ἐτύχθην. Plan. Nr. 530. V. 2. μέχρι. P. ὅτι (ϑ) καὶ μέχρι. Plan. Nr. 532. V. 2. γένος ἐφάνη. P. κολοκυντων. P.

533. *ΑΔΗΛΟΝ.*

*εἰς τὸν ἀπὸ κόντου κατερχόμενον θηριομάχον.*

*Κοντὸν ἀνὴρ κατέπηξε, δέμας δ' εἰς ἠέρα ῥίψας*
*ἰδνώθη προκάρηνος, ἀνεγρομένου δ' ὑπένερθεν*
*θηρὸς ὑπερκατέβαινεν ἐϋστρέπτοισι πόδεσσιν·*
*οὐδὲ λάβεν· λαοὶ δὲ μέγ' ἴαχον· ἔκφυγε δ' ἀνήρ.*

534. *ΑΔΗΛΟΝ.*

*εἰς Ἄρτεμιν.*

*Ἄρτεμις ἱδρώουσα προάγγελός ἐστι κυδοιμοῦ.*

535. *ΑΛΛΟ.*

*Κισσῷ μὲν Διόνυσος ἀγάλλεται, αἰγίδι δὲ Ζεύς,*
*οἱ ναέται ξείνοις, ἡ δὲ πόλις ναέταις.*

536. *ΑΛΛΟ.*

*εἰς Ἀλφειόν.*

*Ἄβροχον ἐν πελάγεσσι δι' ὕδατος ἔπλεεν ὕδωρ.*

537. *ΝΕΣΤΟΡΟΣ ΝΙΚΑΕΩΣ.*

*εἰς ἡνίοχον.*

*Τίπτε με θρυλλήσαντες ἐμὴν ἀπεπαύσατ' ἀοιδήν;*
*ἱππεὺς ἱππεύειν ἐδάη, καὶ ἀοιδὸς ἀείδειν.*

---

Nr. 533. V. 2. *ἀνεγρομένοιο ὕπερθεν.* P. V. 4. *μετίαχον.* P. Nr. 535. V. 2. *ξείνους* et *ναέτας.* P. Nr. 537. V. 1. *θρυλήσαντες* et *ἐπεπαύσατ'.* P.

ἢν δέ τις ἱππεύειν δεδαὼς ἐθέλησεν ἀείδειν,
ἀμφοτέρων ἥμαρτε, καὶ ἱπποσύνης καὶ ἀοιδῆς.

538. *ΑΔΗΛΟΝ.*

ἔχει τὰ κδ γράμματα.

Ἀβροχίτων δ' ὁ φύλαξ θηροζυγοκαμψιμέτωπος.

539. *ΑΛΛΟ.*

ὅμοιον.

Ἀβρὸς δ' ἐν προχοαῖς Κύκλωψ φθογγάζετο μύρμηξ.

540. *ΑΔΗΛΟΝ.*

Μὴ ταχὺς Ἡρακλείτου ἐπ' ὀμφαλὸν εἴλεε βίβλον
τοὐφεσίου· μάλα τοι δύσβατος ἀτραπιτός.
ὄρφνη καὶ σκότος ἐστὶν ἀλάμπετον· ἢν δέ σε μύστης
εἰσαγάγῃ, φανεροῦ λαμπρότερ' ἠελίου.

541. *ΑΝΤΙΠΑΤΡΟΥ.*

Θειογένης Πείσωνι τὰ τεχνήεντα κύπελλα
πέμπει· χωροῦμεν δ' οὐρανὸν ἀμφότερα.
δοιὰ γὰρ ἐκ σφαίρης τετμήμεθα· καὶ τὸ μὲν ἡμῶν
τοὺς νοτίους, τὸ δ' ἔχει τείρεα τὰν Βορέῃ.

---

V. 3. καὶ δέ. P. Nr. 539. φθογγάζεται (ο). P. Nr. 540. V. 2. τυ et ἀτραπητός. P. Nr. 591. V. 1. διογένης (θειο). P. V. 3. ἐκ σφαιρηι (σ) τεμημεθα (τετ). P. V. 4. τὰ Βορ. P.

[P] ἀλλὰ σὺ μηκέτ' Ἄρητον ἐπίβλεπε· δισσὰ γὰρ ἀμφοῖν
μέτρα πιών, ἄθρει πάντα τὰ φαινόμενα.

542. ΚΡΙΝΑΓΟΡΟΥ.

Θάρσει καὶ τέτταρσι διαπλασθέντα προσώποις
μῦθον, καὶ τούτων γράψον ἔτι πλέοσιν·
οὔτε σὲ γὰρ λείψουσι, Φιλωνίδη, οὔτε Βάθυλλον,
τὸν μέν, ἀοιδάων, τὸν δέ, χερῶν χάριτες.

543. ΦΙΛΙΠΠΟΥ.

Θεσσαλίης εὔιππος ὁ ταυρελάτης χορὸς ἀνδρῶν,
χερσὶν ἀτευχήτοις θηρσὶν ὁπλιζόμενος,
κεντροτυπεῖς πώλους ζεῦξε σκιρτήματι ταύρων,
ἀμφιβαλεῖν σπεύδων πλέγμα μετωπίδιον.
ἀκρότατον δ' ἐς γῆν κλίνας ἅμα κεῦροπον ἅμμα
θηρὸς τὴν τόσσην ἐξεκύλισε βίην.

544. ΑΔΔΑΙΟΥ.

Ἰνδὴν βήρυλλόν με Τρύφων ἀνέπεισε Γαλήνην
εἶναι, καὶ μαλακαῖς χερσὶν ἀνῆκε κόμας·

---

V. 5. δοιά δ' ἐν. Plan. Nr. 542. V. 2. μύθων. P. Ibid. γράψα ἐνί. P. V. 3. Φιλωνίδι. P. V. 4. χορόν. P. Nr. 543. V. 3. δενδροτυπεῖς et ζεύξει. P. V. 6. τόσην ἐξεκύλησε. P.

Digitized by Google

ἠνίδε καὶ χείλη νοτερὴν πλείοντα θάλασσαν,
καὶ μαστούς, τοῖσιν θέλγω ἀνηνεμίην.
ἢν δ' ἐμοὶ ἡ φθονερὴ νεύσῃ λίθος, ὡς ἐν ἑτοίμῳ
ὥρμημαι, γνώσῃ καὶ τάχα νηχομένην.

545. ΚΡΙΝΑΓΟΡΟΥ.

Καλλιμάχου τὸ τορευτὸν ἔπος τόδε· δὴ γὰρ ἐπ' αὐτῷ
ὡνὴρ τοὺς Μουσέων πάντας ἔσεισε κάλως.
ἀείδει δ' Ἑκάλης τε φιλοξείνοιο καλιήν,
καὶ Θησεῖ Μαραθὼν οὓς ἐπέθηκε πόνους,
τοῦ σοὶ καὶ νεαρὸν χειρῶν σθένος εἴη ἀρέσθαι,
Μάρκελλε, κλεινοῦ τ' αἶνον ἴσον βιότου.

546. ΑΝΤΙΦΙΛΟΥ.

Κὴν πρύμνῃ λαχέτω με ποτὲ στιβάς, αἵ θ' ὑπὲρ αὐτῆς
ἠχεῦσαι ψακάδων τύμματι διφθερίδες,
καὶ πῦρ ἐκ μυλάκων βεβιημένον, ἥ τ' ἐπὶ τούτων
χύτρη, καὶ κενεὸς πομφολύγων θόρυβος,
καί κε ῥυπῶντ' ἐςίδοιμι διήκονον, ἠδὲ τράπεζα
ἔστω μοι πρώτη νηὸς ὕπερθε σανίς·

---

Nr. 544. V. 3. Fort. λειοῦντα. V. 5. νεύσει. P. Nr. 545. V. 2. κάλους. P. V. 3. δαέκαλητε. P. Nr. 546. V. 1. αὐτήν. P. V. 2. τύμματα. P. V. 5. καὶ κρ ὕπτοντα ιδίδοιμι (ε supra). P. ἤδη τράπεζαν. Ib. V. 6. ἐστωμαι. P. Fort. στρωτὴ νηός.

δός, λάβε, καὶ ψιθύρισμα τὸ ναυτικόν· εἶχε τύχη τις
πρώην τοιαύτη τὸν φιλόκοινον ἐμέ.

### 547. ΑΔΗΛΟΝ.

τὰ εἴκοσι τέσσαρα στοιχεῖα.

Τρηχὺν δ' ὑπερβὰς φραγμὸν ἐξήνθιζε κλώψ.

### [P] 548. ΒΙΑΝΟΡΟΣ.

Κοῦρον ἀποπλανίην ἐπιμάζιον Ἑρμώνακτα,
φεῦ, βρέφος ὡς ἀδίκως εἵλετε βουγενέες.
ἠγνοίησεν ὁ δειλὸς ἐς ὑμέας οἷα μελίσσας
ἐλθών· αἱ δ' ἔχεων ἦτε χερειότεραι.
ἀντὶ δέ οἱ θοίνης ἐνεμάξατε φοίνια κέντρα,
ὦ πικραί, γλυκερῆς ἀντίπαλοι χάριτος.

### 549. ΑΝΤΙΦΙΛΟΥ.

α. Κρηναῖαι λιβάδες, τί πεφεύγατε; ποῦ τόσον ὕδωρ;
τίς φλὸξ ἀενάους ἔσβεσεν ἠελίου;
β. δάκρυσιν Ἀγρικόλαυ τετρύμεθα· πᾶν δ' ὅσον ἡμῖν
ἦν ποτὸν ἡ κείνου διψὰς ἔχει σποδιή.

---

V. 7. εἰ καὶ τύχη. P. Nr. 548. V. 4. Fort. καὶ δ' ἐχ. V. 5. ἐναιμάξατε. P. Nr. 549. V. 3. ἀγρικόλαε τετρύμμεθα. P.

Digitized by Google

550. ΑΝΤΙΠΑΤΡΟΥ.

Κλεινὴν οὐκ ἀπόφημι· σὲ γὰρ προπάροιθεν ἔθηκαν
κλήζεσθαι πτηνοί, Τῆνε, Βορηϊάδαι.
ἀλλὰ καὶ Ὀρτυγίην εἶχε κλέος, οὔνομα δ' αὐτῆς
ἤρχετο Ῥιπαίων ἄχρις Ὑπερβορέων.
νῦν δὲ σὺ μὲν ζώεις, ἡ δ' οὐκέτι· τίς κεν ἐώλπει
ὄψεσθαι Τήνου Δῆλον ἐρημοτέρην;

551. ΑΝΤΙΦΙΛΟΥ.

* Κολχάδων δύστηνον ἐρωδιὸν ἔχθρα κολάζει·
τεῦ χάριν ὁ προδότης ὄρνις ἀεὶ λέγεται,
Φοῖβος ἐρεῖ· τεναγῖτιν ὅτ' εἰς ἅλα κῶλον ἐλαφρὸν
στήσας, ψαμμίτην δόρπον ἐθημολόγει,
δυςμενέες τότ' ἔβησαν ἐπὶ πτύλιν ἀντιπέρηθεν,
ὀψὲ διδασκόμενοι πεζοβατεῖν πέλαγος.
βάλλετε δὴ κακὸν ὄρνιν, ἐπεὶ βαρὺν ἤρατο μισθὸν
ἐκ δηΐων, κόχλους καὶ βρύον, ὁ προδότης.

552. ΑΝΤΙΠΑΤΡΟΥ.

Καὶ Μακεδὼν ὁ σίδηρος ἐν ἄορι, καὶ τὰ πρὸς ἀλκὴν
τῆς ἀπ' Ἀλεξάνδρου χειρὸς ἐπιστάμενος,

---

Nr. 550. V. 1. κείνην. P. V. 2. Δῆλε. in marg. Τῆνε. P. V. 5. ζωης (ει above). P. Nr. 551. V. 2. Fort. τεῦ δὲ χάριν προδ. V. 3. τ'εναγειτον. P. V. 4. ψαμμείτην. P. V. 6. πεζοβατεῖ. P. V. 8. κόλχους καὶ βριων. P.

Digitized by Google

*Πείσων, σὴν ποθέων ἱκόμην χέρα· τοῦτο δὲ φωνῶ·*
*Χαίρων δεξιτερὴν εὗρον ὀφειλομένην.*

553. *ΑΛΛΟ.*

*Λευκάδος ἀντί με Καῖσαρ, ἰδ' Ἀμβρακίης ἐριβώλου,*
*Θυρρείου τε πέλειν, ἀντί τ' Ἀνακτορίου,*
*Ἄργεος Ἀμφιλόχου τε, καὶ ὁππόσα ῥαίσατο κύκλῳ*
*ἄστε' ἐπιθρώσκων δουρομανὴς πόλεμος,*
*εἵσατο Νικόπολιν, θείην πόλιν· ἀντὶ δὲ νίκης*
*Φοῖβος ἄναξ ταύτην δέχνυται Ἀκτιάδος.*

[P] 554. *ΑΡΓΕΝΤΑΡΙΟΥ.*

*Λάθριος Ἡράκλεια καλῶν ὑπὸ χείλεσιν ἕλκεις*
*κεῖνο· πάλαι κατὰ σοῦ τοῦτ' ἐβόησε πόλις.*
*πῶς ἔτλης αἶσχος ῥέξαι κακόν; ἢ σε βιαίως*
*εἵλκυσέ τις θαλερῶν δραξάμενος πλοκάμων;*
*ἢ σοὶ τοὔνομα τερπνὸν ἀφ' Ἡρακλῆος ἐχούσῃ,*
*μάχλε, φιλεῖν ἥβην κέκριται ἠϊθέων;*

555. *ΚΡΙΝΑΓΟΡΟΥ.*

*Νῆσον, τὴν εἰ χ' οἵ με περιγράψαντες ἔχουσιν*
*μετρῆσαι βαίην, ἑπτὰ μόνον σταδίους,*

---

Nr. 552. V. 3. *φωνέω.* Br. Nr. 544. V. 1. *καλῶς.* P. V. 3. bis legitur; primum *αἶσχος* omissum. P. Nr. 555. V. 1. *εἰ καί με.* P.

Digitized by Google

ἔμπης καὶ τίκτουσαν ἐπ' αὔλακι πῖαρ ἀρούρης
ὄψει, καὶ παντὸς κάρπιμον ἀκροδρύου,
καὶ πολλοῖς εὔαγρον ἐπ' ἰχθύσι, καὶ ὑπὸ μαίρῃ
εὐάνεμον, λιμένων τ' ἤπιον ἀτρεμίῃ,
ἀγχόθι Κορκύρης Φαιηκίδος. ἀλλὰ γελᾶσθαι
* τῶι ἐπεωρίσθην, τοῦτ' ἐθέμην ὄνομα.

556. ΖΩΝΑ.

Νύμφαι ἐποχθίδιαι, Νηρηΐδες, εἴδετε Δάφνιν
χθιζόν, ἐπαχνιδίαν ὡς ἀπέλουσε κόνιν,
ὑμετέραις λιβάδεσσιν ὅτ' ἔνθορε σειριόκαυτος,
ἠρέμα φοινιχθεὶς μᾶλα παρηϊάδων.
εἴπατέ μοι, καλὸς ἦν; ἢ ἐγὼ τράγος οὐκ ἄρα κνάμαν
μοῦνον * ἐγνώθην, ἀλλ' ἔτι καὶ κραδίαν;

557. ΑΝΤΙΠΑΤΡΟΥ.

Ὁ σταδιεὺς Ἀρίης ὁ Μενεκλέος οὐ κατελέγχει
Περσέα, σὸν κτίστην, Ταρσὲ Κίλισσα πόλι.
τοῖοι γὰρ παιδὸς πτηνοὶ πόδες· οὐδ' ἂν ἐκείνῳ
οὐδ' αὐτὸς Περσεὺς νῶτον ἔδειξε θέων.

---

V. 3. ἐπ' αὔλακα π. ἀρότρου. P. V. 5. ὑπ' ἰχθύσι. P. μαίρην. Br. Fort. ἐπ' ἰχθύσιν, ἠδ' ὑπὸ μαίρῃ. V. 8. τῷ ἔπι ὡρίσθην. Br. Nr. 556. V. 1. δινηΐδες. marg. P. V. 2. κόμην. marg. κόνιν. P. V. 4. μάλα παρηΐδα. P. V. 6. μοῦνον ἐπεγνώθην. Br. Fort. ἐγεννάθην c. Schaefero. — κραδίην. P. Nr. 557. V. 2. τὸν κτ. P.

ἦ γὰρ ἐφ' ὑσπλήγων, ἢ τέρματος εἶδέ τις ἄκρου
ἠΐθεον, μέσσῳ δ' οὔ ποτ' ἐνὶ σταδίῳ.

558. ΕΡΥΚΙΟΥ.

Ὁ τράγος ὁ Κλήσωνος ὅλαν διὰ πάννυχον ὄρφναν
αἶγας ἀκοιμάτους θῆκε φριμασσόμενος· —
ὀδμὰ γάρ μιν ἔτυψε λύκου χιμαροσφακτῆρος
τηλόθι πετραίαν αὖλιν ἀνερχομένου· —
μέσφα κύνες κοίτας ἀνεγέρμονες ἐπτοίασαν
θῆρα μέγαν. τραγίνας δ' ὕπνος ἔμυσε κόρας.

[P] 559. ΚΡΙΝΑΓΟΡΟΥ.

Πλοῦς μοι ἐπ' Ἰταλίην ἐντύνεται, ἐς γὰρ ἑταίρους
στέλλομαι, ὧν ἤδη δηρὸν ἄπειμι χρόνον.
διφέω δ' ἡγητῆρα περίπλοον, ὅς μ' ἐπὶ νήσους
Κυκλάδας, ἀρχαίην τ' ἄξει ἐπὶ Σχερίην.
σύν τί μοι ἀλλά, Μένιππε, λάβευ φίλος, ἵστορα κύκλον
γράψας, ὦ πάσης ἴδρι γεωγραφίης.

560. ΤΟΥ ΑΥΤΟΥ.

Ῥιγηλὴ πασῶν ἔνοσι χθονός, εἴτε σε πόντου,
εἴτ' ἀνέμων αἴρει ῥεῦμα τιναssόμενον,

Nr. 558, V, 1. πάννυχος. P, V. 3. χιμαρόσφακτος. P. V. 4. τηλόθι. P. V. 6. τραγίνοr. P. Nr. 559. V. 3. δηφέω. P, Nr. 560. V. 1. ἐνοσίχθονος. P, V. 2. ἐῤῥει. P,

Digitized by Google

*οἰκία μοι ῥύεν νεοτευχέα· δεῖμα γὰρ οὔπω*
*ἄλλο τόσον γαίης οἶδ᾽ ἐλελιζομένης.*

### 561. *ΦΙΛΙΠΠΟΥ.*

*Τίς σε πάγος δυςέρημος, ἀνήλιος, ἐξέθρεψεν*
*Βοῤῥαίου Σκυθίης, ἄμπελον ἀγριάδα,*
*ἢ Κελτῶν νιφοβλῆτες ἀεὶ κρυμώδεες Ἄλπεις,*
*τῆς τε σιδηροτόκου βῶλος Ἰβηριάδος;*
*ἢ τοὺς ὀμφακορᾶγας ἐγείναο, τοὺς ἀπεπάντους*
*βότρυας, οἳ στυφελὴν ἐξέχεον σταγόνα.*
*δίζημαι, Λυκόεργε, τεὰς χέρας, ὡς ἀπὸ ῥίζης*
*κλήματος ὠμοτόκου βλαστὸν ὅλον θερίσῃς.*

### 562. *ΚΡΙΝΑΓΟΡΟΥ.*

*Ψιττακὸς ὁ βροτόγηρυς, ἀφεὶς λυγοτευχέα κύρτον,*
*ἤλυθεν ἐς δρυμοὺς ἀνθοφυεῖ πτέρυγι.*
*αἰεὶ δ᾽ ἐκμελετῶν ἀσπάσμασι Καίσαρα κλεινόν,*
*οὐδ᾽ ἀν᾽ ὄρη λήθην ἤγαγεν οὐνόματος.*
*ἔδραμε δ᾽ ὠκυδίδακτος ἅπας οἰωνός, ἐρίζων*
*τίς φθῆναι δύναται δαίμονι χαῖρ᾽ ἐνέπειν.*

---

V. 4. *εἴδελελ.* P. Nr. 561. V. 3. *νιφοβλῆτος* (ε). P. *κρυμωδεας* (ε). Ib.
V. 5. *ὀμφοκόραγας* (ω) *ἐγείνατο τ. ἐπὶ πάντους* (*ἀπεπάντους*). P. V. 8. *θερισεις* (ηι). P.
Nr. 562. V. 6. *δαίμονι:* in marg. *Καίσαρι.* P.

Ὀρφεὺς θῆρας ἔπεισεν ἐν οὔρεσιν· εἰς δὲ σέ, Καῖσαρ,
    νῦν ἀκέλευστος ἅπας ὄρνις ἀνακρέκεται.

563. *ΛΕΩΝΙΔΑ.*

Τὸν φιλοπωριστὴν Δημόκριτον ἤν που ἐφεύρῃς,
    ὤνθρωπ', ἄγγειλον τοῦτο τὸ κοῦφον ἔπος,
ὡς ἡ λευκοόπωρος ἐγὼ καὶ ἐφώριος ἤδη
    κείνῳ συκοφορῶ τὰς ἀπύρους ἀκόλους·
σπευσάτω, οὐκ ὀχυρὴν γὰρ ἔχω στάσιν, εἴπερ ὀπώρην
    ἀχράντου χρῄζει δρέψαι ἀπ' ἀκρέμονος.

[P] 564. *ΝΙΚΙΟΥ.*

Αἰόλον, ἱμεροθαλὲς ἔαρ φαίνουσα, μέλισσα
    ξουθά, ἐφ' ὡραίοις ἄνθεσι μαινομένα,
χῶρον ἐφ' ἡδύπνοον πωτωμένα, ἔργα τίθεσσο,
    ὄφρα τεὸς πλήθῃ κηροπαγὴς θάλαμος.

565. *ΚΑΛΛΙΜΑΧΟΥ.*

Ἦλθε Θεαίτητος καθαρὴν ὁδόν· εἰ δ' ἐπὶ κισσὸν
    τὸν τεὸν οὐχ αὕτη, Βάκχε, κέλευθος ἄγει,
ἄλλων μὲν κήρυκες ἐπὶ βραχὺν οὔνομα καιρὸν
    φθέγξονται, κείνου δ' Ἑλλὰς ἀεὶ σοφίαν.

---

V 7. αἶσαι δὲ καῖσαρ. P. V. 8. ἀκέλευτος. P. Nr. 563. V. 3. λευκρπρωιος et ἐφώδιος. P. V. 6. ἀκρήτου. P. Nr. 564. V. 1. ἡμεροθαλές. Plan. V. 2. ἐσφορέους. P. in marg. ῥωραίους. τιθεύσω. Ib. Nr. 565. V. 1. κισσοῦ. P.

566. ΤΟΥ ΑΥΤΟΥ.

Μικρή τις, Διόνυσε, καλὰ πρήσσοντι ποιητῇ
ῥῆσις· ὁ μὲν νικῶ φησὶ τὸ μακρότατον.
ᾧ δὲ σὺ μὴ πνεύσῃς ἐνδέξιος, ἤν τις ἔρηται,
πῶς ἔβαλες; φησί, σκληρὰ τὰ γιγνόμενα.
τῷ μερμηρίξαντι τὰ μὴνδικα τοῦτο γένοιτο
τοὔπος· ἐμοὶ δ', ὦναξ, ἡ βραχυσυλλαβίη.

567. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἡ καὶ ἔτ' ἐκ βρέφεος κοιμωμένη Ἀντιοδημὶς
πορφυρέων, Παφίης νοσσίς, ἐπὶ κροκύδων,
ἡ τακεραῖς λεύσσουσα κόραις μαλακώτερον ὕπνου,
Λύσιδος ἀλκυών, τερπνὸν ἄθυρμα Μέθης,
ὑδατίνους φορέουσα βραχίονας, ᾗ μόνῃ ὀστοῦν
οὐ λάχεν, (ἦν γὰρ ὅλη τοὐν ταλάροισι γάλα)
Ἰταλίην ἤμειψεν, ἵνα πτολέμοιο καὶ αἰχμῆς
ἀμπαύσῃ Ῥώμην μαλθακίνῃ χάριτι.

568. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Αὖλιν Ἀρισταγόρεω καὶ κτήματα μυρίος ἀρθείς,
Νεῖλε, μετ' εἰκαίης ἐξεφόρησας ὁδοῦ.
αὐτὸς δ' οἰκείης ὁ γέρων ἐπενήξατο βώλου
ναυηγός, πάσης ἐλπίδος ὀλλυμένης,

---

Nr. 566. V. 6. ἐμοὶ δέ. P.

Digitized by Google

γείτονος ἡμίθραυστον ἐπ' αὔλιον, ὦ πολύς, εἶπας,
μόχθος ἐμός, πολιῆς τ' ἔργα περισσὰ χερός,
ὕδωρ πάντ' ἐγένεσθε· τὸ δὲ γλυκὺ τοῦτο γεωργοῖς
κῦμ' ἐπ' Ἀρισταγόρην ἔδραμε πικρότατον.

### 569. ΕΜΠΕΔΟΚΛΕΟΥΣ.

Ἤδη γάρ ποτ' ἐγὼ γενόμην κοῦρός τε κόρη τε,
θάμνος τ', οἰωνός τε καὶ ἐξ ἁλὸς ἔμπυρος ἰχθύς.

* *

ὦ φίλοι, οἳ μέγα ἄστυ κατὰ ξανθοῦ Ἀκράγαντος
ναίετ' ἀν' ἄκρα πόλιος, ἀγαθῶν μελεδήμονες ἔργων,
[P] χαίρετ'· ἐγὼ δ' ὔμμιν θεὸς ἄμβροτος, οὐκέτι θνητὸς
πωλεῦμαι μετὰ πᾶσι τετιμένος, ὥςπερ ἔοικεν,
ταινίαις τε περίστεπτος στέφεσίν τε θαλείοις.

### 570. ΦΙΛΟΔΗΜΟΥ.

Ξανθώ, κηρόπλαστε, μυρόχροε, μουσοπρόσωπε,
εὔλαλε, διπτερύγων καλὸν ἄγαλμα Πόθων,
ψῆλόν μοι χερσὶ δροσιναῖς μύρον· ἐν μονοκλίνῳ
δεῖ με λιθοδμήτῳ δή ποτε πετριδίῳ
εὕδειν ἀθανάτως πουλὺν χρόνον· ᾆδε πάλιν μοι,
Ξανθάριον, ναί, ναί, τὸ γλυκὺ τοῦτο μέλος.

---

Nr. 568. V. 7. [πᾶν. P. γεωγος. P. Nr. 569. V. 4. πόληος. P. V. 5. ὑμῖν. P. V. 7. περίστρεπτος. P. Nr. 570. V. 1. ξανθοκηρόπλαστε. P. V. 3. ψίλον. P. V. 4. δὲ ποτι. P.

οὐκ ἀΐες, ὤνθρωφ', ὁ τοκογλύφος; ἐν μονοκλίνῳ
δεῖ σὲ * βίον ἀεί, δύςμορε, πετριδίῳ.

571. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τοὺς ἐννέα λυρικούς.

Ἔκλαγεν ἐκ Θηβῶν μέγα Πίνδαρος· ἔπνεε τερπνὰ
ἡδυμελιφθόγγου μοῦσα Σιμωνίδεω.
λάμπει Στησίχορός τε καὶ Ἴβυκος. ἦν γλυκὺς Ἀλκμάν·
λαρὰ δ' ἀπὸ στομάτων φθέγξατο Βακχυλίδης.
πειθὼ Ἀνακρείοντι συνέσπετο· ποικίλα δ' αὐδᾷ
Ἀλκαῖος * κύκνω Λέσβιος Αἰολίδι.
ἀνδρῶν δ' οὐκ ἐνάτη Σαπφὼ πέλεν, ἀλλ' ἐρατειναῖς
ἐν Μούσαις δεκάτη Μοῦσα καταγράφεται.

572. ΛΟΥΚΙΛΛΙΟΥ.

„Μουσάων Ἑλικωνιάδων ἀρχώμεθ' ἀείδειν"
ἔγραφε ποιμαίνων, ὡς λόγος, Ἡσίοδος.
„Μῆνιν ἄειδε θεά," καί, „Ἄνδρα μοι ἔννεπε Μοῦσα"
εἶπεν Ὁμηρείῳ Καλλιόπη στόματι.
κἀμὲ δὲ δεῖ γράψαι τι προοίμιον. ἀλλὰ τί γράψω,
δεύτερον ἐκδιδόναι βιβλίον ἀρχόμενος;

---

V. 7, οὐ καὶ εἰς. P. οτοκουλυφος. P. V. 8. σ' ἄβιον ναίειν. Br. c. Salmas. Nr. 571. V. 3. ἀλκαρ. P. V. 5, ἀνακρέοντι. P. V. 6. κιθάρᾳ. Br. Nr. 572. V. 5. καί με. P.

Μοῦσαι Ὀλυμπιάδες, κοῦραι Διός, οὐκ ἂν ἐσώθην,
    εἰ μή μοι Καῖσαρ χαλκὸν ἔδωκε Νέρων.

### 573. ΑΜΜΙΑΝΟΥ.

Μὴ σύ γ' ἐπ' ἀλλοτρίης, ὤνθρωφ', ἵζοιο τραπέζης,
    ψωμὸν ὀνείδειον γαστρὶ χαριζόμενος,
ἄλλοτε μὲν κλαίοντι καὶ ἐστυγνωμένῳ ὄμμα
    συγκλαίων, καὖθις σὺν γελόωντι γελῶν,
[P] οὔτε σύ γε κλαυθμοῦ κεχρημένος, οὔτε γέλωτος,
    καὶ κλαιωμιλίη, καὶ γελοωμιλίη.

### 574. ΑΔΕΣΠΟΤΟΝ.

Ἡμάξευσα καὶ αὐτὸς ὁ τρισδύστηνος Ἀναξ....
    τοῦτον δύσζωον κοὐ βίοτον βίοτον.
οὐ μὴν πολλὸν ἐπὶ χρόνον ἤλασα· λὰξ δὲ πατήσας
    λυσσώδη ζωήν, ἤλυθον εἰς Ἀΐδεω.

### 575. ΦΙΛΙΠΠΟΥ.

Οὐρανὸς ἄστρα τάχιον ἀποσβέσει, ἢ τάχα νυκτὰς
    ἠέλιος φαιδρὴν ὄψιν ἀπεργάσεται,
καὶ γλυκὺ νᾶμα θάλασσα βροτοῖς ἀρυτήσιμον ἕξει,
    καὶ νέκυς εἰς ζωῶν χῶρον ἀναδράμεται,

---

Nr. 573. V. 1. ὤνθρωπε ἵζ. P. V. 3. ἐστυγωμένω. P. V. 4. συγγελόωντι. P. V. 5. κλαυθμοῖο. Plan. οὐδὲ γελ. P. Nr. 574. V. 1. Ἀγάναξ. Plan. Ἀγάνωρ. Scalig. V. 2. κἀβίοτον. Plan. V. 3. ἔτι. P. Nr. 575. V. 1. οὐρανόν. P. V. 3. ἀροτήσιμον. P.

ἢ ποτὲ Μαιονίδαο βαθυκλεὲς οὔνομ' Ὁμήρου
    λήθη γηραλέων ἁρπάσεται σελίδων.

### 576. ΝΙΚΑΡΧΟΥ.

Παρθένε Τριτογένεια, τί τὴν Κύπριν ἄρτι με λυπεῖς,
    τοὐμὸν δ' ἁρπαλέᾳ δῶρον ἔχεις παλάμῃ;
μέμνησαι τὸ πάροιθεν ἐν Ἰδαίοις σκοπέλοισιν
    ὡς Πάρις οὐ σὲ καλήν, ἀλλ' ἔμ' ἐδογμάτισεν.
σὸν δόρυ καὶ σάκος ἐστίν· ἐμὸν δὲ τὸ μῆλον ὑπάρχει·
    ἀρκεῖ τῷ μήλῳ κεῖνος ὁ πρὶν πόλεμος.

### 577. ΠΤΟΛΕΜΑΙΟΥ.

Οἶδ' ὅτι θνατὸς ἐγὼ καὶ ἐφάμερος· ἀλλ' ὅταν ἄστρων
    μαστεύω πυκινὰς ἀμφιδρόμους ἕλικας,
οὐκέτ' ἐπιψαύω γαίης ποσίν, ἀλλὰ παρ' αὐτῷ
    Ζανὶ θεοτροφίης πίμπλαμαι ἀμβροσίης.

### 578. ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

εἰς τὰ κωνικὰ Ἀπολλωνίου.

Ὧν ἥδε βίβλος ἔνδον ὠδίνω, φίλε,
βαθὺς χαρακτὴρ καὶ περισκελὴς ἄγαν.
δεῖταί κολυμβητοῦ δὲ πάντως Δηλίου.

---

V. 5. βαθὺ κλέος. P. Nr. 576. V. 2. τοὐμὸν ἁρπάξασα δ. P. ἁρπάξασα δ' ἐμὸν δ. Plan. Nr. 577. V. 3. ποσὶ γαίης. P.

εἰ δ' αὖ κυβιστήσει τις εἰς ἐμοὺς μυχοὺς,
καὶ πᾶν μεταλλεύσειεν ἀκριβῶς βάθος,
γεωμετρῶν τὰ πρῶτα λήψεται γέρα,
σοφὸς δ' ἀναμφίλεκτος εἷς κριθήσεται.
τούτων δὲ μάρτυς ἐγγυητής τε Πλάτων.

579. ΤΟΥ ΑΥΤΟΥ.

Σχῆμα παλαιοτάτων ἀνδρῶν κηρύκιον ἄθρει,
Θρινακίης οἰκιστὰ Κορίνθιε, ὅς ποτ' ἔπινες
ἀμφίβόητα ῥέεθρα Συρηκοσίης Ἀρεθούσης.

[P] 580. ΑΔΗΛΟΝ.

Εἰς τοὺς Ῥωμαίων μῆνας.

Μὴν Ὑπάτων πρῶτος. ὁ δὲ δεύτερος αὔλακα τέμνει.
ὁ τρίτος Αὐσονίων γενεὴν ἐπὶ μῶλον ἐγείρει.
τέτρατος ἀγγέλλει ῥοδοδάκτυλον εἴαρος ὥρην.
εἰμὶ ῥόδων γενέτης. καὶ ἐγὼ κρίνα λευκὰ κομίζω.
οὗτος ἀμαλλοδέτης. τὰ δ' ἐμὰ πτερὰ Νεῖλον ἐγείρει.
οὗτος ἐρισταφύλῳ πεφιλημένος ἔπλετο Βάκχῳ.
τεύχω δ' οἶνον ἐγὼ μελιηδέα, χάρμα βροτοῖσι.
δαῖτα φέρω χαρίεσσαν ἐς οὔνομα φωτὸς ἑκάστου.
φορμίζειν δεδάηκα καὶ ὑπνώοντας ἐγείρειν.

---

Nr. 578. V. 7. εἰςκριθήσεται. P. Nr. 579. V. 2. θριδακίης. P. Nr. 580. V. 1. Fort. Πρῶτος μὴν ὑπάτων.

Digitized by Google

## 581. ΑΔΗΛΟΝ.

*Εἰς τὸ μονημέριον, ἤγουν κυνηγέσιον, ἐν ᾧ ἀγωνίζονται ἄνδρες πρὸς θῆρας.*

Τοξότα, Πιερίδων μεδέων, ἑκατηβόλε Φοῖβε,
εἰπὲ κασιγνήτῃ, κρατεροὺς ἵνα θῆρας ἐγείρῃ,
ὅσσον ἐπιψαῦσαι μερόπων δέμας, ὅσσον ἀῦσαι
λαῶν τερπομένων ἱερὸν στόμα· μηδὲ νοήσω,
Ζηνὸς μειλιχίοιο λαχὼν θρόνον, ἀνέρος οἶτον.

## 582. ΑΔΗΛΟΝ.

*εἰς τοὺς Ἴβηρας καὶ Ἀρμενίους, ὅτε ὑπετάγησαν τῷ τῶν Ῥωμαίων βασιλεῖ.*

Ἀρμενίων τάδε φῦλα καὶ ἄλκιμον ἔθνος Ἰβήρων,
Χριστοῦ ζῆλον ἔχοντες ἑκούσιον ἐς ζυγὸν ἦλθον,
θεσμῷ ὑποδρήσσοντες ἀνικήτων βασιλήων.

## 583. ΑΔΕΣΠΟΤΟΝ.

*εἰς Θουκυδίδην.*

Ὦ φίλος, εἰ σοφὸς εἶ, λάβε μ' ἐς χέρας· εἰ δέ γε πάμπαν
νῆϊς ἔφυς Μουσέων, ῥίψον ἃ μὴ νοέῃς.
εἰμὶ γὰρ οὐ πάντεσσι βατός· παῦροι δ' ἀγάσαντο
Θουκυδίδην Ὀλόρου, Κεκροπίδην τὸ γένος.

---

Nr. 583. V. 1. Fort. εἰ δὲ σὺ σεμνῶν ν. V. 2. νοέεις. Plan.

### 584. ΑΛΛΟ.

*Εἰς ἄγαλμα Εὐνόμου τοῦ κιθαρῳδοῦ ἑστῶτος ἐν Δελφοῖς, ἔχοντος ἐπὶ τῇ κιθάρᾳ καὶ τὸν μουσικὸν τέττιγα.*

Εὔνομον, ὤπολλον, σὺ μὲν οἶσθά με, πῶς ποτ' ἐνίκων
    Σπάρτιν ὁ Λοκρὸς ἐγώ· πευθομένοις δ' ἐνέπω.
αἰόλον ἐν κιθάρᾳ νόμον ἔκρεκον· ἐν δὲ μεσεύσᾳ
    ᾠδᾷ μοι χορδὰν πλᾶκτρον ἀπεκρέμασεν.
καί μοι φθόγγον ἑτοῖμον ὁπανίκα καιρὸς ἀπῄτει,
    εἰς ἀκοὰς ῥυθμῶν τὤτρεκὲς οὐκ ἔμενεν.
καί τις ἀπ' αὐτομάτου κιθάρας ἐπὶ πῆχυν ἐπιπτὰς
    τέττιξ ἐπλήρου τοὐλλιπὲς ἁρμονίας.
νεῦρα γὰρ ἓξ ἐτίνασσον· ὅθ' ἑβδομάτας δὲ μελοίμαν
    χορδᾶς, τὰν τούτου γῆρυν ἐκιχράμεθα.
[P] πρὸς γὰρ ἐμὰν μελέταν ὁ μεσαμβρινὸς οὔρεσιν ᾠδὸς
    τῆνο τὸ ποιμενικὸν φθέγμα μεθηρμόσατο,
καὶ μὲν ὅτε φθέγγοιτο, σὺν ἀψύχοις τύκα νευραῖς
    τῷ μεταβαλλομένῳ συμμετέπιπτε θρόῳ.
τοὔνεκα συμφώνῳ μὲν ἔχω χάριν· ὃς δὲ τυπωθεὶς
    χάλκεος ἁμετέρας ἕζεθ' ὑπὲρ κιθάρας.

---

Nr. 584. V. 2. σπάρτην ὁ λωκρος. P. V. 3. μεσοῦσα. P. V. 6. ῥυθμόν. P. Fort. οὐκ ἔμολεν. V. 7. ἐπιπτὰς cum Schaefero. ἐπιστάς. P. V. 8. τὤτρεκὲς ἁρμ. P. V. 9. ἐξετίνασσον ἵτ' ἑβ. P. V. 10. τούτων. P. V. 15. συμφωνῶν. P. ἐγὼ χ. P. V. 16. ἐξεθ'. P.

Digitized by Google

585. ΑΔΗΛΟΝ.

εἰς μισσώριον ἔχον Ἀφροδίτην καὶ Ἔρωτας.

Τέσσαρές εἰσιν Ἔρωτες. ὃ μὲν στέφος ἀμφικαλύπτει
μητρὸς ἑῆς· ὃ δὲ χεῖλος ἔχει ποτὶ πίδακι μαζοῦ·
οἳ δὲ δύω παίζουσι παρ' ἴχνεσιν· εἷμα δὲ κρύπτει
μηρῷ γείτονα χῶρον ὅλης γυμνῆς Ἀφροδίτης.

586. ΚΩΜΗΤΑ ΧΑΡΤΟΥΛΑΡΙΟΥ.

α. Εἰπὲ νομεῦ, τίνος εἰσὶ φυτῶν στίχες; β. αἱ μὲν ἐλαῖαι,
Παλλάδος· αἱ δὲ πέριξ ἡμερίδες, Βρομίου.
α. καὶ τίνος οἱ στάχυες; β. Δημήτερος. α. ἄνθεα ποίων
εἰσὶ θεῶν; β. Ἥρης καὶ ῥοδέης Παφίης.
Πὰν φίλε, πηκτίδα μίμνε τεοῖς ἐπὶ χείλεσι σύρων,
Ἠχὼ γὰρ δήεις τοῖσδ' ἐνὶ θειλοπέδοις.

587. ΕΥΤΟΛΜΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

Βάκχῳ καὶ Νύμφαις μέσος ἵσταμαι· ἐν δὲ κυπέλλοις
αἰεὶ τόνδε χέω τὸν παραλειπόμενον.

588. ΑΛΚΑΙΟΥ.

Οἷον ὁρῇς, ὦ ξεῖνε, τὸ χάλκεον εἰκόνι λῆμα
Κλειτομάχου, τοίαν Ἑλλὰς ἐσεῖδε βίαν;

---

Nr. 585. V. 4. Ἀφροδίτας. P. Nr. 586. V. 4. Ἶρις καί. P. V. 5 πάμφιλε. P. Nr. 588. V. 1. τὸν χάλ. P.

ἄρτι γὰρ αἱματόεντα χερῶν ἀπελύετο πυγμᾶς
ἔντεα, καὶ γοργῷ μάρνατο παγκρατίῳ·
τὸ τρίτον οὐκ ἐκόνισσεν ἐπωμίδας, ἀλλὰ παλαίσας
ἀπτώς, τοὺς τρισσοὺς Ἰσθμόθεν εἷλε πόνους.
μοῦνος δ' Ἑλλάνων τόδ' ἔχει γέρας· ἑπτάπυλοι δὲ
Θῆβαι, καὶ γενέτωρ ἐστέφεθ' Ἑρμοκράτης.

589. ΑΔΗΛΟΝ.

Εἰς ἄγαλμα Ἥρας θηλαζούσης τὸν Ἡρακλέα.

Αὐτὴν μητρυιὴν τεχνήσατο· τοὔνεκα μαζὸν
εἰς νόθον ὁ πλάστης οὐ προσέθηκε γάλα.

[P] 590. ΑΔΗΛΟΝ.

Εἰς ἄγαλμα Ἡφαίστου καὶ Ἀθηνᾶς καὶ Ἐρεχθέως.

Ἡ τέχνη συνάγειρεν ἃ μὴ φύσις, εἶπεν ὁ πλάστης,
μῆτερ νόσφι τόκων, νυμφίε νόσφι γάμων.

591. ΑΔΗΛΟΝ.

Εἰς ἄγαλμα Ἄρεος καὶ Ἀφροδίτης.

Ἄρεα καὶ Παφίην ὁ ζωγράφος εἰς μέσον οἴκου
ἀμφιπεριπλέγδην γέγραφεν ἀμφοτέρους·
ἐκ θυρίδος δὲ μολὼν Φαέθων πολυπάμφαος αἴγλῃ
ἔστη ἀμηχανόων ἀμφοτέρους σκοπέων.

---

V. 3. ἄρτι παρ'. P. V. 5. παλεύσας. P. Nr. 591. V. 3. αἴγῃ. P. V. 4. σκοπήσας. P.

Ἥλιος βαρύμηνις ἕως τίνος; οὐδ' ἐπὶ κηροῦ
ἤθελεν ἀψύχου τὸν χόλον ἐξελάσαι.

592. ΑΔΗΛΟΝ.

Εἰς ἀσπίδα περιέχουσαν τὴν γένναν τοῦ Σωτῆρος.

Ὦ πόσον εὐήθης ὁ ζωγράφος, ὅττι χαράσσει
κοίρανον εἰρήνης ἀσπίδι τικτόμενον.

593. ΑΔΗΛΟΝ.

Εἰς ἄγαλμα Μηδείας.

Οἶκτον ὁμοῦ καὶ λύσσαν ἐτήτυμον ἔνθεος ἀνὴρ
μαρμάρῳ ἐγκατέμιξε, βιαζομένην δ' ὑπὸ τέχνης
λαϊνέην Μήδειαν ὅλης ἔμνησεν ἀνίης.

594. ΑΛΛΟ.

Ζωγράφε τὰν μορφὰν ἀπομάξας, αἴθ' ἐνὶ κηρῷ
καὶ ψυχὰν ἐδάης Σωκρατικὰν βαλέειν.

595. ΑΔΗΛΟΝ.

Εἰς εἰκόνα Ἀπελλοῦ.

Αὐτὸς ἑαυτὸν ἐν εἰκόνι γράψεν ἄριστος Ἀπελλῆς.

---

V. 5. κήρῃ. P. Nr. 595. Fort. ἑαυτ. ἄριστος ἐν εἰκόνι γρ. Ἀπ.

596. ΑΛΛΟ.

Εἰς εἰκόνα Χείλωνος.

Τόνδε δοριστέφανος Σπάρτα Χείλωνα φύτευσεν,
ὃς τῶν ἑπτὰ σοφῶν πρῶτος ἔφυ σοφίᾳ.

597. ΚΩΜΗΤΑ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Νωθρὸς ἐγὼ τελέθεσκον ἀπ᾽ ἰξύος ἐς πόδας ἄκρους,
τῆς πρὶν ἐνεργείης δηρὸν ἀτεμβόμενος,
ζωῆς καὶ θανάτοιο μεταίχμιον, Ἄϊδι γείτων,
μοῦνον ἀναπνείων, τἄλλα δὲ πάντα νέκυς.
ἀλλὰ σοφός με Φίλιππος, ὃν ἐν γραφίδεσσι δοκεύεις,
ζώγρησεν, κρυερὴν νοῦσον ἀκεσσάμενος·
αὖθις δ᾽ Ἀντωνῖνος, ἅπερ πάρος, ἐν χθονὶ βαίνω,
καὶ ποσὶ πεζεύω, καὶ ὅλος αἰσθάνομαι.

598. ΘΕΟΚΡΙΤΟΥ.

Τὸν τῶ Ζανὸς ὅδ᾽ ὔμμιν υἱὸν ὠνὴρ,
τὸν λειοντομάχαν, τὸν ὀξύχειρα,
[¶] πρᾶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος συνέγραψεν ὤκ Καμείρου,
χὤσσους ἐξεπόνασεν εἶπ᾽ ἀέθλους·
τοῦτον δ᾽ αὐτὸν ὁ δᾶμος, ὡς σάφ᾽ εἰδῇς,

---

Nr. 597. V. 8. ὅλως. P. Fort. καί ῥ᾽ ὅλος. Nr. 598. V. 1. τῶ ζηνὸς ὅδ᾽ ὑμῖν. P. V. 2. λεοντομάχαν. P. V. 3. ἐτ᾽ ἄνωθεν. P. V. 4. ὠκαμίρου. P.

ἕστασ' ἐνθάδε, χάλκεον ποήσας,
πολλοῖς μησὶν ὄπισθε κὴνιαυτοῖς.

599. ΤΟΥ ΑΥΤΟΥ.

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον, ὦ ξένε,
σπουδᾷ, καὶ λέγ', ἐπὰν ἐς οἶκον ἔνθῃς·
Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ,
τῶν πρόσθ' εἴ τι περισσὸν ᾠδοποιῶν.
προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

600. ΤΟΥ ΑΥΤΟΥ.

Ἅ τε φωνὰ Δώριος, χὠνὴρ ὁ τὰν κωμῳδίαν
εὑρὼν Ἐπίχαρμος.
ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
τὶν ὧδ' ἀνέθηκαν
οἳ Συρακόσσαις ἐνίδρυνται πεδωριστᾷ πόλει,
ὡς ἀνδρὶ πολίτᾳ,
σωρὸν [γὰρ] εἶχε ῥημάτων, μεμναμένοι
τελεῖν ἐπίχειρα.

---

V. 7. ἔστασεν. P. Post V. 8. additur: ὅτι δεξιὸς ἦς ἔπεα ποιῆσαι. P. Cf. p. 312. nr. 664. Nr. 599. V. 4. προσθ' ἐντι π. ωδοποιοῦ. P. V. 5. νέουσιν ἥδετο. P. Nr. 600. V. 5. συρακούσσαις. P. τοὶ Συρ. Br. πελωρὶ σταῖ. P. V. 6. ὅσσ' ἀ. P. οἵ ἀ. Br. V. 7. σωρὸν εἶχε. P. χρημάτων. Br. μεμναμένους. P.

Digitized by Google

πολλὰ γὰρ ποττὰν ζωὰν τοῖς πᾶσιν εἶπε χρήσιμα·
μεγάλα χάρις αὐτῷ.

601. ΑΔΕΣΠΟΤΟΝ.

Τὸ ξόανον τὸ περισσὸν Ἀεξιμένης Ἀφροδίτᾳ
εἵσατο, τῆς πάσης ναυτιλίης φύλακι.
χαῖρ᾽, ὦ πότνια Κύπρι, διδοῦσα δὲ κέρδεα, πλοῦτον
ἅρμενον, εἰδήσεις ναῦς ὅτι κοινότατον.

602. ΕΥΗΝΟΥ ΑΘΗΝΑΙΟΥ.

Ἅ ποτε παρθενικαῖσιν ἱλασκομένα παλάμῃσιν
Κύπριδα, σὺν πεύκαις, καὶ γάμον εὐξαμένα,
κουριδίους ἤδη θαλάμῳ λύσασα χιτῶνας,
ἀνδρὸς ἄφαρ μηρῶν ἐξελόχευσα τύπους.
νυμφίος ἐκ νύμφης δὲ κικλήσκομαι, ἐκ δ᾽ [Ἀφροδίτης]
Ἄρεα, καὶ βωμοὺς ἔστεφον Ἡρακλέους.
[P] Θῆβαι Τειρεσίην ἔλεγόν ποτε, νῦν δ᾽ ἐμὲ Χαλκὶς
τὴν πάρος ἐν μίτραις ἠσπάσατ᾽ ἐν χλαμύδι.

---

V. 9. Fort. ζοάν. — τοῖς παισίν. Vulgo. Nr. 601. V. 1. Ἀλεξιμένης. Br. V. 2. φύλακα. P. Fort. τῇ πάσης ν. φύλακι. V. 5. χαίρω π. P. χαίρεο. Br. Nr. 602. V. 3. θαλάμων. P. V. 5. Ἀφροδίτης om. in P. V. 7. χαλκος. P.

Digitized by Google

### 603. ΑΝΤΙΠΑΤΡΟΥ.

*Πέντε Διωνύσοιο θεραπνίδες αἵδε σαώτεω*
*ἐντύνουσι θοᾶς ἔργα χοροστασίης.*
*ἁ μὲν ἀερτάζουσα δέμας βλοσυροῖο λέοντος,*
*ἁ δὲ Λυκαόνιον καλλίκερων ἔλαφον·*
*ἁ τριτάτα δ᾽ οἰωνὸν εὔπτερον· ἁ δὲ τετάρτα*
*τύμπανον· ἁ πέμπτα χαλκοβαρὲς κρόταλον.*
*πᾶσαι φοιταλέαι τε, παρηγόριόν τε νόημα*
*ἐκπλαγέες λύσσᾳ δαίμονος εὐϊάδι.*

### 604. ΝΟΣΣΙΔΟΣ.

*Θυμαρέτας μορφὰν ὁ πίναξ ἔχει· εὖ γε τὸ γαῦρον*
*τεῦξε, τό θ᾽ ὡραῖον τᾶς ἀγανοβλεφάρου,*
*σαίνοι κέν σ᾽ ἐςιδοῖσα καὶ οἰκοφύλαξ σκυλάκαινα,*
*δέσποιναν μελάθρων οἰομένα ποθορῆν.*

### 605. ΤΗΣ ΑΥΤΗΣ.

*Τὸν πίνακα ξανθᾶς Καλλὼ δόμον εἰς Ἀφροδίτας,*
*εἰκόνα γραψαμένα πάντ᾽ ἀνέθηκεν ἴσαν.*
*ὡς ἀγανῶς ἕστακεν· ἴδ᾽ ἁ χάρις ἁλίκον ἀνθεῖ.*
*χαιρέτω· οὔ τινα γὰρ μέμψιν ἔχει βιοτᾶς.*

---

Nr. 603. V. 1. διονύσοιο. P. V. 2. ἐντίνουσι θεᾶς. P. Fort. χοροστασίας. V. 3. ἀεργάζουσα. P. V. 6. ἁ δὲ πέμπτα. P. V. 7. τὸ π. δὲ ὄνομα. P. V. 8. ἐκπλαγέως. P. Nr. 604. V. 1. θαῦμ᾽ ἀρετᾶς. P. V. 2. τὸ δ᾽ ὠρ. P. Nr. 605. V. 2. ἴσα. P.

Digitized by Google

606. ΑΔΕΣΠΟΤΟΝ.

Ἡν τὸ πάρος φιλέεσκες, Ἄρες, σκοπίαζε Κυθείρην
ἐνθάδε λουομένην νάμασι φαιδροτάτοις.
δέρκεο νηχομένην· μὴ δείδιθι. οὐ γὰρ Ἀθήνην
παρθένον εἰσοράας, οἷά τε Τειρεσίας.

607. ΑΛΛΟ.

Αἱ Χάριτες λούσαντο· ἀμειψάμεναι δὲ λοετρὸν
δῶκαν ἑῶν ῥεθέων ὕδασιν ἀγλαΐην.

608. ΑΛΛΟ.

Ἢ τοῖον Κυθέρειαν ὕδωρ τέκεν, ἢ Κυθέρεια
τοῖον τεῦξεν ὕδωρ, ὃν χρόα λουσαμένη.

609. ΑΛΛΟ.

Τῶν Χαρίτων τόδε λουτρὸν ἀθύρματα· καὶ γὰρ ἐκείνας
μοῦνας ἔσω παίσδειν τὰς Χάριτας δέχεται.

* * *

Ὄντως δὴ Χαρίτων λουτρὸν τόδε· οὐδὲ γὰρ ἄλλους
πλείους χωρῆσαι τοῦτο τριῶν δύναται.

---

Nr. 608. V. 1. ἔτεκεν. P. V. 2. ἔτευξεν. Br. Nr. 609. V. 1. ἐκεῖνο. Br. V. 2. μοῦνας εἴσω. P.

610. ΑΛΛΟ.

Μικρὰ μὲν ἔργα τάδ' ἐστὶν, ἔχει δ' ἡδεῖαν ὀδωδήν,
ὡς ῥόδον ἐν κήποις, ὡς ἴον ἐν ταλάροις.

[P] 611. ΑΛΛΟ.

Ἐν μικρῷ μεγάλη λουτρῷ χάρις· ἐν δ' ἐλαχίστῳ
νάματι λουομένοις ἡδὺς ἔπεστιν ἔρως.

612. ΑΛΛΟ.

Ὡς δένδρον βραχύφυλλον, ἔχει δ' ἡδεῖαν ὀδωδήν,
οὕτως λουτρὰ τάδε μικρὰ μὲν, ἀλλὰ φίλα.

613. ΑΛΛΟ.

Εἰς τὸ λουτρὸν Μαρίας ἐν Βυζαντίῳ.

Τῆς Μαρίης τὸ λοετρὸν ἰδὼν ὑπεδάκρυσε Μῶμος,
εἰπών· Ὡς Μαρίην, καὶ σὲ παρερχόμεθα.

614. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛ.

Εἰς λουτρὸν μικρὸν παρακείμενον τῷ Ζευξίππου.

Μὴ νεμέσα, Ζεύξιππε, παραντέλλοντι λοετρῷ.
καὶ μεγάλην παρ' ἅμαξαν ἐρωτύλος ἡδὺ φαείνει.

615. ΑΛΛΟ.

Χῶρος τίς μερόπων σε λιπαυγέα τὸ πρὶν ἐόντα
πλούσιον ἐν φέγγει θήκατο λουομένοις;

---

Nr. 611. V. 1. λουτροῦ. P. Nr. 612. V. 2. Fort. σμικρά.

τίς δὲ καὶ αἰθαλόεντι ῥύπῳ πεπαλαγμένον ἄρτι,
κεῖνον ἀϊστώσας, φαιδρὸν ἔδειξε δόμον;
φρὴν σοφὴ ὡς πᾶσι * Θεοδωρίας, ὡς ἐτεὸν δὴ
κἂν τούτῳ καθαρὴν δεικνύμενος κραδίην·
ὃς γὰρ ἐὼν πόλιος κτεάνων ταμίης τε πατήρ τε,
κέρδεσιν ἐξ αὐτῶν οὐκ ἐμίηνε χέρας.
ἀλλὰ θεὸς Φιλόπατριν, ἐρισθενές, ἄφθιτε Χριστέ,
πήματος αὐτὸν ἄτερ σῶζε τεῇ παλάμῃ.

616. ΑΛΛΟ.

Ἐνθάδε λουσαμένων Χαρίτων ποτέ, θέσκελα πέπλα
βαιὸς Ἔρως ἔκλεψε, καὶ ᾤχετο· τὰς δ' ἔλιπ' αὐτοῦ
γυμνάς, αἰδομένας θυρέων ἔκτοσθε φανῆναι.

617. ΑΛΛΟ.

Εἰς βαλανεῖον ψυχρόν.

Τὸν ποταμόν, βαλανεῦ, τίς ἐτείχισε; τίς βαλανεῖον
τὴν κρήνην ψευδῶς τήνδε μετωνόμασεν;
Αἰόλος Ἱπποτάδης φίλος ἀθανάτοισι θεοῖσιν
ὧδε μετοικήσας ἤγαγε τοὺς ἀνέμους.
πρὸς τί δὲ καὶ σανίδες δύο τοῖς ποσὶν αἵδ' ὑπόκεινται;
οὐ διὰ τὴν θέρμην· τῆς χιόνος δ' ἕνεκα.
Φρίξου καὶ Νάρκης οὗτος τόπος. ἀλλ' ἐπίγραψον·
„τῷ Μεσορὶ λοῦσαι· πνεῖ γὰρ ἔσω Βορέας."

---

Nr. 615. V. 5. φρηνο οφηος πᾶσι. P. Nr. 617. V. 4. μετοικίσας. P. V. 8. μεσωρι. P.

618. ΑΛΛΟ.

Λωτὸν ἐρεπτομένους προτέρων οὐ ψεύσατο μῦθος·
πίστιν ἀληθείης τοῦτο τὸ λουτρὸν ἔχει.
εἰ γὰρ ἅπαξ καθαροῖσι λοέσσεται ὕδασιν ἀνήρ,
οὐ ποθέει πάτρην, οὐκ ἐθέλει γενέτας.

[P] 619. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς λουτρὸν ἐν Βυζαντίῳ ἔχον Ἀφροδίτην λουομένην.

Νῦν ἔγνων, Κυθέρεια, πόθεν νίκησας ἀγῶνα,
τὴν πρὶν Ἀλεξάνδρου ψῆφον ὑφαρπαμένη.
ἐνθάδε γὰρ τέγγουσα τεὸν δέμας, εὗρες ἐλέγξαι
Ἥρην Ἰναχίοις χεύμασι λουσαμένην.
νίκησεν τὸ λοετρόν· ἔοικε δὲ τοῦτο βοώσῃ
Παλλάς· ἐνικήθην ὕδασιν, οὐ Παφίῃ.

620. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Εἰς λουτρὸν δίδυμον, ἐν ᾧ λούονται καὶ γυναῖκες καὶ ἄνδρες.

Ἄγχι μὲν ἐλπὶς ἔρωτος· ἑλεῖν δ' οὐκ ἔστι γυναῖκας.
εἶρξε πυλὶς Παφίην τὴν μεγάλην ὀλίγη.
ἀλλ' ἔμπης γλυκὺ τοῦτο· ποθοβλήτοις γὰρ ἐπ' ἔργοις
ἐλπὶς ἀληθείης ἐστὶ μελιχροτέρη.

---

Nr. 619. V. 2. ὑπαρπαμένη. P. Fort. recte. Nr. 620. V. 2. ἧρξε. P.

## 621. ΑΔΕΣΠΟΤΟΝ.

Ὅσσαις θηλυτέραις ἐστὶν πόθος, ἔστι δὲ πάσαις,
δεῦρ' ἴτε, φαιδροτέρης τευξόμεναι χάριτος.
χὴ μὲν ἔχουσα πόσιν, τέρψει πόσιν· ἡ δ' ἔτι κούρη
ὀτρυνέει πλείστους ἕδνα πορεῖν λεχέων·
ἡ δὲ φέρουσα πόρους ἀπὸ σώματος, ἐσμὸν ἐραστῶν
ἕξει ἐπὶ προθύροις, ἐνθάδε λουσαμένη.

## 622. ΑΛΛΟ.

Εἴτε σε κουριδίης ἀλόχου γλυκὺς ἵμερος ἴσχει,
λούεο, φαιδρότερος τῇδε φανησόμενος·
εἴτε σε μισθοφόρους ἐπὶ μαχλάδας οἶστρος ὀρίνει,
λήψῃ, κοὐ δώσεις, ἐνθάδε λουσάμενος.

## 623. ΚΥΡΟΥ ΠΟΙΗΤΟΥ.

Κύπρις σὺν Χαρίτεσσι, καὶ υἱέϊ χρυσοβελέμνῳ
ἐνθάδε λουσαμένη, μισθὸν ἔδωκε χάριν.

## 624. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς ἕτερον λουτρὸν παρακείμενον τῷ δημο-
σίῳ ἐν Βυζαντίῳ.

Λείματά με ξυνοῖο παρὰ προθύροισι λοετροῦ
ἀστὸς ἀνήρ, ἀρετῆς εἵνεκεν, οὐκ ἔριδος.

---

Nr. 621. V. 2. τευξόμενοι. P. V. 6. ἥξει. P. Nr. 623. Κύπρου ποιητοῦ.

κεῖνο μέλοι πλεόνεσσιν· ἐγὼ δ' ὀλίγοις τε φίλοις τε
ἐντύνω προχοάς, καὶ μύρα, καὶ χάριτας.

625. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Πιστότατος μερόπων τις ἔοι πυλαωρὸς ἐμεῖο,
κρίνων λουομένων καιρὸν ἐσηλυσίης,
[P] μή τινα Νηϊάδων τις ἐμοῖς ἐνὶ χεύμασι γυμνὴν,
ἢ μετὰ καλλικόμων Κύπριν ἴδοι Χαρίτων
οὐκ ἐθέλων· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς.
τίς γὰρ Ὁμηρείοις ἀντιφέροιτο λόγοις;

626. ΜΑΡΙΑΝΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Μητέρα Κύπριν ἔλουσεν Ἔρως ποτὲ τῷδε λοετρῷ,
αὐτὸς ὑποφλέξας λαμπάδι καλὸν ὕδωρ.
ἱδρὼς δ' ἀμβροσίοιο χυθεὶς χροὸς ἄμμιγα λευκοῖς
ὕδασι, φεῦ, πνοιῆς ὅσσον ἀνῆψεν ἔαρ.
ἔνθεν ἀεὶ ῥοδόεσσαν ἀναζείουσιν ἀϋτμήν,
ὡς ἔτι τῆς χρυσῆς λουομένης Παφίης.

627. ΤΟΥ ΑΥΤΟΥ.

Τᾷδ' ὑπὸ τὰς πλατάνους ἁπαλῷ τετρυμένος ὕπνῳ
εὗδεν Ἔρως, Νύμφαις λαμπάδα παρθέμενος.

---

Nr. 624. V. 3. ἐκεῖνο. P. Nr. 625. V. 1. πυλωρός. P. Nr. 627. V. 1. τετυμμένος. P. πεπεδημένος. Plan.

Νύμφαι δ' ἀλλήλῃσι, τί μέλλομεν; αἴθε δὲ τούτῳ
    σβέσσαμεν εἶπον, ὁμοῦ πῦρ κραδίης μερόπων.
λαμπὰς δ' ὡς ἔφλεξε καὶ ὕδατα, θερμὸν ἐκεῖθεν
    Νύμφαι Ἐρωτιάδες λουτροχοεῦσιν ὕδωρ.

628. ΙΩΑΝΝΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Ἵππον ἐϋῤῥείτην χρονίῃ μάστιγι δαμέντα
χρυσείῳ πολύολβος ἄναξ ἤγειρε χαλινῷ.

629. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

Αἴθε σέ, Πίνδαρε, μᾶλλον ἐμοῖς ἐκάθηρα ῥεέθροις,
    καί κεν ἄριστον ὕδωρ τοὐμὸν ἔφησθα μόνον.

630. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛ.

εἰς θερμὰ τὰ βασιλικά.

Θερμὰ τάδ' ἀτρεκέως βασιλήϊα· τήνδε γὰρ αὐτοῖς
    οἱ πρὶν ἀγασσάμενοι θῆκαν ἐπωνυμίην.
οὐ γὰρ ὑπὸ βροτέῳ πυρὶ θάλπεται ἀγλαὸν ὕδωρ,
    αὐτομάτη δὲ λιβὰς τίκτεται αἰθομένη·
οὐδὲ ῥόον ψυχροῦ ποτιδεύεαι ἀμφὶ λοετρά,
    ἀλλ' οἷον ποθέεις, τοῖον ὑπεκφέρεται.

---

V. 3. αἴθε δὲ τοῦτο. P. V. 6. λωτροχεῦσιν. P. Nr. 630. V. 5. ποτιδεύεται. P.

631. *ΑΓΑΘΙΟΥ ΣΧΟΛ.*

*εἰς τὰ θερμὰ τὰ Ἀγαμεμνόνια.*

*Χῶρος ἐγὼ Δαναοῖς μεμελημένος, ἔνθα μολόντες*
*τῆς Ποδαλειρείης ἐξελάθοντο τέχνης.*
[P] *ἕλκεα γὰρ μετὰ δῆριν ἐμοῖς ἀκέσαντο ῥεέθροις,*
*βαρβαρικῆς λόγχης ἰὸν ἀπωσάμενοι.*
*ἔνθεν ἀεξήθην ὀροφηφόρος· ἀντὶ δὲ τιμῆς*
*τὴν Ἀγαμεμνονέην εὗρον ἐπωνυμίην.*

632. *ΑΔΗΛΟΝ.*

*Χθὼν μυχάτων γυάλων κοιλώμασιν ἀέναον πῦρ*
*εὖτ' ἂν ἔχῃ, φλοξὶν δὲ περιζείῃ κρυφίαισιν,*
*ἀτμὸς ἄνω βαίνων εἰς αἰθέρα θερμός, ἔνερθεν*
*θλιβόμενος πυριθαλπὲς ἐρεύγεται ἰκμάσιν ὕδωρ.*

633. *ΔΑΜΟΧΑΡΙΔΟΣ ΓΡΑΜΜΑΤΙΚΟΥ.*

*Ἥρῃ, καὶ Παφίῃ, καὶ Παλλάδι τοῦτο τὸ λουτρὸν*
*ὥς ποτε τὸ χρυσοῦν ἤρεσε μῆλον ἔχειν·*
*καὶ τάχα τῆς μορφῆς κρίσις ἔσσεται οὐ Πάρις αὐταῖς·*
*εἰκὼ δ' ἀργυφέοις νάμασι δεικνυμένη.*

634. *ΑΛΛΟ.*

*Ὤμοσαν αἱ Χάριτες φερεαυγέα κοίρανον αἴγλης*
*ἐνθάδε ναιετάειν, ἢ παρὰ τῇ Παφίῃ.*

---

Nr. 631. V. 1. *μολοῦντες.* P. V. 5. *ὀρηφηφόρος.* P. Nr. 633. V. 1. *τὸ λοετρόν.* P. *τοῦτο λοετρόν.* Br. V. 2. *τὸν χρ.* P. Nr. 634. V. 1. *φεραυγέα.* P.

Digitized by Google

635. ΑΛΛΟ.

Δάφνης εὐπετάλοιο φερώνυμόν ἐστι λοετρόν.

636. ΑΛΛΟ.

Τοῦτ' ἐςιδὼν τὸ λοετρὸν ὁ πάνσοφος εἶπεν Ὅμηρος·
„νηπενθές, ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων.“

637. ΑΛΛΟ.

Ἐνθάδε λουσαμένη δέμας ἄμβροτον αὐτίκα Κύπρις
δεῖξεν Ἀλεξάνδρῳ, καὶ ἀέθλιον ἥρπασε μῆλον.

638. ΑΛΛΟ.

Αἱ τρεῖς Ὀρχομενοῦ Χάριτες τὸ λοετρὸν ἔτευξαν·
τοὔνεκα χωρῆσαι τέσσαρας οὐ δύναται.

639. ΑΛΛΟ.

Κύπρις, Ἔρως, Χάριτες, Νύμφαι, Διόνυσος, Ἀπόλλων
ὤμοσαν ἀλλήλοις ἐνθάδε ναιετάειν.

640. ΑΛΛΟ.

Ἀθάνατοι λούονται ἀνοιγομένου βαλανείου;
πέμπτῃ δ' ἡμίθεοι, μετέπειτα δὲ πήματα πάντα.

---

Nr. 636. V. 1. τοῦτ' ἰδών. P. Fort. εἶπ' ἂν cum Schaefero.
Nr. 638. V. 1. ὀρχούμεναι. P. Nr. 639. V. 2. ἀλλήλων. P.

## 641. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

εἰς γέφυραν τοῦ Σαγγαρίου.

Καὶ σὺ μεθ' Ἑσπερίην ὑψαύχενα, καὶ μετὰ Μήδων
ἔθνεα, καὶ πᾶσαν βαρβαρικὴν ἀγέλην,
Σαγγάριε, κρατερῇσι ῥοὰς ἀψῖσι πεδηθείς,
οὕτω ἐδουλώθης κοιρανικῇ παλάμῃ.
ὁ πρὶν δὲ σκαφέεσσιν ἀνέμβατος, ὁ πρὶν ἀτειρής,
κεῖσαι λαϊνέῃ σφιγκτὸς ἀλυκτοπέδῃ.

## [P] 642. ΤΟΥ ΑΥΤΟΥ.

εἰς σωτήρια ἐν Σμύρνῃ ἐν προαστείῳ.

Πᾶν τὸ βροτῶν σπατάλημα, καὶ ἡ πολύολβος ἐδωδὴ
ἐνθάδε κρινομένη τὴν πρὶν ὄλεσσε χάριν.
οἱ γὰρ φασιανοί τε καὶ ἰχθύες, αἵ θ' ὑπὲρ ἴγδιν
τρίψιες, ἥ τε τόση βρωματομιξαπάτη
γίγνεται ἐνθάδε κόπρος. ἀποσσεύει δ' ἄρα γαστὴρ
ὁππόσα πειναλέῃ δέξατο λαυκανίῃ.
ὀψὲ δὲ γιγνώσκει τις, ὅτ' ἄφρονα μῆτιν ἀείρων
χρυσοῦ τοσσατίου τὴν κόνιν ἐπρίατο.

## 643. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Τί στενάχεις κεφαλὴν κεκακωμένος; ἐς τί δὲ πικρὰ
οἰμώζεις, μελέων πάγχυ βαρυνομένων;

---

Nr. 641. V. 1. μετὰ δήμων. P. V. 4. οὕτως. P.

ἐς τί δὲ γαστέρα σεῖο ῥαπίσμασιν ἀμφιπατάσσεις,
ἐκθλίψαι δοκέων μάστακος ἐργασίην;
μόχθων τοσσατίων οὔ σοι χρέος, εἰ παρὰ δαιτὶ
μὴ τοῦ ἀναγκαίου πουλὺ παρεξετάθης.
ἀλλ' ἐπὶ μὲν στιβάδος φρονέεις μέγα, καὶ στόμα τέρπεις
βρώμασιν, εὐτυχίην κεῖνα λογιζόμενος·
ἐνθάδε δ' ἀσχάλλεις· μούνη δ' ἀλιτήματα λαιμοῦ
ἡ γαστὴρ τίνει πολλάκι τυπτομένη.

### 644. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Εὖγε μάκαρ τλήθυμε γεωπόνε. σοὶ βίος αἰεὶ
μίμνειν καὶ σκαπάνης ἄλγεα καὶ πενίης·
λιτὰ δέ σοι καὶ δεῖπνα, καὶ ἐν ξυλόχοισι καθεύδεις,
ὕδατος ἐμπλήσας λαιμὸν ἀμετροπότην.
ἔμπης ἀρτίπος ἐσσί, καὶ ἐνθάδε βαιὰ καθεσθεὶς
αὐτίκα γαστέρα σὴν θῆκας ἐλαφροτάτην·
οὐδὲ καταψήχεις ἱερὴν ῥάχιν, οὐδέ τι μηροὺς
τύπτεις, αὐτομάτως φόρτον ἀπωσάμενος.
τλήμονες οἱ πλουτοῦντες, * πυκινοῖσι συνόντες,
εἰς πλέον ἀρτεμίης εὔαδεν εἰλαπίνη.

---

Nr. 643. V. 4. ἐκθλίψεται. P. V. 6. πολύ. P. V. 10. τείνει. P.
Nr. 644. V. 9. ποικινοῖσι. P. Fort. ἀεὶ πυκινοῖσι συνόντες, Οἷς πλ.

### 645. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τμώλῳ ὑπ' ἀνθεμόεντι, ῥοὴν παρὰ Μαίονος Ἕρμου,
Σάρδιες, ἡ Λυδῶν ἔξοχός εἰμι πόλις.
μάρτυς ἐγὼ πρώτη γενόμην Διός· οὐ γὰρ ἐλέγχειν
λάθριον υἷα Ῥέης ἤθελον ἡμετέρης.
[P] αὐτὴ καὶ Βρομίῳ γενόμην τροφός· ἐν δὲ κεραυνῷ
ἔδρακον εὐρυτέρῳ φωτὶ φαεινόμενον.
πρώταις δ' ἡμετέρῃσιν ἐν ὀργάσιν οἰνὰς ὀπώρη
οὔθατος ἐκ βοτρύων ξανθὸν ἄμελξε γάνος.
πάντα με κοσμήσαντο· πολὺς δέ με πολλάκις αἰὼν
ἄστεσιν ὀλβίστοις εὗρε μεγαιρομένην.

### 646. ΑΔΕΣΠΟΤΟΝ.

Εἰ πόλιν Ἡρακλῆος ὁμώνυμον οἶσθα καὶ ἄλλην,
ἴσθι με τὴν πόντου μηδὲν ἀτιμοτέρην.

### 647. ΑΔΕΣΠΟΤΟΝ.

Ῥώμη παμβασίλεια, τὸ σὸν κλέος οὔποτ' ὀλεῖται·
Νίκη γάρ σε φυγεῖν ἄπτερος οὐ δύναται.

---

Nr. 645. V. 1. ἠνεμόεντι. Plan. V. 2. σαρδιεη λ. P. V. 4. υἷεα. P. V. 6. εὐρυτέρω τὶ φαειν. P.

### 648. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

εἰς οἶκον ἐν Κιβύρᾳ.

Ἀστὸς ἐμοὶ καὶ ξεῖνος ἀεὶ φίλος· οὐ γὰρ ἐρευνᾶν,
τίς, πόθεν, ἠὲ τίνων, ἐστὶ φιλοξενίης.

### 649. ΤΟΥ ΑΥΤΟΥ.

Εὐσεβίῃ τὸ μέλαθρον ἀπὸ πρώτοιο θεμείλου
ἄχρι καὶ ὑψηλοὺς ἤγαγεν εἰς ὀρόφους.
οὐ γὰρ ἀπ' ἀλλοτρίων κτεάνων ληΐστορι χαλκῷ
ὄλβον ἀολλίζων τεῦξε Μακηδόνιος·
οὐδὲ λιπερνήτης κενεῷ καὶ ἀκερδέϊ μόχθῳ
κλαῦσε, δικαιοτάτου μισθοῦ ἀτεμβόμενος.
ὡς δὲ πόνων ἄμπαυμα φυλάσσεται ἀνδρὶ δικαίῳ,
ὧδε καὶ εὐσεβέων ἔργα μένοι μερόπων.

### 650. ΛΕΟΝΤΙΟΥ.

εἰς οἶκον κείμενον μέσον τοῦ Ζευξίππου καὶ τοῦ ἱππικοῦ.

Ἔν μὲν τῇ Ζεύξιππον ἔχω πέλας, ἡδὺ λοετρόν·
ἐκ δ' ἑτέρης ἵππων χῶρον ἀεθλοφόρων.
τοὺς ῥα θεησάμενος, καὶ τῷδ' ἔνι χρῶτα λοέσσας
δεῦρο καὶ ἄμπνευσον δαιτὶ παρ' ἡμετέρῃ.
καί κε πάλιν σταδίοις ποτὶ δείελον ὥριος ἔλθοις,
ἐγγύθεν ἐγγὺς ἰὼν γείτονος ἐκ θαλάμου.

Digitized by Google

651. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς οἶκον ὑψηλὸν ἐν Βυζαντίῳ.

Τρισσόθεν εἰςορόω πολυτερπέα νῶτα θαλάσσης,
πάντοθεν ἠματίῳ φέγγεϊ βαλλόμενος.
εἰς ἐμὲ γὰρ κροκόπεπλος ὅταν περικίδναται Ἠώς,
τερπομένη, στείχειν πρὸς δύσιν οὐκ ἐθέλει.

[P] 652. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Ὥρῃ ἀναψύχω θέρεος, καὶ χείματι θάλπω,
τοὐλλιπὲς ὡράων ἐξ ἐμέθεν παρέχων.

653. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

εἰς οἶκον κείμενον ἐν ὕψει ἐν Βυζαντίῳ.

„Τῆς Ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν."
ἔννεπεν Ἀσκραῖος, δῶμα τόδε προλέγων.
κλίμακα γὰρ ταναὴν περόων κεκαφηότι ταρσῷ,
ἱδρῶτι πλαδαρὴν ἀμφεδίηνα κόμην·
ὑψόθι δ' εἰςενόησα θαλασσαίην περιωπήν.
ναὶ τάχα τῆς Ἀρετῆς * πιστότατον θάλαμος.

654. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Κερδαλέους δίζεσθε δόμους, ληΐστορες, ἄλλους·
τοῖςδε γὰρ ἐστι φύλαξ ἔμπεδος ἡ πενίη.

---

Nr. 651. V. 2. ἱματίῳ. P. Nr. 653. V. 6. πιστότατος. Plan. Fort. αἰπύτατον.

655. ΑΔΗΛΟΝ.

εἰς τὸν τρίκλινον τῆς Μαγναύρας.

Ὀτραλέως τολύπευσαν τόνδε δόμον βασιλῆες,
αἰχμὴν ὀλβοδότειραν ἀπὸ σταυροῖο λαχόντες,
αὐτὸς ἄναξ Ἡρακλῆς σὺν Κωνσταντίνῳ υἱϊ.

656. ΑΛΛΟ.

εἰς τὸν οἶκον τὸν ἐπιλεγόμενον χαλκὸν ἐν τῷ Παλατίῳ, ὃν ἔκτισε Ἀναστάσιος βασιλεύς.

Οἶκος Ἀναστασίοιο τυραννοφόνου βασιλῆος
μοῦνος ὑπερτέλλω πανυπείροχος ἄστεσι γαίης,
θαῦμα φέρων πάντεσσιν, ἐπεὶ κοσμήτορες ἔργων
ὕψος ὁμοῦ μῆκός τε καὶ ἄπλετον εὖρος ἰδόντες,
ἀσκεπὲς ἐφράσσαντο πελώριον ἔργον ἐᾶσαι.
ἀλλὰ πολυκμήτοιο λαχὼν πρεσβήϊα τέχνης
Αἰθέριος πολύϊδρις ἐμὴν τεχνήσατο μορφήν,
ἀχράντῳ βασιλῆϊ φέρων πρωτάγρια μόχθων.
ἔνθεν ἀπειρέσιον μέγεθος περὶ παντὶ τιταίνων,
Αὐσονίης νίκησα βοώμενα θαύματα γαίης.
εἶξον ἀρειοτέροισι, χάρις Καπετωλίδος αὐλῆς,
εἰ καὶ χαλκείων ὀρόφων ἀμαρύγματα πέμπεις·
κρύψον ἀμετρήτων μεγάρων στεινούμενον αὐλαῖς,
Πέργαμε, φαιδρὸν ἄγαλμα τεόν, Ῥουφίνιον ἄλσος·
μηδὲ τανυπλεύροισιν ἀρηρότα, Κύζικε, πέτροις

---

Nr. 656. V. 14. ῥουφηνιον. P.

Ἀδριανοῦ βασιλῆος ἀμεμφέα νηὸν ἀείσεις·
οὔ μοι Πυραμίδων ἰκέλη κρίσις, οὐδὲ Κολοσσοῦ,
[⁋] οὐδὲ Φάρου· μεγάλην μοῦνος δ' ὑπερέδραμον αἴγλην.
αὐτὸς ἐμὸς σκηπτοῦχος Ἰσαυροφόνον μετὰ νίκην
χρυσοφαές με τέλεσσεν ἐδέθλιον Ἠριγενείης,
πάντη τετραπόρων ἀνέμων πεπετασμένον αὔραις.

## 657. ΜΑΡΙΑΝΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς τὸ παλάτιον Σοφιανῶν.

Ὁππόθι τεμνομένης χθονὸς ἄνδιχα πόντον ἀνοίγει
  πλαγκτὸς ἀλικλύστων πορθμὸς ἐπ' ἠϊόνων,
χρύσεα συλλέκτρῳ τάδ' ἀνάκτορα θῆκεν ἀνάσσῃ
  τῇ πολυκυδίστῃ θεῖος ἄναξ Σοφίῃ.
ἄξιον, ὦ Ῥώμη μεγαλοκρατές, ἀντία σεῖο
  κάλλος ἀπ' Εὐρώπης δέρκεαι εἰς Ἀσίην.

## 658. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

ἐν τῷ μεγάλῳ Πραιτωρίῳ καλλωπισθέντι.

Κόσμον Ἰουστῖνος βασιλεὺς ῥυπόωντα καθήρας
  καὶ τὰ μέγιστα Δίκης ἠγλάϊσεν τεμένη.
σοῖς δὲ πόνοις, Δομνῖνε, κατηφέα νύκτα διώκεις
  ἐκ Θέμιδος μεγάρων, ἐκ βιοτῆς μερόπων.

---

V. 16. ἀείσῃς. Plan. V. 18. Fort. μοῦνος μεγάλην ὑπερέδρ. Nr. 657. V. 6. δέρκεται. P. Nr. 658. V. 3. Fort. διώκει.

### 659. ΘΕΑΙΤΗΤΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς τὸ αὐτό.

Ὡς ἀγαθὸν καὶ παῖς ἐπὶ γήραϊ· φαιδροτέρους γὰρ
 Δομνῖνος θαλάμους μητρὸς ἔτευξε Δίκης.
λάμπω ἐγὼ διὰ παιδός, ὁ παῖς δι' ἐμεῖο φαείνει·
 ἡδέα δ' ἀλλήλοις ἀντιχαριζόμεθα.

### 660. ΑΔΗΛΟΝ.

εἰς τὴν βασιλικὴν τῶν παιδευτηρίων ἐν Βυζαντίῳ.

Χῶρος ἐγὼ θεσμοῖσιν ἀνειμένος· ἐνθάδε πηγὴ
 ἄφθονος Αὐσονίων ἐκκέχυται νομίμων,
ἣ πᾶσιν τέταται μὲν ἀείναος, ἠϊθέοις δὲ
 ἐνθάδ' ἀγειρομένοις πάντα δίδωσι ῥόον.

### 661. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓΥΠΤ.

εἰς βῆμα τοῦ σοφιστοῦ Κρατεροῦ.

Δένδρεον ἐγὼ μακαριστόν, ἐπεὶ ποτὲ μεσσόθεν ὕλης
 ἱστάμενον λιγυροῖς ἐτρεφόμην ἀνέμοις,
ὀρνίθων ἐπίβαθρον ἐΰθροον. ἀλλὰ σιδήρῳ
 ἐτμήγην, κλήρῳ κρείσσονος εὐτυχίης·
ἀντὶ γὰρ ὀρνίθων, Κρατεροῦ κρατεροῖς ὑπὸ μύθοις
 ἄρδομαι, εὐμούσοις χεύμασι τηλεθάον.

---

Nr. 659. V. 4. ἀλλήλους. P.

[P] 662. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Χῶρος ἐγὼ τὸ πρὶν μὲν ἔην στυγερωπὸς ἰδέσθαι,
πηλοδόμοις τοίχοις ἀμφιμεριζόμενος.
ἐνθάδε δὲ ξείνων τε καὶ ἐνδαπίων καὶ ἀγροίκων
νηδὺς ἐπεγδούπει λύματα χευομένη.
ἀλλὰ πατήρ με πύληος ἐναλλάξας Ἀγαθίας
θῆκεν ἀρίζηλον τὸν πρὶν ἀτιμότατον.

663. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς κῆπον παράλιον.

Πόντος ὑποκλύζει χθονὸς ἕδρανα· πλωτὰ δὲ χέρσου
νῶτα θαλασσαίοις ἄλσεσι τηλεθάει.
ὡς σοφός, ὅστις ἔμιξε βυθὸν χθονί, φύκια κήποις,
Νηϊάδων προχοαῖς χεύματα Νηρεΐδων.

664. ΤΟΥ ΑΥΤΟΥ.

Ἐνθάδ' ἐριδμαίνουσι, τίνος πλέον ἔπλετο χῶρος,
Νύμφαι Νηϊάδες, Νηρεΐς, Ἀδρυάδες·
ταῖς δὲ θεμιστεύει μεσάτη Χάρις, οὐδὲ δικάζειν
οἶδεν, ἐπεὶ ξυνὴν τέρψιν ὁ χῶρος ἔχει.

665. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Εἶξον ἐμοὶ Δάφνης ἱερὸν κλέτας, ἔκτοθι πόντου
κείμενον, ἀγραύλου κάλλος ἐρημοσύνης.

---

Nr. 662. V. 4. ἐπεγδούπει. Sic P. et Plan. Nr. 663. V. 1. ἕδραν ἀπλωτα. P. Nr. 664. V. 2. νηρεῖς. P.

ἐνθάδε γὰρ Νύμφαι δενδρίτιδες, αἵ τ' ἐνὶ πόντῳ
Νηρεΐδες ξυνὴν θέντο συνηλυσίην.
ἀμφ' ἐμὲ γὰρ μάρναντο· δίκασσε δὲ Κυανοχαίτης,
καί με παρ' ἀμφοτέραις μέσσον ἔθηκεν ὅρον.

666. ΑΔΗΛΟΝ.

εἰς κῆπον Ἔρωτα προσαγορευόμενον.

Οὐ μέγας οὐδ' ὁ Ἔρως, ἀλλ' εὔχαρις. ὡς καὶ ἐγώ τοι
οὐ μέγας ἐν κήποις, ἀλλὰ γέμω χαρίτων.

667. ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς προάστειον.

Ὕδασι, καὶ κήποισι, καὶ ἄλσεσι, καὶ Διονύσῳ,
καὶ πόντου πλήθω γείτονος εὐφροσύνῃ.
τερπνὰ δέ μοι γαίης τε καὶ ἐξ ἁλὸς ἄλλοθεν ἄλλος
καὶ γριπεὺς ὀρέγει δῶρα καὶ ἀγρονόμος.
τοὺς δ' ἐν ἐμοὶ μίμνοντας ἢ ὀρνίθων τις ἀείδων,
ἢ γλυκὺ πορθμήων φθέγμα παρηγορέει.

668. ΜΑΡΙΑΝΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς προάστειον ὀνομαζόμενον Ἔρωτα ἐν Ἀμασείᾳ.

Ἦ καλὸν ἄλσος Ἔρωτος, ὅπου καλὰ δένδρεα ταῦτα
πρηῢς ἐπιπνείων ἀμφιδονεῖ Ζέφυρος·

Digitized by Google

[P] ἧχι καὶ ἑρσήεις ἀμαρύσσεται ἄνθεσι λειμών,
πουλὺν ἰοστεφάνων κόσμον ἀνεὶς καλύκων·
καὶ γλυκερῆς τρίστοιχος ἐπεμβαδὸν ἄλλος ἐπ᾽ ἄλλῳ
μαστὸς ἀναθλίβει χεύματα Ναϊάδος·
ὁππόθι δενδρήεντα γέρων παρανήχεται Ἶρις
χῶρον, Ἀμαδρυάδων ἔνδιον ἀβροκόμων,
καὶ λιπαρῆς εὔβοτρυν ἀν᾽ ὀργάδα καρπὸς ἐλαίης
θάλλει ἐρισταφύλων πάντοσε θειλοπέδων·
αἱ δὲ πέριξ λαλαγεῦσιν ἀηδόνες· ὃς δὲ μελίζει
ἀντῳδὸν τέττιξ φθέγματος ἁρμονίαν.
ἀλλὰ τὸν ἀκλήϊστον ὅπως, ξένε, μή με παρέλθῃς
τόνδε δόμον, λιτῆς δ᾽ ἀντίασον ξενίης.

### 669. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Δεῦρ᾽ ἴθι, βαιὸν ὁδῖτα πεσὼν ὑπὸ δάσκιον ἄλσος,
ἄμπαυσον καμάτου γυῖα πολυπλανέος,
χλωρὸν ὅπου πλατάνων αὐτόῤῥυτον ἐς μέσον ὕδωρ
καλὰ πολυκρούνων ἐκπρορέει στομάτων·
ὁππόθι πορφυρέης ὑπὲρ αὔλακος εἴαρι θάλλει
ὑγρὸν ἴον ῥοδέῃ κιρνάμενον κάλυκι.
ἠνίδε πῶς δροσεροῖο πέδον λειμῶνος ἐρέψας
ἔκχυτον εὐχαίτης κισσὸς ἔπλεξε κόμην.

---

Nr. 668. V. 3. ἑρσείης. P. V. 4. πολύν. P. V. 5. ἄλσοι ἐπ᾽. P. V. 6. νηϊάδος. Br. V. 7. δενδρήεντι. P. V. 8. ἀβροκόμον. P.
Nr. 669. V. 3. χῶρον. Br. V. 7. ἔρεψεν. P.

Digitized by Google

ἐνθάδε καὶ ποταμὸς λασίην παραμείβεται ὄχθην,
πέζαν ὑποξύων αὐτοφύτοιο νάπης.
οὗτος ΈΡΩΣ. τί γὰρ ἄλλο καὶ ἔπρεπεν οὔνομα χώρῳ,
πάντοθεν ἱμερτῶν πληθομένῳ Χαρίτων;

### 670. ΑΔΕΣΠΟΤΟΝ.

ἐν Σμύρνῃ εἰς μῶλον τῇ θαλάττῃ ἐπικείμενον.

α. Τίς βυθὸν ἠπείρωσε; τίς ἐν ῥοθίοισιν ἔτευξεν
ἀκτὴν ἀμφιρύτην λάεσι μαρμαρέοις;
τίς δ' ἐνὶ κύμασι τεῦξε ποτὸν πλωτῆρας ἀφύσσειν,
αὐτῶν ἐκ νηῶν χερσὶν ἀρυομένους;
β. οὗτος ὁ ποικιλόμητις ἀνὴρ Βενέτιος ἀμύμων,
κτίσμασι νικήσας Θησέα καὶ Πέλοπα.

### 671. ΑΛΛΟ.

εἰς φάρον ἐν τῇ αὐτῇ πόλει.

α. Τίς τόσον ἔργον ἔτευξε; τίς ἡ πόλις, ἢ τὸ γέρας τί;
β. Ἀμβρόσιος Μυλασεὺς τὸν φάρον Ἀνθύπατος.

### [P] 672. ΑΔΗΛΟΝ.

εἰς τὴν αὐτὴν πόλιν.

Εἰ τραφερῆς πάσης ἀλιτέρμονα κύκλον ὁδεύσῃς,
οὔ ποτέ μοί τινα χῶρον ἀρείονα τοῦδε νοήσεις,

---

Nr. 670. V. 4. ἀρχομένους. P. Nr. 671. V. 2. μυσαλεύς. P. Nr. 672. V. 1. ὁδεύσεις. Plan.

θέσκελον οἷον ἔτευξεν ἀγακλυτὸς Ἰωάννης,
κυδαίνων βασίλειαν ὅλης χθονός· ἐκ ῥοθίων γὰρ
τερπωλὴν ἀκόρητον ἐν ἄστεϊ θῆκεν Ὁμήρου.

673. ΑΔΗΛΟΝ.

Ἱππολύτη καὶ τοῦτ' Ἀσκληπιὸς ὤπασεν ἔργον.

674. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὸν φάρον Ἀλεξανδρείας.

Πύργος ἐγὼ ναύτησιν ἀλωομένοισιν ἀρήγων
εἰμί, Ποσειδάωνος ἀπενθέα πυρσὸν ἀνάπτων,
καί με πεσεῖν μέλλοντα βαρυγδούποισιν ἀήταις
στῆσεν ἑοῖς καμάτοις Ἀμμώνιος, ὃς βασιλῆος
ἐστὶ πατήρ· κείνῳ δὲ μετ' ἄγρια κύματα ναῦται
χεῖρας ἀερτάζουσιν, ἅτε κλυτῷ Ἐννοσιγαίῳ.

675. ΑΛΛΟ.

εἰς φάρον ἐν Σμύρνῃ.

Μηκέτι δειμαίνοντες ἀφεγγέα νυκτὸς ὁμίχλην,
εἰς ἐμὲ θαρσαλέως πλώετε ποντοπόροι.
πᾶσιν ἀλωομένοις τηλαυγέα δαλὸν ἀνάπτω,
τῶν Ἀσκληπιαδῶν μνημοσύνην καμάτων.

---

Nr. 673. Fort. ὤπασαν. aut Ἱππολύτῃ.

### 676. ΑΔΕΣΠΟΤΟΝ.

εἰς πηγὴν ἐν τῷ Ὀλύμπῳ ὄρει.

Ταῖς Προύσης Νύμφαις ὑποείκομεν, ἀλλὰ καὶ αὐταὶ
κρέσσονες ἡμείων χαίρετε Πυθιάδες·
αἱ δ᾽ ἄλλαι πᾶσαι μετὰ Πύθια καὶ μετὰ Προῦσαν
ἡμετέραις Νύμφαις εἴξατε Νηϊάδες.

### 677. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Τεῦξέ με πολλὰ καμὼν Μουσώνιος, οἶκον ἀγητὸν
τηλίκον, ἀρκτῴοις ἄσθμασι βαλλόμενον.
ἔμπης οὐκ ἀπέειπεν ἀφεγγέα δώματα Μοίρης,
ἀλλά με καλλείψας ἐν χθονὶ ναιετάει.
καί ῥ᾽ ὁ μὲν εἰς ὀλίγην κεῖται κόνιν· ἡ δὲ περισσὴ
τέρψις ἐπὶ ξείνοις ἀνδράσιν ἐκκέχυμαι.

### 678. ΑΔΕΣΠΟΤΟΝ.

ἐν κώμῃ τῆς Σμύρνης.

Οἷον ἔτλης καὶ τοῦτον, Ἀγακλείδη, μέγαν ἆθλον,
θυμῷ τολμητῇ κῦδος ἄριστον ἑλών·
νύμφης ἀρχαίης Βάσσης πολυκαγκέα χώρην
ὕδασι καὶ λουτροῖς θῆκας ἀφνειοτέρην.

[☛] 679. ΑΔΕΣΠΟΤΟΝ.

Πᾶσα μὲν Ἀξιόχῳ πόλις εὔχεται· ἄλλο γὰρ ἄλλης
πῆμα παραστείχων, ὡς θεός, ἠκέσατο·

Digitized by Google

ἔξοχα δὲ κραναῇ ῥόον ὕδατος ὤπασεν Ἄσσῳ,
πολλῶν πετράων σκληρὰ μέτωπα τεμών.
μηκέτι φεύγετε πάντες ἀποπροθέοντες ὁδῖται·
πλημμύρῳ ψυχροῖς ὕδασιν Ἀξιόχου.

### 680. ΑΔΕΣΠΟΤΟΝ.

εἰς παραθαλάσσιον κῆπον, ἐν ᾧ ἦν καὶ λουτρὸν ἐν Ἀντιοχείᾳ.

Τὰς τρεῖς μοι Χάριτας λεύσσεις, ξένε· Ποντομέδων γὰρ
γείτονος ἐκ πόντου τὴν μίαν εἰργάσατο·
τὴν δ᾽ ἑτέρην ἐτέλεσσε φυτῶν εὔκαρπος ἀλωή·
τὴν δ᾽ ὑπολειπομένην τοῦτο τὸ λουτρὸν ἔχει.

### 681. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛ. ΤΟΥ ΜΙΝΩΤΑΥΡΟΥ.

εἰς κόγχον ἔχουσαν Ἀφροδίτην.

Ἃ μέγα σοι, Διόνυσε, χαρίζομαι· εἰς ἐμὲ Κύπρις
λούεται· ἐξ αὐτῆς σοὶ τὰ κύπελλα φέρω.

### 682. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὸν τετράπλευρον κίονα ἐν Ἱπποδρόμῳ.

Κίονα τετράπλευρον, ἀεὶ χθονὶ κείμενον ἄχθος,
μοῦνος ἀναστῆσαι Θευδόσιος βασιλεὺς

Digitized by Google

τολμήσας, Πρόκλῳ ἐπεκέκλετο, καὶ τόσος ἔστη
κίων ἠελίοις ἐν τριακονταδύο.

683. ΑΔΗΛΟΝ.

Ἀλφεὸς ἄῤῥεν ὕδωρ, Ἀρεθούσιόν ἐστι τὸ θῆλυ·
καὶ ποτὸν εὗρεν Ἔρως, κιρναμένων ὑδάτων.

684. ΑΔΗΛΟΝ.

εἰς τὴν ἐν Τάφῳ τῇ νήσῳ κρήνην.

Ὠκεανοῦ θυγάτηρ καὶ Τηθύος εἰμὶ Νύχεια
κρήνη· Τηλεβόαι γάρ με τόδ' ὠνόμασαν.
Νύμφαις μὲν προχέω λουτρόν, θνητοῖσι δ' ὑγείην·
θῆκε δέ με Πτερέλας υἱὸς Ἐνυαλίου.

685. ΑΔΗΛΟΝ.

παροιμιῶδες εἰς Καμαρίναν τὴν ἐν Σικελίᾳ.

Μὴ κίνει Καμαρίναν, ἀκίνητος γὰρ ἀμείνων,
μή ποτε κινήσας τὴν μείονα μείζονα θείης.

[P] 686. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὴν πύλην τὴν ἀνατολικὴν τῆς Θεσσαλονίκης.

Ἠνορέης ὀλετῆρα ὑπερφιάλου Βαβυλῶνος,
καὶ σέλας ἀκτεάνοιο δίκης βασίλειον ὕπαρχον,

---

Nr. 682. V. 3. πρόκλον. P. Nr. 683. V. 1. ἀλφειός. P. V. 2. καὶ ποταμόν. P. ποτόν. Plan. Fort. καὶ γάμον εὗρεν.

Digitized by Google

ξεῖνε, νόῳ σκίρτησον, ἰδὼν ἐφύπερθε πυλάων.
Εὐνομίης ποτὶ χῶρον ἀριστογένεθλον ὁδεύεις,
Βάρβαρον οὐ τρομέεις, οὐκ ἄῤῥενας ἀῤῥενοκοίτας.
ὅπλα Λάκων, σὺ δὲ τεῖχος ἔχεις βασίλειον ἄγαλμα.

### 687. ΑΔΗΛΟΝ.

Μορφὰς ὁ γράψας, ἤθελον καὶ τοὺς τρόπους.
ἀνεσείρασε δέ μου τὴν ὄρεξιν ἡ τέχνη.
κάλει δέ μ' Ἀλέξανδρον εὔλαλον, φίλος.

### 688. ΑΛΛΟ.

εἰς πύλην τοῦ Ἄργους.

Τήνδε πύλην λάεσσιν ἐΰξέστοις ἀραρυῖαν,
ἀμφότερον, κόσμον τε πάτρῃ, καὶ θάμβος ὁδίταις
τεῦξε Κλέης Κλεάδας ἀγανῆς πόσις εὐπατερείης,
Λερναίων ἀδύτων περιώσιος ὀργιοφάντης,
τερπόμενος δώροισιν ἀγασθενέων βασιλήων.

### 689. ΑΛΛΟ.

εἰς τὴν Εὐγενίου πόρταν ἐν Βυζαντίῳ.

Οὗτος Ἰουλιανὸς λαοσσόα τείχεα πήξας,
    στῆσε τρόπαιον, ἑῆς σύμβολον ἀγρυπνίης.

---

Nr. 687. V. 2. ἀνεσείρασεν. P. Nr. 688. V. 3. Κλεάδος ἀγνης (α above). P. V. 4. λερνέων et ἀργιοφάντης. P.

σφάζειν ἀντιβίους ἐχθροὺς ἀπάνευθε μενοινῶν,
ἢ προπάροιθε κροτεῖν τῆς πόλεως πολέμους.

690. ΑΛΛΟ.

εἰς πόρταν τὴν ἐπιλεγομένην ξυλόκερκον ἐν Βυζαντίῳ.

Θευδόσιος τόδε τεῖχος ἄναξ, καὶ ὕπαρχος Ἑῴας
Κωνσταντῖνος ἔτευξεν ἐν ἤμασιν ἑξήκοντα.

691. ΑΛΛΟ.

εἰς πόρταν τοῦ Ῥησίου ἐν Βυζαντίῳ.

Ἤμασιν ἑξήκοντα φιλοσκήπτρῳ βασιλῆϊ
Κωνσταντῖνος ὕπαρχος ἐδείματο τείχεϊ τεῖχος.

692. ΑΛΛΟ.

Βιβιανοῦ τόδε ἔργον, ὃν ἀντολίαι δύσιές τε
μέλπουσιν γεραρῶς εἵνεκεν εὐνομίης.

693. ΑΛΛΟ.

Τόνδε Τύχης ἀνέγειρε δόμον Δημήτριος ἀρχός,
τὴν πόλιν οἰκτείρας, ὡς παῖς Ἱερίου·
αὐτοῦ καὶ βουλῇ τάδ' ἐδείματο, οὔτε πόληος
οὔτ' ἔτι δημοτέροις χρήμασιν, ἀλλ' ἰδίοις.

---

Nr. 689. V. 4. ἢ πόλεως προπάροιθε κροτέειν πολέμους. P. Fort. ἢ προπάροιθε πόλεως συγκροτέειν πολέμους. Nr. 692. V. 2. Fort. γεραρᾶς aut γεραρῆς.

Digitized by Google

[P] 694. ΑΔΗΛΟΝ.

εἰς καμάραν.

Μεσσαλινοῖο γόνος τόδε θέσκελον ἔκτισε τόξον.

695. ΑΛΛΟ.

εἰς λίθον ἀκοίτονον.

Ὁρᾷς τὸ κάλλος ὅσσον ἐστὶ τῆς λίθου
ἐν ταῖς ἀτάκτοις τῶν φλεβῶν εὐταξίαις.

696. ΑΔΗΛΟΝ.

εἰς ἁψῖδα ἐν τῇ βασιλικῇ ἐν Βυζαντίῳ.

Τετραπόροις ἁψῖσι πόλιν Θεόδωρος ἐγείρας,
ἄξιός ἐστι πόλιν καὶ τέτρατον ἡνιοχεῦσαι.

697. ΑΔΗΛΟΝ.

εἰς ἕτερον μέρος τῆς αὐτῆς ἁψῖδος.

Ἔπρεπέ σοί, Θεόδωρε, Τύχης εὐκίονα νηὸν
ἔργον κοσμῆσαι θαύματι τοσσατίου,
δῶρά τε κυδήεντα πορεῖν χρυσάσπιδι Ῥώμῃ,
ἥ σ' Ὕπατον τεῦξεν, καὶ τρισέπαρχον ὁρᾷ.

698. ΑΛΛΟ.

Μόψου τήνδ' ἐσορᾷς κλεινὴν πόλιν, ἥν ποτε μάντις
δείματο, τῷ ποταμῷ κάλλος ὑπερκρεμάσας.

---

Nr. 696. V. 1. πύλην. Br. Nr. 697. V. 4. ὁρῇ. P.

699. ΑΛΛΟ.

εἰς πηγὴν ὀνομαζομένην Ὀλυμπιάδα.

Ἔνθεν Ἀλέξανδρος Μακεδὼν πίεν ἀγλαὸν ὕδωρ·
μητρὸς δ' εἶπε γάλακτι πανείκελα ῥεύματα πηγῆς,
ἥ καὶ Ὀλυμπιάδος πόρεν οὔνομα, σῆμα δὲ τοῦτο.

700. ΣΙΜΩΝΙΔΟΥ.

Γράψε Πολύγνωτος, Θάσιος γένος, Ἀγλαοφῶντος
υἱός, περθομένην Ἰλίου ἀκρόπολιν.

701. ΑΔΗΛΟΝ.

εἰς ναὸν τοῦ Διὸς κτισθέντα παρὰ τῶν Κεκροπιδῶν.

Αὐτοῦ Ζηνὸς ὅδ' οἶκος ἐπάξιος· οὐδ' ἂν Ὄλυμπος
μέμψεται οὐρανόθεν Ζῆνα κατερχόμενον.

702. ΑΛΛΟ.

Κεκροπίδαι Διΐ τόνδ' ἔθεσαν δόμον, ὡς ἀπ' Ὀλύμπου
νισσόμενος ποτὶ γᾶν, ἄλλον Ὄλυμπον ἔχοι.

703. ΑΛΛΟ.

Τεάρου ποταμοῦ κεφαλαὶ ὕδωρ ἄριστόν τε
καὶ κάλλιστον παρέχονται πάντων ποταμῶν·

---

Nr. 699. V. 2. παγᾶς. P. Nr. 700. V. 1. γράψεν ἀρίγνωτος. P. V. 2. ἠλίου. P. Nr. 702. V. 2. νισόμενος. P. Ibid. ἔχει. P.

καὶ ἐπ' αὐτὰς ἀπίκετο ἐλαύνων ἐπὶ Σκύθας
στρατὸν ἀνὴρ κάλλιστος καὶ ἄριστος πάντων
ἀνθρώπων Δαρεῖος, ὁ Ὑστάσπεος, Περσέων τε
καὶ πάσης τῆς ἠπείρου βασιλεύς.

### 704. ΑΔΗΛΟΝ.

Τήκει καὶ πέτρην ὁ πολὺς χρόνος· ἀλλ' ἀρετάων
Ἀσκληπιοδότου τὸ κλέος ἀθάνατον,
ὅσσα καὶ οἷα πόρεν γέρα πατρίδι· τοῖς ἐπὶ πᾶσι
καὶ τόδε μετρείσθω κοῖλον ἔρεισμα θόλου.

### [P] 705. ΑΔΗΛΟΝ.

Δῶρον Τερμησσοῖο δικασπολίης χάριν ἁγνῆς,
Εὐσέβιος θεράπων θῆκε θεῷ τὸ γέρας.

### 706. ΑΔΗΛΟΝ.

Δένδρεον ἱερόν εἰμι· παρερχόμενός με φυλάσσευ
πημαίνειν· ἀλγῶ, ξεῖνε, κολουομένη.
μίμνει παρθένιός μοι ἔτι φλόος· οὐχ ἅπερ ὠμαῖς
ἀχράσιν· αἰγείρων τίς γένος οὐκ ἐδάη;
εἰ δὲ περιδρύψῃς με παρ' ἀτραπιτόν περ ἐοῦσαν,
δακρύσεις· μέλομαι καὶ ξύλον Ἠελίῳ.

---

Nr. 704. V. 3. κέρι (α supra) πόῤῥεν. P. Nr. 706. V. 3. μέμνεο et ἐπιφλοος. P. V. 4. αιηρων τις. P. V. 5. παρατραπίην. P.

707. ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ.

Εἰμὶ μὲν ἐν ποταμοῖς, πελάγει δ' ἴσα μέτρα διώκω,
Στρυμών, Ἠμαθίης τὸ γλυκερὸν πέλαγος·
βένθος ὁμοῦ καὶ ἄρουρα δι' ὕδατος· ἢ γὰρ ἐγείρω
ὀμπνιακῶν χαρίτων ἡδύτερον τρίβολον.
ἔστι καὶ Ἠμαθίης γόνιμος βυθός· ἄμμι δέ, Νεῖλε,
κρείσσων ἔσθ' ὁ φέρων τὸν στάχυν, οὐχ ὁ τρέφων.

708. ΦΙΛΙΠΠΟΥ.

Ἔζευξ' Ἑλλήσποντον ὁ βάρβαρος ἄφρονι τόλμῃ·
τοὺς δὲ τόσους καμάτους πάντας ἔλυσε χρόνος.
ἀλλὰ Δικαιάρχεια διηπείρωσε θάλασσαν,
καὶ βυθὸν εἰς χέρσου σχῆμα μετεπλάσατο.
λᾶα, βαθὺ στήριγμα, κατερρίζωσε πέλωρον,
χερσὶ Γιγαντείαις δ' ἔστασε νέρθεν ὕδωρ.
ἦν δ' ἀλ' ἀεὶ πλώειν· διοδευομένη δ' ὑπὸ ναύταις,
ἄστατος εἰς πεζοὺς ὡμολόγησε μένειν.

709. ΤΟΥ ΑΥΤΟΥ.

Εὐρώταν ὡς ἄρτι διάβροχον, ἔν τε ῥεέθροις,
εἵλκυσ' ὁ τεχνίτης ἐν πυρὶ λουσάμενον·
πᾶσι γὰρ ἐν κώλοις ὑδατούμενος ἀμφινένευκεν
ἐκ κορυφῆς ἐς ἄκρους * ὑγροβατῶν ὄνυχας.

---

Nr. 708. V. 2. Fort. ἔλυσε νότος. V. 3. δικαιαρχία. P. V. 7. ἦν δ' ἀλλ' αἰεὶ πλ. P. Nr. 709. V. 2. τεχνίτης. P. V. 4. εἰς ἄκρ. P. Fort. ὑγροβατῶν.

ἁ δὲ τέχνα ποταμῷ συνεπήρικεν· ἆ τίς ὁ πείσας
χαλκὸν κωμάζειν ὕδατος ὑγρότερον;

710. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὰς ἐν Μέμφει πυραμίδας.

Ὄσσαν ἐπ' Οὐλύμπῳ καὶ Πήλιον ὑψωθέντα
ψευδὴς ἱστορίης ῥῆσις ἀνεπλάσατο·
Πυραμίδες δ' ἔτι νῦν Νειλωΐδες ἄκρα μέτωπα
κύρουσιν χρυσέοις ἀστράσι Πληϊάδων.

[P] 711. ΖΗΝΟΒΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Αὐτὴν Γραμματικὴν ὁ ζωγράφος ἤθελε γράψαι·
Βίκτορα δὲ γράψας, τὸν σκοπόν, εἶπεν, ἔχω.

712. ΜΗΤΡΟΔΩΡΟΥ.

Αὐτὸν Ἰωάννην ὁ γέρων ὅτ' ἐδέξατο θεσμός,
εἶπεν ἀνηβήσας· αὖθις ἔχω σε, Σόλων.

713. ΑΔΗΛΟΝ.

εἰς τὴν Μύρωνος βοῦν.

Βοΐδιόν εἰμι Μύρωνος, ἐπὶ στήλης δ' ἀνάκειμαι.
βουκόλε, κεντήσας εἰς ἀγέλην μ' ἄπαγε.

---

Nr. 710. V. 2. χρῆσις. P. V. 3. νειλοΐδες. P. V. 4. κυροῦσιν. P.

714. ΑΛΛΟ.

Τίπτε, Μύρων, με τὸ βοίδιον ἐνταυθοῖ παρὰ βωμοῖς
ἕστασας; οὐκ ἐθέλεις εἰςαγέμεν μέγαρον;

715. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Βουκόλε, τὰν ἀγέλαν πόῤῥω νέμε, μὴ τὸ Μύρωνος
βοίδιον ὡς ἔμπνουν βουσὶ συνεξελάσῃς.

716. ΤΟΥ ΑΥΤΟΥ.

Βοίδιον οὐ χοάνοις τετυπωμένον, ἀλλ' ὑπὸ γήρως
χαλκωθέν, σφετέρῃ ψεύσατο χειρὶ Μύρων.

717. ΕΥΗΝΟΥ.

Ἢ τὸ δέρας χάλκειον ὅλον βοΐ τᾷδ' ἐπίκειται
ἔκτοθεν, ἢ ψυχὴν ἔνδον ὁ χαλκὸς ἔχει.

718. ΤΟΥ ΑΥΤΟΥ.

Αὐτὸς ἐρεῖ τάχα τοῦτο Μύρων· οὐκ ἔπλασα ταύταν
τὰν δάμαλιν, ταύτας δ' εἰκόν' ἀνεπλασάμην.

719. ΛΕΩΝΙΔΑ.

Οὐκ ἔπλασέν με Μύρων, ἐψεύσατο· βοσκομέναν δὲ
ἐξ ἀγέλας ἐλάσας, δῆσε βάσει λιθίνῳ.

---

Nr. 714. V. 2. ἥδρασας. Br. Nr. 718. V. 2. ἀπεπλασάμην. Br. Nr. 719. V. 2. λιθίνᾳ. Plan.

Digitized by Google

### 720. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Εἰ μή μου ποτὶ τᾷδε Μύρων πόδας ἥρμοσε πέτρᾳ,
ἄλλαις ἂν νεμόμαν βουσὶν ὁμοῦ δάμαλις.

### 721. ΤΟΥ ΑΥΤΟΥ.

Μόσχε, τί μοι λαγόνεσσι προσέρχεαι; τίπτε δὲ μυκᾷ;
ἁ τέχνα μαζοῖς οὐκ ἐνέθηκε γάλα.

### 722. ΤΟΥ ΑΥΤΟΥ.

Τὰν δάμαλιν, βουφορβέ, παρέρχεο, μηδ' ἀπάνευθε
συρίσδῃς· μαστῷ πόρτιν ὑπεκδέχεται.

### 723. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ μόλιβος κατέχει με καὶ ἁ λίθος· εἵνεκα δ' ἂν σεῦ,
πλάστα Μύρων, λωτὸν καὶ θρύον ἐδρεπόμαν.

### 724. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ δάμαλις, δοκέω, μυκήσεται· ἦ ῥ' ὁ Προμηθεὺς
οὐχὶ μόνος, πλάττεις ἔμπνοα καὶ σὺ Μύρων.

### 725. ΑΔΗΛΟΝ.

Βοῦν ἰδίαν ποτὲ βουσὶ Μύρων μιχθεῖσαν ἐρεύνα·
εὗρε μόλις δ' αὐτήν, τὰς βόας ἐξελάσας.

---

Nr. 722. V. 2. Fort. συρίξῃς. Ibid. ἀπεκδέχεται. P. Nr. 725. V. 1. ἐρεύνα. Plan. ἐζήτει. P.

726. ΑΛΛΟ.

Ἁ βοῦς ἁ τίκτουσ' ἀπὸ γαστέρος ἔπλασε τὰν βοῦν·
ἁ δὲ Μύρωνος χεὶρ οὐ πλάσεν, ἀλλ' ἔτεκεν.

[P] 727. ΑΔΗΛΟΝ.

Καὶ χαλκῇ περ ἐοῦσα λάλησεν ἂν ἁ κεραὴ βοῦς,
εἴ οἱ σπλάγχνα Μύρων ἔνδον ἐτεχνάσατο.

728. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἁ δάμαλις, δοκέω, μυκήσεται· ἢν δὲ βραδύνῃ,
χαλκὸς ὁ μὴ νοέων αἴτιος, οὐχὶ Μύρων.

729. ΑΛΛΟ.

Πηκτόν μοί τις ἄροτρον ἐπ' αὐχένι καὶ ζύγα θέσθω·
εἵνεκα γὰρ τέχνας σεῖο, Μύρων, ἀρόσω.

730. ΔΗΜΗΤΡΙΟΥ ΒΙΘΥΝΟΥ.

Ἤν μ' ἐσίδῃ μόσχος, μυκήσεται· ἢν δέ γε ταῦρος,
βήσεται· ἢν δὲ νομεύς, εἰς ἀγέλαν ἐλάσει.

731. ΑΛΛΟ.

Ὧδε Μύρων μ' ἔστησε τὸ βοίδιον· οἱ δὲ νομῆες
βάλλουσίν με λίθοις, ὡς ἀπολειπόμενον.

732. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Βουκόλον ἢν ἐσίδῃς τὸν ἐμόν, ξένε, τοῦτ' ἔπος αὐτῷ
εἰπόν, ὅθ' ὁ πλάστης ὧδέ μ' ἔδησε Μύρων.

Digitized by Google

733. ΑΔΗΛΟΝ.

Τὰν βοῦν τάνδε Μύρων, ξεῖν', ἔπλασεν, ἣν ὅδε μόσχος
ὡς ζῶσαν σαίνει ματέρα δερκόμενος.

734. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ταῦρε, μάτην ἐπὶ πόρτιν ἐπείγεαι· ἔστι γὰρ ἄπνους.
ἀλλά σ' ὁ βουπλάστας ἐξαπάτησε Μύρων.

735. ΑΛΛΟ.

Σεῖο, Μύρων, δαμάλει παρακάτθανε μόσχος ἀλαθείς,
καὶ γάλα πιστεύων χαλκὸν ἔσωθεν ἔχειν.

736. ΑΛΛΟ.

Φεῦ σὺ Μύρων πλάσσας οὐκ ἔφθασας· ἀλλὰ σὲ χαλκός,
πρὶν ψυχὴν βαλέειν, ἔφθασε πηγνύμενος.

737. ΑΛΛΟ.

Χαλκείην τύπτεις δάμαλιν· μέγα σ' ἤπαφε τέχνα,
βουκόλε· τὰν ψυχὰν οὐ προσέθηκε Μύρων.

738. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

Ἐν βοῒ τᾷδ' ἐμάχοντο Φύσις καὶ πότνια Τέχνα·
ἀμφοτέραις δὲ Μύρων ἶσον ὄπασσε γέρας.

---

Nr. 734. V. 1. ἐπὶ μάσχον. P. V. 2. πλάστας ἠπάτησε. P. Nr. 73 V. 1. Φεῦ Μίρων πλάσας. P. Nr. 737. V. 1. Fort. χαλκείαν.

δερκομένοις μὲν γάρ, Φύσιος κράτος ἥρπασε Τέχνα·
αὐτὰρ ἐφαπτομένοις, ἡ Φύσις ἐστὶ Φύσις.

739. ΤΟΥ ΑΥΤΟΥ.

Ἥπαφε καὶ σὲ μύωπα Μύρων, ὅτι κέντρον ἐρείδεις
πλευραῖς χαλκοχύτοις ἀντιτύποιο βοός.
οὐ νέμεσις δὲ μύωπι (τί γάρ;) τόσον, εἴ γε καὶ αὐτοὺς
ὀφθαλμοὺς νομέων ἠπερόπευσε Μύρων.

740. ΓΕΜΙΝΟΥ.

Ἡ βάσις, ἡ κατέχουσα τὸ βοίδιον, ἣ πεπέδηται.
ἢν δ' ἀφεθῇ ταύτης, φεύξεται εἰς ἀγέλην.
μυκᾶται γὰρ ὁ χαλκός· ἴδ' ὡς ἔμπνουν ὁ τεχνίτας
θήκατο· κἂν ζεύξῃς ἄλλον, ἴσως ἀρόσει.

[P] 741. ΑΔΗΛΟΝ.

Χάλκεος ἧς, ἐπὶ σοὶ δὲ γεωτόμος εἷλκεν ἄροτρον,
καὶ ζυγόδεσμα φέρων, ψευδομένα δάμαλι.
ἀλλὰ Μύρων τέχνᾳ πανυπείροχος, ὅς σε δι' ἔργων
ἔμπνουν, ὥς τινα βοῦν ἐργάτιν, εἰργάσατο.

742. ΑΛΛΟ. [ΦΙΛΙΠΠΟΥ.]

Ἄπαιρέ μου τένοντος, ὦ γεωπόνε,
λέπαδνα, καὶ σίδαρον αὐλακεργάταν.

---

Nr. 739. V. 3. καὶ αὐτός. P. V. 4. ἠπερόπευε. P. Nr. 742. V. 2. αὐλακεργατα. P.

χαλκὸν γὰρ ἁμῶν οὐκ ἐσάρκωσεν Μύρων,
τέχνα δ' ἐζωπόνησεν ὄψιν ἔμπνοον,
ὥς πολλάκις με κἀπομυκᾶσθαι θέλειν·
εἰς ἔργα δ' οὐκ εἴασε, προςδήσας βάσει.

743. ΘΕΟΔΩΡΙΔΑ.

Θεσσαλαὶ αἱ βόες αἵδε· παρὰ προθύροισι δ' Ἀθάνας
ἑστᾶσιν, καλὸν δῶρον, Ἰτωνιάδος·
πᾶσαι χάλκειαι, δυοκαίδεκα, Φράδμονος ἔργον,
καὶ πᾶσαι γυμνῶν σκῦλον ἀπ' Ἰλλυριῶν.

744. ΛΕΩΝΙΔΑ.

Ὠγινόμοι Σώτων καὶ Σίμαλος, οἱ πολύαιγοι,
οἷα βαθυσχίνων, ὦ ξένε, * παρολκιδαν,
Ἑρμᾷ τυρευτῆρι καὶ εὔγλαγι τὸν χιμάραρχον
χάλκεον εὐπώγων' ὧδ' ἀνέθεντο τράγον.

745. ἈΝΥΤΗΣ.

Θάεο τὸν Βρομίου κεραὸν τράγον, ὡς ἀγερώχως
ὄμμα κατὰ λασίαν γαῦρον ἔχει γενύων,
κυδιόων ὅτι οἱ θάμ' ἐν οὔρεσιν ἀμφὶ παρῇδα
βόστρυχον εἰς ῥοδέαν Ναῒς ἔδεκτο χέρα.

---

V. 4. τέχνᾳ. Br. V. 5. Fort. κἀπομυκᾶσθαι δοκεῖν. Nr. 743. V. 4. σκύλων. P. Nr. 744. V. 2. ἀξενε. P. V. 4. εὔπωγον. P. Nr. 745. V. 3. ὅτι οὐ. P.

Digitized by Google

### 746. ΠΟΛΕΜΩΝΟΣ ΒΑΣΙΛΕΩΣ.

εἰς δακτύλιον.

Ἑπτὰ βοῶν σφραγῖδα βραχὺς λίθος εἶχεν ἴασπις,
ὡς μίαν, ὡς πάσας ἔμπνοα δερκομένας.
καὶ τάχα κἂν ἀπέρεψε τὰ βοίδια· νῦν δὲ κέκλειται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

### 747. ΠΛΑΤΩΝΟΣ.

Εἰκόνα πέντε βοῶν μικρὰ λίθος εἶχεν ἴασπις,
ὡς ἤδη πάσας ἔμπνοα βοσκομένας.
καὶ τάχα κἂν ἀπέφευγε τὰ βοίδια· νῦν δὲ κρατεῖται
τῇ χρυσῇ μάνδρῃ τὸ βραχὺ βουκόλιον.

### [P] 748. ΠΛΑΤΩΝΟΣ ΝΕΩΤΕΡΟΥ.

εἰς Διόνυσον γεγλυμμένον ἐν ἀμεθύστῳ.

Ἁ λίθος ἔστ' ἀμέθυστος· ἐγὼ δ' ὁ πότας Διόνυσος.
ἢ νήφειν πείσει μ', ἢ μαθέτω μεθύειν.

### 749. ΟΙΝΟΜΑΟΥ.

εἰς Ἔρωτα ἐν Καυκίῳ γεγλυμμένον.

Ἐν κυάθῳ τὸν Ἔρωτα. τίνος χάριν; ἀρκετὸν οἴνῳ
αἴθεσθαι κραδίην. μὴ πυρὶ πῦρ ἔπαγε.

---

Nr. 746. V. 3. Fort. ἀπέρευσε. Nr. 747. V. 3. ἀπέφυγε. P. Nr. 748. V. 1. ἀμέθυσος. P. V. 2. νείφειν. P. ἢ πεισάτω νήφειν alio loco P. ἢ πιθέτω. Br.

750. ΑΡΧΙΟΥ.

εἰς βόας ἐν δακτυλίῳ.

Τὰς βοῦς καὶ τὸν ἴασπιν ἰδὼν περὶ χειρί, δοκήσεις
τὰς μὲν ἀναπνείειν, τὸν δὲ χλοηκομέειν.

751. ΠΛΑΤΩΝΟΣ ΝΕΩΤΕΡΟΥ.

Ἁ σφραγὶς ὑάκινθος· Ἀπόλλων δ' ἐστὶν ἐν αὐτῇ
καὶ Δάφνη· ποτέρου μᾶλλον ὁ Λητοΐδας;

752. ΑΣΚΛΗΠΙΑΔΟΥ. τινὲς δὲ ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Εἰμὶ Μέθη τὸ γλύμμα σοφῆς χερός, ἐν δ' ἀμεθύστῳ
γέγλυμμαι· τέχνης δ' ἡ λίθος ἀλλοτρίη.
ἀλλὰ Κλεοπάτρης ἱερὸν κτέαρ· ἐν γὰρ ἀνάσσης
χειρὶ θεὸν νήφειν καὶ μεθύουσαν ἔδει.

753. ΚΛΑΥΔΙΑΝΟΥ.

εἰς κρύσταλλον ἔνδον ὕδωρ ἔχουσαν.

Χιονέη κρύσταλλος ὑπ' ἀνέρος ἀσκηθεῖσα
δεῖξεν ἀκηρασίοιο παναίολον εἰκόνα κόσμου,
οὐρανὸν ἀγκὰς ἔχοντα βαρύκτυπον ἔνδοθι πόντον.

---

Nr. 750. V. 1. τὴν ἴασπιν. Nr. 751. V. 1. οἰάκινθος. P.
Nr. 752. V. 3. Fort. Κλειοπάτρης c. Plan.

754. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Εἰπ' ἄγε μοι, κρύσταλλε, λίθῳ πεπυκασμένον ὕδωρ,
τίς πῆξεν; Βορέης. ἢ τίς ἔλυσε; Νότος.

755. ΑΔΕΣΠΟΤΟΝ.

εἰς Σκύλλαν χαλκῆν.

Εἰ μὴ χαλκὸς ἔλαμπεν, ἐμάνυε δ' ἔργον ἄνακτος
ἔμμεναι Ἡφαίστου δαιδαλέοιο τέχνας,
αὐτὴν ἄν τις Σκύλλαν ὀΐσσατο τηλόθι λεύσσων
ἑστάμεν, ἐκ πόντου γαῖαν ἀμειψαμέναν·
τόσσον ἐπισσείει, τόσσον κότον ἀντία φαίνει,
οἷον ἀπὸ πελάγευς συγκλονέουσα νέας.

[P] 756. ΑΙΜΙΛΙΑΝΟΥ.

Τέχνας εἵνεκα σεῖο καὶ ἁ λίθος οἶδε βρυάζειν,
Πραξίτελες· λῦσον, καὶ πάλι κωμάσομαι.
νῦν δ' ἡμῖν οὐ γῆρας ἔτ' ἀδρανές, ἀλλ' ὁ πεδητὰς
Σιληνοῖς κώμων βάσκανός ἐστι λίθος.

757. [ΣΙΜΩΝΙΔΟΥ.]

Ἰφίων τόδ' ἔγραψε Κορίνθιος. οὐκ ἔνι μῶμος
χερσίν, ἐπεὶ δόξας ἔργα πολὺ προφέρει.

---

Nr. 755. V. 6. Fort. ἀπαὶ πελάγ. Nr. 756. V. 2. πάλιν. P. V. 3. ὀπεδιτας. P. V. 4. κομῶν et ἔσται. P.

758. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς θύρας.

Κίμων ἔγραψε τὴν θύραν τὴν δεξιάν·
τὴν δ' ἐξιόντων δεξιὰν Διονύσιος.

759. ΑΔΕΣΠΟΤΟΝ.

εἰς ἅρμα λίθινον.

Εἷς λίθος, ἅρμ', ἐλατὴρ, ἵπποι, ζυγὸν, ἡνία, μάστιξ.

760. ΑΛΛΟ.

Εἷς δίφρος, ἅρμ', ἐλατὴρ, ἵπποι, ζυγὸς, ἡνία, νίκη.

761. ΑΔΗΛΟΝ.

εἰς βότρυν ἐκ χρωμάτων.

Μικροῦ κατέσχον τὸν βότρυν τοῖς δακτύλοις,
ὑπεραπατηθεὶς τῇ θέᾳ τῶν χρωμάτων.

762. ΑΒΛΑΒΙΟΥ ΙΛΛΟΥΣΤΡΙΟΥ.

εἰς δίσκον Ἀσκληπιάδου ῥωμαῖον.

Ἥφαιστός μ' ἐτέλεσσε καμὼν χρόνῳ· ἀλλὰ Κυθείρη
ἀνδρὸς ἑοῦ θαλάμων εἵλετο λαθριδίως,
Ἀγχίσῃ δ' ἔπορεν κρυφίης μνημήϊον εὐνῆς·
καί μ' Ἀσκληπιάδης εὗρε παρ' Αἰνεάδαις.

---

Nr. 762. V. 1. χρόνον. P.



Digitized by Google

763. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

εἰς ἀρχοντικὸν πέλεκυν.

Ἢν μὲν ἀλιτραίνῃς, πέλεκυν βλεφάροισι δοκεύεις·
ἢν δὲ σαοφρονέῃς, ἄργυρός εἰμι μόνον.

764. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς κωνωπεῶνα.

Οὐ βριαρόν τινα θῆρα, καὶ οὔ τινα πόντιον ἰχθύν,
οὐ πτερὸν ἀγρεύω πλέγμασιν ἡμετέροις,
ἀλλὰ βροτοὺς ἐθέλοντας. ἀλεξήτειρα δὲ τέχνη
ἀνέρα μυιάων κέντρον ἀλευόμενον
ἐκ θαλίης ἀβρῶτα μεσημβριάοντα φυλάσσει,
οὐδὲν ἀφαυροτέρη τείχεος ἀστυόχου.
ὕπνου δ' ἀστυφέλικτον ἄγω χάριν. ἀλλὰ καὶ αὐτοὺς
δμῶας μυιοσόβου ῥύομαι ἀτμενίης.

765. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Καλλιγάμοις λέκτροις περικίδναμαι· εἰμὶ δὲ κεδνῆς
δίκτυον οὐ Φοίβης, ἀλλ' ἁπαλῆς Παφίης.
ἀνέρα δ' ὑπνώοντα μίτῳ πολύωπι καλύπτω,
ζωοφόρων ἀνέμων οὐδὲν ἀτεμβόμενον.

[P] 766. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς τὸ αὐτό.

Πλέγμασι μὲν σκοπός ἐστι περισφίγξαι πετεηνῶν
ἔθνεα, καὶ ταχινοὺς ἔνδοθεν ὀρταλίχους·

Digitized by Google

αὐτὰρ ἐγὼ σεύειν ἐπιτέρπομαι, οὐδὲ καλύπτω
    ἔνδοθεν, ἀλλ' εἴργω μᾶλλον ἐπειγομένους.
οὐδέ μέ τις λήσειε, καὶ εἰ βραχὺς ἔπλετο, κώνωψ
    ἡμετέρης διαδὺς πλέγμα λινοστασίης.
ὄρνεά που σώζω· μερόπεσσι δὲ λέκτρα φυλάσσω·
    ἦ ῥά τις ἡμείων ἐστὶ δικαιότερος;

767. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τάβλαν.

Ἑζόμενος μὲν τῇδε παρ' εὐλάϊγγι τραπέζῃ
    παίγνια κινήσεις τερπνὰ βολοκτυπίης.
μήτε δὲ νικήσας μεγαλίζεο, μήτ' ἀπολειφθεὶς
    ἄχνυσο, τὴν ὀλίγην μεμφόμενος βολίδα.
καὶ γὰρ ἐπὶ σμικροῖσι νόος διαφαίνεται ἀνδρός·
    καὶ κύβος ἀγγέλλει βένθος ἐχεφροσύνης.

768. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Παίγνια μὲν τάδε πάντα· Τύχης δ' ἑτερότροπος ὁρμὴ
    ταῖς ἀλόγοις ταύταις ἐμφέρεται βολίσιν.
καὶ βροτέου βιότου σφαλερὸν μίμημα νοήσεις,
    νῦν μὲν ὑπερβάλλων, νῦν δ' ἀπολειπόμενος.
αἰνέομεν δὴ κεῖνον, ὃς ἐν βιότῳ τε κύβῳ τε
    χάρματι καὶ λύπῃ μέτρον ἐφηρμόσατο.

Digitized by Google

769. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Τοῖς μὲν πρηϋνόοις τάδε παίγνια· τοῖς δ' ἀκολάστοις
λύσσα καὶ ἀμπλακίη καὶ πόνος αὐτόματος.
ἀλλὰ σὺ μὴ λέξῃς τι θεημάχον ὕστατος ἕρπων,
μηδ' ἀναροιβδήσῃς ῥινοβόλῳ πατάγῳ.
δεῖ γὰρ μήτε πονεῖν ἐν ἀθύρμασι, μήτε τι παίζειν
ἐν σπουδῇ. καιρῷ δ' ἴσθι νέμειν τὸ πρέπον.

770. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς ποτήριον οἰκείας θυγατρὸς παρθένου.

Χεῖλος Ἀνικήτεια τὸ χρύσεον εἰς ἐμὲ τέγγει·
ἀλλὰ παρασχοίμην καὶ πόμα νυμφίδιον.

771. ΙΟΥΛΙΑΝΟΥ ΑΠΟ ΥΠ. ΑΙΓ.

εἰς φιάλην ἔχουσαν κινουμένους ἰχθύας.

Οὕτω Βάκχον ἔδεκτο Θέτις. νῦν μῦθος Ὁμήρου,
ὀψὲ μέν, ἀλλ' εὗρεν πίστιν ἐτητυμίης.

[P] 772. ΦΩΚΑ ΔΙΑΚΟΝΟΥ.

Οἰνοχόῳ φίλον εἰμὶ μόνῳ δέπας, οὕνεκεν αὐτῷ
Βάκχον ἀολλίζω τὸν περιλειπόμενον.

Digitized by Google

### 773. ΠΑΛΛΑΔΑ.

Χαλκοτύπος τὸν Ἔρωτα μεταλλάξας ἐπόησε
τήγανον, οὐκ ἀλόγως, * ὅτι δὴ καὶ αὐτὸ φλε-
γέθει.

### 774. ΓΛΑΥΚΟΥ ΑΘΗΝΑΙΟΥ.

Ἁ Βάκχα Παρία μέν, ἐνεψύχωσε δ' ὁ γλύπτας
τὸν λίθον· ἀνθρώσκει δ' ὡς βρομιαζομένα.
ὦ Σκόπα, ἁ θεοποιὸς ....... ἐμήσατο τέχνα
θαῦμα χιμαιροφόνον, Θυιάδα μαινομέναν.

### 775. ΤΟΥ ΑΥΤΟΥ.

Ἡ Βάκχη Κρονίδην Σάτυρον θέτο· εἰς δὲ χορείαν
θρώσκει μαινόμενος, ὡς βρομιαζόμενος.

### 776. ΔΙΟΔΩΡΟΥ.

εἰς κρύσταλλον γεγλυμμένον.

Ζεύξιδος ἡ χροιή τε καὶ ἡ χάρις· ἐν δέ με μικρῇ
κρυστάλλῳ, τὸ καλὸν δαίδαλον, Ἀρσινόη
γράψας τοῦτ' ἔπορεν Σατυρήϊος· εἰμὶ δ' ἀνάσσης
εἰκών, καὶ μεγάλης λείπομαι οὐδ' ὀλίγον.

---

Nr. 773. V. 2. ὅττι καὶ αὐτὸ φλέγει. Br. Nr. 774. V. 1. παρι-να. P. V. 3. ἐμήσατο μήσατο. P. Fort. ἁ θεοποιὸς ὅσον σέο μήσατο τ. Θαῦμα. Nr. 775. V. 1. ἔθετο. P.

Digitized by Google

777. ΦΙΛΙΠΠΟΥ.

Ἰδ' ὡς ὁ πῶλος χαλκοδαιδάλῳ τέχνᾳ
κορωνιῶν ἕστηκε· δριμὺ γὰρ βλέπων
ὑψαυχενίζει, καὶ διηνεμωμένας
κορυφῆς ἐθείρας οὐρίωκεν εἰς δρόμον.
δοκέω, χαλινοὺς εἴ τις ἡνιοστρόφος
ἐναρμόσῃ γένυσσι, κἀπικεντρίσῃ,
ὁ σὸς πόνος, Λύσιππε, καὶ παρ' ἐλπίδας
τάχ' ἐκδραμεῖται· τᾷ τέχνᾳ γὰρ ἐμπνέει.

778. ΦΙΛΙΠΠΟΥ.

Γαῖαν τὴν φερέκαρπον ὅσην ἔζωκε περισχὼν
ὠκεανὸς μεγάλῳ Καίσαρι πειθομένην,
καὶ γλαυκὴν με θάλασσαν ἀπηκριβώσατο * καρπος
κερκίσιν ἱστοπόνοις πάντ' ἀπομαξαμένη·
Καίσαρι δ' * ἀκείνου χάρις ἤλθομεν· ἦν γὰρ ἀνάσσῃς
δῶρα φέρειν τὰ θεοῖς καὶ πρὶν ὀφειλόμενα.

[P] 779. ΑΔΕΣΠΟΤΟΝ.

εἰς βάσιν τοῦ Ὡρολογίου τοῦ εἰς τὴν ἀψῖδα τὴν κειμένην εἰς τὴν βασιλικήν.

Δῶρον Ἰουστίνοιο τυραννοφόνου βασιλῆος
καὶ Σοφίης ἀλόχου, φέγγος ἐλευθερίης,

---

Nr. 777. V. 5. ἡγιοστρόφους. P. V. 5. ἐναρμόσει et κἀπικεντρίσει. Br. Nr. 778. V. 1. ὅση εξωκε περιχθών. P: περίχθων corr. Br. V. 3. Fort. Καρπῶ.

ὡράων σκοπίαζε σοφὸν σημάντορα χαλκὸν
αὐτῆς ἐκ μονάδος μέχρι δυωδεκάδος,
ὅντινα συληθέντα, Δίκης θρόνον ἡνιοχεύων
εὗρεν Ἰουλιανὸς χερσὶν ἀδωροδόκοις.

780. ΑΔΕΣΠΟΤΟΝ.

εἰς ὡρολόγιον.

Ὡρανὸν ἁ χωρεῦσα σοφὰ λίθος, ἁ διὰ τυτθοῦ
γνώμονος ἀελίῳ παντὶ μερισδομένα.

781. ΑΔΗΛΟΝ.

εἰς κάγκελον οἰκίας.

Ἢν κλείσῃς μ', ἀνέωγα· καὶ ἢν οἴξῃς ἐμὲ κλείσεις·
τοῖος ἐὼν τηρεῖν σὸν δόμον οὐ δύναμαι.

782. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς ὡρολόγιον.

Ἐνθάδε μιστύλλουσι δρόμον Φαεθοντίδος αἴγλης
ἀνέρες ὡράων ἀμφὶ δυωδεκάδι·
ὕδασι δ' ἠελίοιο ταλαντεύουσι κελεύθους,
ἐς πόλον ἐκ γαίης μῆτιν ἐρεισάμενοι.

---

Nr. 780. V. 1. χωροῖσα. P. Nr. 781. V. 1. κλείσῃ et οἴξῃς με κλείσεις με. P. οἴξῃς κλεΐσεις με. Br. Nr. 782. V. 2. δωδεκάδι. P.

Digitized by Google

### 783. ΑΔΗΛΟΝ.

εἰς Ἑρμαφρόδιτον.

Ἀνδράσιν Ἑρμῆς εἰμί· γυναιξὶ δὲ Κύπρις ὁρῶμαι.
ἀμφοτέρων δὲ φέρω σύμβολά μοι τοκέων.
τοὔνεκεν οὐκ ἀλόγως με τὸν Ἑρμαφρόδιτον ἔθεντο
ἀνδρογύνοις λουτροῖς, παῖδα τὸν ἀμφίβολον.

### 784. ΑΔΗΛΟΝ.

εἰς λουτρὸν μικρόν.

Μὴ νεμέσα βαιοῖσι· χάρις βαιοῖσιν ὀπηδεῖ.
βαιὸς καὶ Παφίης ἔπλετο κοῦρος Ἔρως.

### 785. ΑΔΗΛΟΝ.

εἰς καμάραν τοῦ φόρου πρὸς τὴν δύσιν.

Μηνᾶς χρύσεον ἔργον ἐδείματο πᾶσιν ὁδίταις,
κυδαίνων πτολίεθρον ἐριχρύσων βασιλήων.

### 786. ΑΛΛΟ.

Τόνδε καθιδρύσαντο θεῷ περικαλλέα βωμόν,
Λευκῆς καὶ Πτελέου μέσσον ὅρον θέμενοι
ἐνναέται, χώρης σημήϊον· ἀμμορίης δὲ
αὐτὸς ἄναξ μακάρων ἐστὶ μέσος Κρονίδης.

Digitized by Google

[P]

## 787. ΣΩΦΡΟΝΟΣ ΠΑΤΡΙΚΙΟΥ.

*εἰς τόπον ἐπιξενουμένων.*

Ὁ πρὶν ἀλωόμενος, καὶ ἀνέστιον ἴχνος ἐλαύνων,
εἴτ᾽ ἀφ᾽ ὁδοιπορίης, εἴτ᾽ ἀπὸ ναυτιλίης,
ἐνθάδε νῦν προσιών, ξεῖνε, στῆσον πόδα [δεῦρο]
ναιετάειν ἐθέλων, οἶκον ἕτοιμον ἔχων.
εἰ δέ με καὶ τίς ἔτευξεν ἀνακρινέοις, πολῖητα,
Εὐλόγιος, Φαρίης ἀρχιερεὺς ἀγαθός.

## 788. ΑΔΕΣΠΟΤΟΝ.

Ὄλβιον ἀνθρώποισιν ἔχει φάος ἄμβροτος αἰὼν
σῇσιν ὑπ᾽ ἐννεσίῃς, εὐγενέτειρα Τύχη.
νεύματι γὰρ σῷ πάντα φέρει κλέος, ᾧ ποτε χειρὶ
δεξιτερῇ παρέχῃς αὐχένα θεσπέσιον.
τούτῳ καὶ βασιλῆες ἀμύμονες ἁρμόζονται,
καὶ λογίων ἀγέλης ἄμβροτοι ἡγεμόνες.
καὶ νῆες λιμένεσσι σαώτερον ἀμπαύονται,
σὴν δι᾽ ἀρηγοσύνην σωζόμεναι πελάγει·

---

Nr. 787. V. 2. ἀπ᾽ ὁδοιπορίης. P. V. 3. στῆσον ξεῖνε πόδα. omisso δεῦρο. P. στῆσον, ξένε, σὸν πόδα δεῦρο. Br. V. 4. ἔχεις. Br. Nr. 788. V. 2. ἐννεσίῃσιν εὐγενέτειρα. P. εὐμενέτειρα. Br. V. 3. ὁππότε. P. V. 4. παρέχοις. P. V. 7. σαώτερος ἀνπ. P.

Digitized by Google

*καὶ πόλιες χαίρουσιν ἀμύμονες, ἠδέ τε λαοί,*
*καὶ θαλερῶν πεδίων λείμακες ἀμβρόσιοι.*
*τοὔνεκα σὸν θεράποντα πρὸς ὄλβιον ἀθρήσασα*
* * * * *

### 789. *ΑΔΕΣΠΟΤΟΝ.*

*Τέκτονά με σκοπίαζε σοφῶν κοσμήτορα μύθων,*
*ἰθύνοντα τέχνην εὐεπίης κανόνι.*

### 790. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Τίς ποκ' ἀπ' Οὐλύμποιο μετάγαγε παρθενεῶνα,*
*τὸν πάρος οὐρανίοις ἐμβεβαῶτα δόμοις,*
*ἐς πόλιν Ἀνδρόκλοιο, θοῶν βασίλειαν Ἰώνων,*
*τὰν δορὶ καὶ Μούσαις αἰπυτάταν Ἔφεσον;*
*ἦ ῥα σὺ φιλαμένα, Τιτυοκτόνε, μέζον Ὀλύμπου*
*τὰν τροφόν, ἐν ταύτᾳ τὸν σὸν ἔθευ θάλαμον.*

### 791. *ΑΠΟΛΛΩΝΙΔΟΥ.*

*Μητρὶ περιστεφέᾳ σηκόν, Κυθέρεια, θαλάσσῃ*
*κρηπῖδας βυθίας οἴδματι πηξαμένῃ,*
*χαίρει δ' ἀμφὶ σὲ πόντος, ἐπὶ ζεφύροιο πνοῇσιν*
*ἀφρὸν ὑπὲρ νώτου κυάνεον κεδάσας.*

---

V. 9. *ἀκύμονες.* Br. Fort. *ἀπήμονες.* V. 10. *λειμῶνες.* P. Nr. 791. V. 1. *περιστρεφέα.* P. *περιστρεφέας σηκοῦ.* Herm. V. 3. Fort. *χαίρει ἴδ' ἀμφί.* V. 4. *γελάσας.* P. *ἁβρὸν ὑπὲρ ν. κυανέου γελάσας.* Herm.

Digitized by Google

εἵνεκα δ' εὐσεβίης, νηοῦ θ' ὃν ἐδείματο σεῖο
Πόστουμος αὐχήσει * μεζονα φλουσι πάφου.

[P] 792. ΑΝΤΙΠΑΤΡΟΥ.

Νικίεω πόνος οὗτος· ἀείζωος [δὲ] Νεκυία
ἤσκημαι πάσης ἠρίον ἡλικίης.
δώματα δ' Ἀϊδωνῆος ἐρευνήσαντος Ὁμήρου
γέγραμμαι κείνου πρῶτον ἀπ' ἀρχετύπου.

793. ΙΟΥΛΙΑΝΟΥ ΑΠ. ΥΠ. ΑΙΓ.

Πόρτιν τήνδε Μύρωνος ἰδών, τάχα τοῦτο βοήσεις·
Ἡ Φύσις ἄπνοός ἐστιν, ἢ ἔμπνοος ἔπλετο τέχνη.

794. ΤΟΥ ΑΥΤΟΥ.

Βουκόλε, πῇ προθέειν με βιάζεαι; ἴσχεο νύσσων,
οὐ γάρ μοι τέχνη καὶ τόδ' ὄπασσεν ἔχειν.

795. ΤΟΥ ΑΥΤΟΥ.

Ἢ χαλκὸν ζώωσε Μύρων σοφός, ἢ τάχα πόρτιν
χάλκωσε, ζωὰν ἐξ ἀγέλας ἐρύσας.

796. ΤΟΥ ΑΥΤΟΥ.

Πλάστα Μύρων, σέο πόρτιν ὁδοιπόρος ἦλθεν ἐλάσσων·
χαλκοῦ δὲ ψαύσας, φὼρ κενὸς ἐξεφάνη.

---

V. 5. ὃν ἐγείνατο. P. V. 6. αὐχήσειν μείζονά φησι Πάφου. Herm. Fort. νηοῦ τὸν ἐδ. σεῖο Πόστυμος αὐχήσει μέζον ἐρᾶν σε Πάφου. Nr. 792. V. 1. νίκεω et ἀεὶ ζώει ὅς. P. ἀειζώοιο. Br.

Digitized by Google

797. ΤΟΥ ΑΥΤΟΥ.

Εἰσορόων με λέων χαίνει στόμα, χερσὶ δ' ἀείρει
γειοπόνος ζεύγλην, ἀγρονόμος κορύνην.

798. ΤΟΥ ΑΥΤΟΥ.

Τλῆθι, Μύρων· τέχνη σε βιάζεται· ἄπνοον ἔργον·
ἐκ φύσεως τέχνη· οὐ γὰρ φύσιν εὕρετο τέχνη.

799. ΑΔΗΛΟΝ.

ἐν τῷ πορφυρῷ κίονι τῷ ὄντι εἰς τὸ Φιλαδέλφιον.

Εὔνους μὲν βασιλεῖ Μουσήλιος· ἔργα βοῶσιν
δημόσια· σθεναρὴν πράγματα πίστιν ἔχει.
Μουσεῖον Ῥώμῃ δ' ἐχαρίσσατο, καὶ βασιλῆος
εἰκόνα θεσπεσίην ἐντὸς ἔγραψε δόμων.
Τιμὴν μουσοπόλοις, πόλεως χάριν, ἐλπίδα κούρων,
ὅπλα δὲ τῆς ἀρετῆς, χρήματα τοῖς ἀγαθοῖς.

800. ΑΛΛΟ.

Ταῦτα λόγοις ἀνέθηκεν ἑκὼν Μουσήλιος ἔργα,
πιστεύων καθαρῶς ὡς θεός ἐστι λόγος.

801. ΑΛΛΟ.

Μουσείου τὰ μὲν αὐτὸς ἐτεύξατο, πολλὰ δὲ σώσας
ἑστῶτα σφαλερῶς, ἥδρασεν ἀσφαλέως.

---

Nr. 797. V. 1. εἶθ' ὀρόων. P. V. 2. γειοπόνοις et ἀγρονόμος τ' ὀδύνην. P. Nr. 799. V. 1. μουσίλιος. P. V. 5. κυρων. P. V. 6. ταῖς ἀρεταῖς. Plan. Nr. 800. V. 1. μουσίλιος. P. Nr. 801. V. 2. ἵδρυσεν. P.

Digitized by Google

802. ΑΔΗΛΟΝ.

εἰς εἰκόνα Μαρκιανοῦ βασιλέως.

Μορφὴν τήνδ' ὁράας ζώῳ ἐναλίγκιον ἵππῳ,
Μαρκιανὸν φορέοντι, βροτῶν βασιλῆα γενέθλης·
δεξιτερὴν δ' ἐτάνυσσε, θέοντα δὲ πῶλον ἐπείγει
δυςμενέος καθύπερθεν, ὅτις κεφαλῇ μιν ἀείρει.

[P] 803. ΑΔΗΛΟΝ.

εἰς εἰκόνα Σοφίας Αὐγούστης ἐν τῇ εἰςόδῳ τοῦ Ζευξίππου.

Αὐσονίων δέσποιναν Ἰουλιανὸς πολιοῦχος
ὡς σοφίης μεστὴν ἄνθετο τὴν Σοφίην.

804. ΑΛΛΟ.

εἰς τὴν στήλην Ἰουστίνου βασιλέως.

Ἰουστίνον κατὰ χρέος τὸν δεσπότην
Ἰουλιανὸς ὕπαρχος, ὡς εὐεργέτην.

805. ΑΔΗΛΟΝ.

εἰς στήλην Ἄρεως κεχωσμένην ἐν Θρῄκῃ.

Εἰσόκε θούριος οὗτος ἐπὶ χθονὶ κέκλιται Ἄρης,
οὔποτε Θρηϊκίης ἐπιβήσεται ἔθνεα Γότθων.

---

Nr. 802. V. 4. ὅστις. P. Nr. 804. V. 1. καταχρεως. P. Nr. 805. V. 1. θοῦρος. P. κέκληται. Ib.

806. ΑΔΗΛΟΝ.

εἰς ὡρολόγιον.

Κῆπος ἔην ὅδε χῶρος· ἀπὸ σκιερῶν δὲ πετήλων
νυκτοφανὴς τελέθων ἔσκεπεν ἠέλιον.
νῦν δὲ παναιγλήεντα καὶ εὔδιον εὗρε τελέσσαι
Σέργιος αὐτόπτης μυστιπόλος τριάδος,
ἔνθα λίθος στατὸς οὗτος ἀειδίνητον ἀνάγκην
ἑπτάκις ἀγγέλλει ἄντυγος οὐρανίης.

807. ΑΛΛΟ.

Μηχανικὴ Φαέθοντα βιάζεται ἁρμονικοῖσι
γνώμοσιν ἀγρεύειν τὸν δρόμον ἠελίου·
βαιὸς δ' ἀμφιέπει λίθος ἄντυγας Ἠριγενείης,
ὡρονόμῳ σοφίῃ καὶ σκιόεντι τύπῳ.
Σεργίου ἀρχιερῆος ἐπουρανίῃσιν ἐφετμαῖς
τοῦτο συνειργάσθη ἔργον ἐπιχθονίων.

808. ΚΥΡΟΥ ΑΠΟ ΥΠΑΤΩΝ.

εἰς τὴν Μαξιμίνου οἰκίαν.

Δείματο Μαξιμῖνος νεοπηγέος ἔνδοθι Ῥώμης,
αὐταῖς ἠϊόνεσσι θεμείλια καρτερὰ πήξας.
ἀγλαΐη δέ μοι ἀμφὶς ἀπειρεσίη τετάνυσται.
τῇ, καὶ τῇ, καὶ ὄπισθεν ἔχω πτόλιν· ἀλλὰ καὶ ἄντην

---

Nr. 806. V. 3. τελέσσας: P. Nr. 807. V. 4. ὡρονόμων. P.
Nr. 808. V. 1. μαξιμῖνος. P.

Digitized by Google

πάνθ' ὁρόω γαίης Βιθυνηΐδος ἀγλαὰ ἔργα·
ἡμετέροις δ' ὑπένερθεν ἐρισθενέεσσι θεμέθλοις
πόντος ἁλὸς προχοῇσι κυλίνδεται εἰς ἅλα δῖαν,
τόσσον ἐπιψαύων, ὁπόσον χθονὸς ἄκρα διῆναι.
πολλάκι δ' ἐξ ἐμέθεν τις ἐὸν μέγα θυμὸν ἰάνθη,
βαιὸν ὑπερκύψας, ἐπεὶ εἴσιδεν ἄλλοθεν ἄλλα,
δένδρεα, δώματα, νῆας, ἅλα, πτόλιν, ἠέρα, γαῖαν.

[P] 809. ΤΟΥ ΑΥΤΟΥ.

Πίνδαρον ἱμερόεντα παρ' ὕδασι Κῦρος ἐγείρει,
οὕνεκα φορμίζων εἶπεν ἄριστον ὕδωρ.

810. ΑΔΗΛΟΝ.

Οὗτος Ἰουστῖνος Σοφίης σχεδόν· ἀμφότεροι δὲ
χρύσεον ἔργον ἔτευξαν ἀπ' Ἀσσυρίοιο θριάμβου.

811. ΑΛΛΟ.

Φαιδρὸν Ἰουστινιανὸς ἄναξ ἐμὲ χῶρον ἐγείρει,
Ἠελίῳ παρέχων θάμβος ἀνερχομένῳ.
οὔποτε γὰρ τοιοῦτον ἐπὶ χθονὸς ἔδρακε κάλλος
ὑψόθεν οὐρανίην οἶμον ἐπερχόμενος.

---

V. 6. ἡμετέρης δ' ὑπένερθενέσσι (ἐρθεν) θεμίθλοις. P. V. 7. δία. P. Nr. 809. V. 1. ἔχει. P. Nr. 810. V. 1. σοφιήσχεδον. P.

812. ΑΛΛΟ.

Θεῖον Ἰουστῖνον, καθαρὸν φρουρήτορα θεσμῶν,
Δομνῖνος καθαροῖς ἐν προθύροισι Δίκης.

813. ΑΛΛΟ.

εἰς Σοφίαν τὴν Ἰουστίνου γυναῖκα.

Τῆς Σοφίης τόδ' ἄγαλμα Δίκης προπάροιθε θυράων·
οὐ γὰρ ἄνευθε δίκης ἔπρεπε τὴν σοφίην.

814. ΑΛΛΟ.

εἰς λουτρόν.

Νύμφαι Νηϊάδες, μετανάστιοι, οὐχ ἅμα πάσας
ἥξειν ᾠϊόμην χεύμασιν ἡμετέροις·
εἰ δὲ τόσην τὸ λοετρὸν ἔχει χάριν, οὐδὲν ὀνήσει
ὁ φθόνος, εἰ Νύμφαι πᾶν ἀπέλειπον ὕδωρ.

815. ΑΛΛΟ.

εἰς τὸ αὐτό.

Ξεῖνε, τί νῦν σπεύδεις ὁρόων ἀκεσώδυνον ὕδωρ;
εὐφροσύνης τὸ λοετρόν· ἀποῤῥίπτει μελεδῶνας·
μόχθον ἐλαφρίζει· τόδε γὰρ ποίησε Μιχαήλ,
ὃς κρατερῆς βασιληΐδος αὐλῆς ἡγεμονεύει.

---

Nr. 812. V. 2. καθαραῖς ἐνί. P. Nr. 814. V. 2. Fort. εἴξειν. V. 4. Fort. ἀπέειπον. Nr. 815. V. 2. Fort. ἀποῤῥύπτει. V. 3. μισαήλ. P. V. 4. Fort. αὐλῆς βασιληΐδος.

816. ΑΛΛΟ.

Εἰς μινσώριον τῶν Εὐβούλου.

Ἀντία Τηλεμάχοιο καὶ ἐγγύθι Πηνελοπείης
τίπτε πολυφράδμων πολυταρβέα χεῖρα τιταίνεις;
οὐκ ἐρέει μνηστῆρσι τεόν ποτε νεῦμα τιθήνη.

817. ΑΛΛΟ.

εἰς ἐνδυτὴν ἑαυτοῦ.

Ἐν τῇ τραπέζῃ τῶν ἀχράντων θυμάτων
παθῶν τυθέντας τῶν ὑπὲρ Χριστοῦ γράφω·
οὕςπερ γὰρ αἰτῶ πρὸς σκέπην ἔχειν Πέτρος,
φρικτοῦ τέθεικα τοῖς σκεπάσμασιν τόπου.

818. ΑΛΛΟ.

εἰς δίσκον. ἄλλον ἐν τῷ αὐτῷ.

Καὶ Πέτρος ἄλλος τὸν τάφον τοῦ Κυρίου
τὸν ζωοποιὸν εἰςιδεῖν μὴ συμφθάσας,
ἔγλυψα δίσκον, μνήματος θείου τύπον,
ἐν ᾧ τὸ Χριστοῦ σῶμα κύψας προςβλέπω.

[⁋] 819. ΑΔΗΛΟΝ.

εἰς ποτήριον ἐν τῷ αὐτῷ.

Κρατὴρ νοητὸς πνεύματος θείου βλύσει
κατανύξεως ῥοῦν ἐγχέω ταῖς καρδίαις.

---

Nr. 816. V. 1. τηλέμαχοι. P. Nr. 817. V. 2. Fort. πάθη (s. πάθος) τυθέντων.



Digitized by Google

820. ΑΛΛΟ.

Τοῦτον Ἰουστινιανὸς ἀγακλέα δείματο χῶρον,
ὕδατι καὶ γαίῃ κάλλος ἐπικρεμάσας.

821. ΑΔΗΛΟΝ.

Κοίρανοι ὑμετέρην ἀρετὴν, κάρτος τε καὶ ἔργα
αὐδήσει χρόνος αἰὲν, ἕως πόλος ἀστέρας ἕλκῃ.

822. ΑΛΛΟ.

Εἰς μινσώριον ἔχων ιβ ζώδια καὶ ἕτερα.

Ἀργύρεος πόλος οὗτος, ὅπῃ Φαέθοντα Σελήνη
δέρκεται ἀντιτύπων πιμπλαμένη φαέων·
ἀπλανέες δ' ἑκάτερθε, καὶ ἀντιθέοντες ἀλῆται
ἀνδρομέης γενεῆς πᾶσαν ἄγουσι τύχην.

823. ΠΛΑΤΩΝΟΣ.

Σιγάτω λάσιον δρυάδων λέπας, οἵ τ' ἀπὸ πέτρας
κρουνοὶ, καὶ βληχὴ πουλυμιγὴς τοκάδων,
αὐτὸς ἐπεὶ σύριγγι μελίσδεται εὐκελάδῳ Πάν,
ὑγρὸν ἱεὶς ζευκτῶν χεῖλος ὑπὲρ καλάμων·
αἱ δὲ πέριξ θαλεροῖσι χορὸν ποσὶν ἐστήσαντο
Ὑδριάδες Νύμφαι, Νύμφαι Ἀμαδρυάδες.

---

Nr. 822. V. 3. ἀλῖται. P. Nr. 823. V. 3. ἐπί. P.

## 824. ΕΡΥΚΙΟΥ.

Εὔστοχα θηροβολεῖτε, κυναγέται, οἳ ποτὶ ταύταν
Πανὸς ὀρειώτα νισσόμενοι σκοπιάν,
αἴτε λίνοις βαίνοιτε πεποιθότες, αἴτε σιδάρῳ,
αἴτε καὶ ἰξευταὶ λαθροβόλῳ δόνακι·
κἀμέ τις ὑμείων ἐπιβωσάτω· οἶδα ποτ' ἄγραν
κοσμεῖν καὶ λόγχαν, καὶ λίνα, καὶ καλάμους.

## 825. ΑΔΗΛΟΝ.

Εἰς ὁλκὸν ὕδατος ἠρέμα καὶ διὰ μηδενὸς ἤχου φερόμενον, ἐν ᾧ ἄγαλμα Πανὸς ἵστατο.

Πᾶνά με τὸν δυσέρωτα καὶ ἐξ ὑδάτων φύγεν Ἠχώ.

## 826. ΑΛΛΟ.

Εἰς Σάτυρον κρήνῃ ἐφεστῶτα, καὶ Ἔρωτα καθεύδοντα.

Τὸν Βρομίου Σάτυρον τεχνήσατο δαιδαλέη χείρ,
μούνῃ θεσπεσίως πνεῦμα βαλοῦσα λίθῳ.
εἰμὶ δὲ ταῖς Νύμφαισιν ὁμέψιος· ἀντὶ δὲ τοῦ πρὶν
πορφυρέου μέθυος, λαρὸν ὕδωρ προχέω.
εὔκηλον δ' ἴθυνε φέρων πόδα, μὴ τάχα κοῦρον
κινήσῃς, ἀπαλῷ κώματι θελγόμενον.

---

Nr. 824. V. 2. νισόμενοι. P. V. 4. ἰξευτᾷ. Br. V. 5. F. ποδάγραν c. Schneidero. Nr. 826. V. 2. κωφῷ θεσπ. Br. V. 3. νύμφαις. P.

827. ΑΜΜΩΝΙΟΥ.

εἰς τοὺς αὐτούς.

Εἰμὶ μὲν εὐκεράοιο φίλος θεράπων Διονύσου,
λείβω δ' ἀργυρέων ὕδατα Ναϊάδων·
θέλγω δ' ἠρεμέοντα νέον περὶ κώματι παῖδα.

# X.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΠΡΟΤΡΕΠΤΙΚΑ.

Digitized by Google

Digitized by Google

# X.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΠΡΟΤΡΕΠΤΙΚΑ.

[1] 1. ΛΕΩΝΙΔΟΥ.

Ὁ πλόος ὡραῖος· καὶ γὰρ λαλαγεῦσα χελιδὼν
ἤδη μέμβλωκεν, χὠ χαρίεις Ζέφυρος·
λειμῶνες δ' ἀνθεῦσι, σεσίγηκεν δὲ θάλασσα
κύμασι καὶ τρηχεῖ πνεύματι βρασσομένη·
ἀγκύρας ἀνέλοιο, καὶ ἐκλύσαιο γύαια,
ναυτίλε, καὶ πλώοις πᾶσαν ἐφεὶς ὀθόνην.
ταῦθ' ὁ Πρίηπος ἐγὼν ἐπιτέλλομαι, ὁ λιμενίτας,
ὤνθρωφ', ὡς πλώοις πᾶσαν ἐπ' ἐμπορίην.

2. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Ἀκμαῖος ῥοθίῃ νηῒ δρόμος, οὐδὲ θάλασσα
πορφύρει τρομερῇ φρικὶ χαρασσομένη·
ἤδη δὲ πλάσσει μὲν ὑπώροφα γυρὰ χελιδὼν
οἰκία, λειμώνων δ' ἁβρὰ γελᾷ πέταλα.

τοὔνεκα μηρύσασθε διάβροχα πείσματα ναῦται,
ἕλκετε δ' ἀγκύρας φωλάδας ἐκ λιμένων·
λαίφεα δ' εὐϋφέα προτονίζετε. ταῦθ' ὁ Πρίηπος
ὔμμιν ἐνορμίτας παῖς ἐνέπω Βρομίου.

### 3. ΑΔΗΛΟΝ.

Εἰς Ἀΐδην ἰθεῖα κατήλυσις, εἴτ' ἀπ' Ἀθηνῶν
στείχοις, εἴτε νέκυς νίσσεαι ἐκ Μερόης.
μὴ σέ γ' ἀνιάτω πάτρης ἄπο τῆλε θανόντα·
πάντοθεν εἷς ὁ φέρων εἰς Ἀΐδην ἄνεμος.

### 4. ΜΑΡΚΟΥ ΑΡΓΕΝΤΑΡΙΟΥ.

Λῦσον ἀπ' εὐόρμων δολιχὰ πρυμνήσια νηῶν,
εὔτροχα δ' ἐκπετάσας λαίφεα ποντοπόρει,
ἔμπορε· χειμῶνες γὰρ ἀπέδραμον, ἄρτι δὲ κῦμα
γλαυκὸν θηλύνει πρηΰγελως Ζέφυρος·
ἤδη καὶ φιλότεκνος ὑπὸ τραυλοῖσι χελιδὼν
χείλεσι καρφίτην πηλοδομεῖ θάλαμον·
ἄνθεα δ' ἀντέλλουσι κατὰ χθόνα· τῷ σὺ Πριήπῳ
πειθόμενος πάσης ἅπτεο ναυτιλίης.

[P] 

### 5. ΘΥΙΛΛΟΥ.

Ἤδη πηλοδομεῦσι χελιδόνες, ἤδη ἀν' οἶδμα
κολποῦται μαλακὰς εἰς ὀθόνας Ζέφυρος.

---

Nr. 2. V. 8. ἐνορμήτας. P. Nr. 3. V. 2. νίσεαι. P. Nr. 4. V. 1. Fort. νήσων c. Piersono.

ἤδη καὶ λειμῶνες ὑπὲρ πετάλων ἐχέαντο
　　ἄνθεα, καὶ τρηχὺς σῖγα μέμυκε πόρος.
σχοίνους μηρύεσθε, ἐφ᾽ ὁλκάδα φορτίζεσθε
　　ἀγκύρας, καὶ πᾶν λαῖφος ὕφεσθε κάλοις.
ταῦτ᾽ ὔμμιν πλώουσιν ἐπ᾽ ἐμπορίην ὁ Πρίηπος
　　ὁ λιμενορμίτης ναυτιλίην γράφομαι.

## 6. ΣΑΤΥΡΟΥ.

Ἤδη μὲν Ζεφύροιο πλοητόκου ὑγρὸν ἄημα
　　ἠρέμα λειμῶνας πιτνεῖ ἐπ᾽ ἀνθοκόμους·
Κεκροπίδες δ᾽ ἠχεῦσι· γαληναίη δὲ θάλασσα
　　μειδιάει, κρυερῶν ἄτρομος ἐξ ἀνέμων.
ἀλλ᾽ ἴτε θαρσαλέοι, πρυμνήσια λύετε, ναῦται,
　　πίτνατε δ᾽ εὐπτερύγων λεπταλέας στολίδας.
ὧ ἴτ᾽ ἐπ᾽ ἐμπορίην πίσυνοι χαρίεντι Πριήπῳ,
　　ὧ ἴτε δὴ λιμένων δαίμονι πειθόμενοι.

## 7. ΑΡΧΙΟΥ.

Τυῦδέ με κυματοπλῆγος ἐπὶ σκοπέλοιο Πρίηπον
　　ναῦται Θρηϊκίου θέντο πόρου φύλακα,
πολλάκις οἷς ἦϊξα ταχὺς καλέουσιν ἀρωγός,
　　ξεῖνε, κατὰ πρύμνης ἡδὺν ἄγων Ζέφυρον.

---

Nr. 5. V. 5. ἐπ᾽ ὁλκάδα. P. Fort. μηρύεσθ᾽, ἐπί-θ᾽ ὁλκάδα. V. 8. ὠλιμενορμήτης. P. Nr. 6. V. 1. ποντοτόκου. P. V. 5. λύετε νηῶν. Br. V. 6. Fort. δὲ σπείρων. Nr. 7. V. 1. κυμοπλῆγος. P.

Digitized by Google

τοὔνεκεν οὔτ' ἄκνισσον, ὅπερ θέμις, οὔτ' ἐπιδευῆ
εἴαρος ἀθρήσεις βωμὸν ἐμὸν στεφάνων,
ἀλλ' αἰεὶ θυόεντα· καὶ ἔμπυρον· οὐδ' ἑκατόμβη
τόσσον, ὅσον τιμὴ δαίμοσιν ἀνδάνεται.

8. ΤΟΥ ΑΥΤΟΥ.

Βαιὸς ἰδεῖν ὁ Πρίηπος ἐπ' αἰγιαλῖτιδα ναίω
χηλὴν, αἰθυίαις οὔποτε ἀντιβίας,
φοξὸς, ἄπους, οἷόν κεν ἐρημαίῃσιν ἐπ' ἀκταῖς
ξέσσειαν μογερῶν υἱέες ἰχθυβόλων.
ἀλλ' ἤν τις γριπεύς με βοηθόον, ἢ καλαμευτὴς
φωνήσῃ, πνοιῆς ἵεμαι ὀξύτερος.
λεύσσω καὶ τὰ θέοντα καθ' ὕδατος· ἦ γὰρ ἀπ' ἔργων
δαίμονες, οὐ μορφᾶς γνωστὸν ἔχουσι τύπον.

[P] 9. ΑΔΗΛΟΝ.

Τὸν βραχὺν, ἰχθυβολῆες, ὑπὸ σχοίνῳ με Πρίηπον
στειλάμενοι κώπαις τὰν ὀλίγαν ἄκατον, * *
δίκτυά θ' ἁπλώσασθε, πολὺν δ' ἁλινηχέα βῶκα,
καὶ σκάρον, οὐ θρίσσης νόσφιν ἀρυσάμενοι,
γλαυκὸν ἐνιδρυνθέντα νάπῃ, σημάντορα θήρης
τίετ', ἀπ' οὐκ ὀλίγων βαιὸν ἀπαρχόμενοι.

---

V. 5. ἄκνισον. P. V. 6. ἐμῶν. P. Nr. 8. V. 2. αἰθυίας. P. ἀντίβιος. Br. οὔποτ' ἐναντίβιος. Herm. V. 3. οἷονεκεν. P. V. 4. ξέσσεια. P. Nr. 9. V. 2. Post h. v. distichon videtur excidisse. V. 3. δίκτυα τ' ἁπλ. P.

## 10. ΑΡΧΙΟΥ ΝΕΩΤΕΡΟΥ.

Πᾶνά με τόνδ' ἱερῆς ἐπὶ δισσάδος, αἰγιαλίτην
    Πᾶνα, τὸν εὐόρμων τῇδ' ἔφορον λιμένων,
οἱ γριπῆες ἔθεντο· μέλω δ' ἐγὼ ἄλλοτε κύρτοις,
    ἄλλοτε δ' αἰγιαλοῦ τοῦδε σαγηνοβόλοις.
ἀλλὰ παράπλει, ξεῖνε· σέθεν δ' ἐγὼ οὕνεκα ταύτης
    εὐπλοΐης πέμψω πρηῢν ὄπισθε νότον.

## 11. ΣΑΤΥΡΟΥ.

Εἴτε σύ γ' ὀρνεόφοιτον ὑπὲρ καλαμῖδα παλύνας
    ἰξῷ ὀρειβατέεις, εἴτε λαγοκτονέεις,
Πᾶνα κάλει. κυνὶ Πὰν λασίου ποδὸς ἴχνια φαίνει·
    σύνθεσιν ἀκλινῶν Πὰν ἀνάγει καλάμων.

## 12. ΑΔΕΣΠΟΤΟΝ.

Τᾷδ' ὑπὸ τὰν ἄρκευθον ἴτ' ἀμπαύοντες, ὁδῖται,
    γυῖα παρ' Ἑρμείᾳ σμικρὸν ὁδοῦ φύλακι·
μὴ φύρδαν· ὅσσοι δὲ βαρεῖ γόνυ κάμνετε μόχθῳ
    καὶ δίψᾳ, δολιχὰν οἶμον ἀνυσάμενοι,
πνοιὴ γὰρ καὶ θῶκος εὔσκιος· ἁ δ' ὑπὸ πέτρᾳ
    πίδαξ εὐνήσει γυιοβαρῆ κάματον.

---

Nr. 10. V. 1. τόνδε πέτρης ἐπὶ λισσάδος. Huschke. — αἰγιαλίτης. P. V. 6. Fort. εὐνοίης. Nr. 11. V. 2. λαγοκτενέεις. P. V. 4. ἄνθεσιν. P. Nr. 12. V. 3. φσσονδεβαρη. P. V. 5. σύσκιος. P. αἱ θ' ὑπό. Ib.

ἔνδιον δὲ φυγόντες ὀπωρινοῦ κυνὸς ἆσθμα,
ὡς θέμις, Ἑρμείην εἰνόδιον τίετε.

13. ΣΑΤΥΡΟΥ.

Ἦ καλὸν αἱ δάφναι, καλὸν δ' ὑπὸ πυθμέσιν ὕδωρ
πιδύει, πυκινὸν δ' ἄλσος ὑποσκιάει
τηλεθάον, Ζεφύροισιν ἐπίδρομον· ἄλκαρ ὁδίταις
δίψης, καὶ καμάτου, καὶ φλογὸς ἠελίου.

14. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Εὔδια μὲν πόντος πορφύρεται· οὐ γὰρ ἀήτης
κύματα λευκαίνει φρικὶ χαρασσόμενα.
οὐκέτι δὲ σπιλάδεσσι περικλασθεῖσα θάλασσα
ἔμπαλιν ἀντωπὸς πρὸς βάθος εἰςάγεται.
οἱ ζέφυροι πνείουσιν, ἐπιτρύζει δὲ χελιδὼν
κάρφεσι κολλητὸν πηξαμένη θάλαμον.
[P] θάρσει ναυτιλίης ἐμπείραμε, κἂν παρὰ Σύρτιν,
κἂν παρὰ Σικελικὴν ποντοπορῇς κροκάλην.
μοῦνον ἐνορμίταο παραὶ βωμοῖσι Πριήπου
ἢ σκάρον, ἢ βῶκας φλέξον ἐρευθομένους.

15. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ἤδη μὲν Ζεφύροισι μεμυκότα κόλπον ἀνοίγει
εἴαρος εὐλείμων θελξινόοιο χάρις·

---

Nr. 13. V. 2. πηδύει πυκινοῦ. P. Nr. 14. V. 1. εὔδεα. P. V. 2. φρίκα. P. V. 8. ποντοπορεῖς. P. Nr. 15. V. 2. ἰλλος. in marg. ει. P.

Digitized by Google

ἄρτι δὲ δουρατέοισιν ἐπωλίσθησε κυλίνδροις
  ὁλκὰς ἀπ' ἠϊόνων ἐς βυθὸν ἑλκομένη.
λαίφεα κυρτώσαντες ἀταρβέες ἔξιτε ναῦται,
  πρηΰν ἀμοιβαίης φόρτον ἐς ἐμπορίης.
πιστὸς νηυσὶ Πρίηπος, ἐπεὶ Θέτιν εὔχομαι εἶναι
  ἡμετέρου πατρὸς ξεινοδόκον Βρομίου.

## 16. ΘΕΑΙΤΗΤΟΥ ΣΧΟΛΑΣΤ.

Ἤδη καλλιπέτηλον ἐπ' εὐκάρποισι λοχείαις
  λήϊον ἐκ ῥοδέων ἀνθοφορεῖ καλύκων.
ἤδη ἐπ' ἀκρεμόνεσσιν ἰσοζυγέων κυπαρίσσων
  μουσομανὴς τέττιξ θέλγει ἀμαλλοδέτην·
καὶ φιλόπαις ὑπὸ γεῖσα δόμους τεύξασα χελιδών,
  ἔκγονα πηλοχύτοις ξεινοδοκεῖ θαλάμοις.
ὑπνώει δὲ θάλασσα, φιλοζεφύροιο γαλήνης
  νηοφόροις νώτοις εὔδια πεπταμένης,
οὐκ ἐπὶ πρυμναίοισι καταιγίζουσα κορύμβοις,
  οὐκ ἐπὶ ῥηγμίνων ἀφρὸν ἐρευγομένη.
ναυτίλε, ποντομέδοντι καὶ ὁρμοδοτῆρι Πριήπῳ
  τευθίδος ἢ τρίγλης ἀνθεμόεσσαν ἴτυν,
ἢ σκάρον αὐδήεντα παραὶ βωμοῖσι πυρώσας,
  ἄτρομος Ἰονίου τέρμα θαλασσοπόρει.

---

Nr. 16. V. 2. κυλίκων. P. V. 10. Fort. οὔτ' ἐπί. V. 11. παντομέδοντι καὶ ὁρμιοδοτῆρι. P. V. 14. ἄτρεμος. P.

## 17. ἈΝΤΙΦΙΛΟΥ.

Ἀρχέλεως, λιμενῖτα, σὺ μέν, μάκαρ, ἤπιον αὔρην
πέμπε κατὰ σταθερῆς οἰχομένην ὀθόνην
ἄχρις ἐπὶ Τρίτωνα· σὺ δ' ἠόνος ἄκρα λελογχὼς
τὴν ἐπὶ Πυθείου ῥύεο ναυστολίην·
κεῖθεν δ' εἰ Φοίβῳ μεμελήμεθα πάντες ἀοιδοί,
πλεύσομαι εὐαεῖ θαρσαλέως Ζεφύρῳ.

## [P] 18. ἈΡΓΕΝΤΑΡΙΟΥ.

Γῶβρυ, Διώνυσός σε καὶ ἡ φιλεράστρια Κύπρις
τέρποι, καὶ γλυκεραὶ γράμμασι Πιερίδες·
ὧν μὲν γὰρ σοφίην ἀποδρέπτεο· τῆς δ' ἐς ἔρωτας
ἔρχεο· τοῦ δὲ φίλας λαβροπότει κύλικας.

## 19. ἈΠΟΛΛΩΝΙΔΟΥ.

Ἡδὺ παρειάων πρῶτον θέρος ἤματι τούτῳ
κείρεο, καὶ γενύων ἠϊθέους ἕλικας,
Γάϊε· σὸν δὲ πατὴρ χερὶ δέξεται εὐκτὸν ἴουλον
Λεύκιος, αὐξομένου πουλὺν ἐς ἠέλιον.
δωρεῦνται χρυσέοισιν, ἐγὼ δ' ἱλαροῖς ἐλέγοισιν·
οὐ γὰρ δὴ πλούτου Μοῦσα χερειοτέρη.

---

Nr. 17. V. 1. Fort. Ἀρχέλεω. V. 2. Fort. οἰχομένῃ γ' ὀθόνῃ. V. 5. ἀοιδήν. P. V. 6. εὐαέϊ. P. Nr. 18. V. 1. φιλελάστρια. P. Nr. 19. V. 1. παρειδων. P. V. 4. λεύκιον. P.

Digitized by Google

20. ΑΔΔΑΙΟΥ.

Ἢν τινα καλὸν ἴδῃς, εὐθὺς τὸ πρῆγμα κρότεισθω·
βάζ' ἃ φρονεῖς· ὄρκων δράσσεο χερσὶν ὅλαις·
ἢν δ' εἴπῃς· τίω σε, καὶ ἔσσομαι οἷά τ' ἀδελφός·
αἰδώς σου κλείσει τὴν ἐπὶ τοὔργον ὁδόν.

21. ΦΙΛΟΔΗΜΟΥ.

Κύπρι γαληναίη, φιλονύμφιε, Κύπρι δικαίων
σύμμαχε, Κύπρι Πόθων μῆτερ ἀελλοπόδων,
Κύπρι, τὸν ἡμίσπαστον ἀπὸ κροκέων ἐμὲ παστῶν,
τὸν χιόσι ψυχὴν Κελτίσι νιφόμενον,
Κύπρι, τὸν ἡσύχιόν με, τὸν οὐδενὶ κοῦφα λαλεῦντα,
τὸν σέο πορφυρέῳ κλυζόμενον πελάγει,
Κύπρι φιλορμίστειρα, φιλόργιε, σῶζέ με, Κύπρι,
Ναϊακοὺς ἤδη, δεσπότι, πρὸς λιμένας.

22. ΒΙΑΝΟΡΟΣ.

Μὴ πόδα γυμνὸν ἔρεσσε δι' ὑλάεσσαν ἄταρπον
Αἰγύπτου· χαροπῶν φεῦγε διὲξ ὀφίων,
ἀγρεῦ δουνακόφοιτα· τὸν ἐκ χέρσου δὲ φύλαξαι
ἰόν, ὃ τοξεύειν ὄρνιν ἐπειγόμενος.

---

Nr. 20. V. 2. βάζε ἃ φρ. P. Fort. ὄρχεων δρ. Nr. 21. V. 3. κροκαίων. P. V. 4. νειφόμενον. P. V. 5. κωφά. P. V. 8. ναϊκακοὺς ἤδη δεσπότη. P. Nr. 22. V. 3. δουνακοδηφατον ἐκ. P.

23. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Νικήτης ὀλίγος μέν, ἐπὶ προτόνοισιν ἀήτης
 οἷά τε, πρηείης ἄρχεται ἐκ μελέτης.
ἀλλ᾽ ὅταν ἐμπνεύσῃ, κατὰ δ᾽ ἱστία πάντα φέρηται,
 λαίφεα πακτώσας, μέσσα θέει πελάγη,
ναῦς ἅτε μυριόφορτος, ἕως ἐπὶ τέρματα μύθων
 ἔλθῃ, ἀκυμάντους ἔμπορος εἰς λιμένας.

[P] 24. ΚΡΙΝΑΓΟΡΟΥ.

Φρὴν ἱερὴ μεγάλη Ἐνοσίχθονος, ἔσσο καὶ ἄλλοις
 ἠπίη, Αἰγαίην οἳ διέπουσιν ἅλα·
κἠμοὶ γὰρ Θρήϊκι διωκομένῳ ὑπ᾽ ἀήτῃ
 ὤρεξας πρηεῖς Ἀσπασίῳ λιμένας.

25. ΑΝΤΙΠΑΤΡΟΥ.

Φοῖβε, Κεφαλλήνων λιμενοσκόπε, θῖνα Πανόρμου
 ναίων, τρηχείης ἀντιπέρην Ἰθάκης,
δός με δι᾽ εὐπλώτοιο πρὸς Ἀσίδα κύματος ἐλθεῖν,
 Πείσωνος δολιχῇ νηῒ συνεσπόμενον·
καὶ τὸν ἐμὸν βασιλῆα τὸν ἄλκιμον εὖ μὲν ἐκείνῳ
 ἵλαον, εὖ δ᾽ ὕμνοις ἄρτισον ἡμετέροις.

---

Nr. 23. V. 6. ἔμπροσθεν εἰς. P. Nr. 24. V. 4. πρηεῖ. P.

Digitized by Google

### 26. ΛΟΥΚΙΑΝΟΥ.

Ὡς τεθνηξόμενος τῶν σῶν ἀγαθῶν ἀπόλαυε,
ὡς δὲ βιωσόμενος φείδεο σῶν κτεάνων.
ἔστι δ' ἀνὴρ σοφὸς οὗτος, ὃς ἄμφω ταῦτα νοήσας
φειδοῖ καὶ δαπάνῃ μέτρον ἐφηρμόσατο.

### 27. ΤΟΥ ΑΥΤΟΥ.

Ἀνθρώπους μὲν ἴσως λήσεις ἄτοπόν τι ποιήσας.
οὐ λήσεις δὲ θεούς, οὐδὲ λογιζόμενος.

### 28. ΤΟΥ ΑΥΤΟΥ.

Τοῖσι μὲν εὖ πράττουσιν ἅπας ὁ βίος βραχύς ἐστιν·
τοῖς δὲ κακῶς, μία νὺξ ἄπλετός ἐστι χρόνος.

### 29. ΤΟΥ ΑΥΤΟΥ.

Οὐχ ὁ Ἔρως ἀδικεῖ μερόπων γένος, ἀλλ' ἀκολάστοις
ψυχαῖς ἀνθρώπων ἔσθ' ὁ Ἔρως πρόφασις.

### 30. ΑΔΗΛΟΝ.

Ὠκεῖαι χάριτες γλυκερώτεραι· ἢν δὲ βραδύνῃ,
πᾶσα χάρις κενεή, μηδὲ λέγοιτο χάρις.

---

Nr. 27. V. 2. θεόν. P.

### 31. ΛΟΥΚΙΑΝΟΥ.

Θνητὰ τὰ τῶν θνητῶν, καὶ πάντα παρέρχεται ἡμᾶς·
ἢν δὲ μή, ἀλλ' ἡμεῖς αὐτὰ παρερχόμεθα.

### 32. ΠΑΛΛΑΔΑ.

Πολλὰ μεταξὺ πέλει κύλικος, καὶ χείλεος ἄκρου.

### 33. ΑΔΗΛΟΝ.

Ἐσθλὰ λέγειν [μὲν] ἀεὶ πάντας, καλόν· αἰσχρὰ δέ, δεινόν,
κἂν ὦσιν τούτων ἄξιοι ὧν λέγομεν.

### 34. ΠΑΛΛΑΔΑ.

Εἰ τὸ μέλειν δύναταί τι, μερίμνα καὶ μελέτω σοί.
εἰ δὲ μέλει περὶ σοῦ δαίμονι, σοὶ τί μέλει;
οὔτε μεριμνήσεις δίχα δαίμονος, οὔτ' ἀμελήσεις·
ἀλλ' ἵνα σοί τι μέλῃ, δαίμονι τοῦτο μέλει.

### 35. ΛΟΥΚΙΑΝΟΥ.

Εὖ πράττων, φίλος εἶ θνητοῖς, φίλος εἶ μακάρεσσι,
καί σευ ῥηϊδίως ἔκλυον εὐξαμένου.

---

Nr. 31. V. 2. ἀλλ' om. P. Nr. 33. V. 1. λέγειν ἀεί. P. αἰσχρὰ δεινόν. P.

ἢν πταίσῃς, οὐδεὶς ἔτι σοι φίλος, ἀλλ' ἅμα πάντα
ἐχθρά, Τύχης ῥιπαῖς συμμεταβαλλόμενα.

[¶] 36. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδὲν ἐν ἀνθρώποισι Φύσις χαλεπώτερον εὗρεν
ἀνθρώπου καθαρὰν ψευδομένου φιλίην·
οὐ γὰρ ἔθ' ὡς ἐχθρὸν προφυλασσόμεθ', ἀλλ' ἀγαπῶντες
ὡς φίλον, ἐν τούτῳ πλείονα βλαπτόμεθα.

37. ΤΟΥ ΑΥΤΟΥ.

Ἡ βραδύπους βουλή, μέγ' ἀμείνων· ἡ δὲ ταχεῖα
αἰὲν ἐφελκομένη τὴν μετάνοιαν ἔχει.

38. ΔΙΟΝΥΣΙΟΥ.

Ὥρη ἐρᾶν, ὥρη δὲ γαμεῖν, ὥρη δὲ πεπαῦσθαι.

39. ΑΔΗΛΟΝ.

Θησαυρὸς μέγας ἔστ' ἀγαθὸς φίλος, Ἡλιόδωρε,
τῷ καὶ τηρῆσαι τοῦτον ἐπισταμένῳ.

---

Nr. 35. V. 3. παίσῃς οὐδείς ἐστι. P. V. 4. ῥοπαῖς. P. num ῥοπαῖσι Τύχης? Nr. 36. V. 2. καθορᾶν. P. V. 4. πλείονας βλάπτομεν. P.

## 40. ΑΔΗΛΟΝ.

Μή ποτε τὸν παρεόντα παρεὶς φίλον, ἄλλον ἐρεύνα,
δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

## 41. ΛΟΥΚΙΑΝΟΥ.

Πλοῦτος ὁ τῆς ψυχῆς, πλοῦτος μόνος ἐστὶν ἀληθής.
τἄλλα δ' ἔχει λύπην πλείονα τῶν κτεάνων.
τὸν δὲ πολυκτέανον καὶ πλούσιόν ἐστι δίκαιον
κλῄζειν, ὃς χρῆσθαι τοῖς ἀγαθοῖς δύναται.
εἰ δέ τις ἐν ψήφοις κατατήκεται, ἄλλον ἐπ' ἄλλῳ
σωρεύειν αἰεὶ πλοῦτον ἐπειγόμενος,
οὗτος ὁποῖα μέλισσα πολυτρήτοις ἐνὶ σίμβλοις
μοχθήσει, ἑτέρων δρεπτομένων τὸ μέλι.

## 42. ΤΟΥ ΑΥΤΟΥ.

Ἀῤῥήτων ἐπέων γλώσσῃ σφραγὶς ἐπικείσθω·
κρείσσων γὰρ μύθων, ἢ κτεάνων φυλακή.

## 43. ΑΔΗΛΟΝ.

Ἓξ ὧραι μόχθοις ἱκανώταται· αἱ δὲ μετ' αὐτὰς
γράμμασι δεικνύμεναι ΖΗΘΙ λέγουσι βροτοῖς.

---

Nr. 41. V. 2. ἔχει αὐτήν. P. V. 7. ἐν σίμβλοις. P. V. 8. δρεπομένων. P.

Digitized by Google

44. [ΠΑΛΛΑΔΑ.]

Ἢν ὁ φίλος τι λάβῃ, „Δόμινε Φράτερ“ εὐθὺς ἔγραψεν·
ἢν δ' αὖ μή τι λάβῃ, τὸ „Φράτερ“ εἶπε μόνον.
ὤνια γὰρ καὶ ταῦτα τὰ ῥήματα. αὐτὰρ ἔγωγε
οὐκ ἐθέλω Δόμινε· οὐ γὰρ ἔχω δόμεναι.

45. ΤΟΥ ΑΥΤΟΥ.

Ἂν μνήμην, ἄνθρωπε, λάβῃς, ὁ πατήρ σε τί ποιῶν
ἔσπειρεν, παύσῃ τῆς μεγαλοφρασύνης.
ἀλλ' ὁ Πλάτων σοὶ τῦφον ὀνειρώσσων ἐνέφυσεν,
ἀθάνατόν σε λέγων, καὶ φυτὸν οὐράνιον.
ἐκ πηλοῦ γέγονας· τί φρονεῖς μέγα; τοῦτο μὲν οὕτως
εἶπ' ἄν τις, κοσμῶν πλάσματι σεμνοτέρῳ.
[P] εἰ δὲ λόγον ζητεῖς τὸν ἀληθινόν, ἐξ ἀκολάστου
λαγνείας γέγονας, καὶ μιαρᾶς ῥανίδος.

46. ΠΑΛΛΑΔΑ.

Ἡ μεγάλη παίδευσις ἐν ἀνθρώποισι, σιωπή·
μάρτυρα Πυθαγόραν τὸν σοφὸν αὐτὸν ἔχω,
ὃς λαλέειν εἰδώς, ἑτέρους ἐδίδασκε σιωπᾶν,
φάρμακον ἡσυχίης ἐγκρατὲς εὑρόμενος.

---

Nr. 44. V. 2. λάβοι. P. Nr. 45. V. 6. κόσμῳ. P. V. 7. τὸν om. P. Nr. 46. V. 4. εὑράμενος. Plan.

Digitized by Google

### 47. ΤΟΥ ΑΥΤΟΥ.

Ἔσθιε, πῖνε, μύσας ἐπὶ πένθεσιν· οὐ γὰρ ἔοικεν
γαστέρι πενθῆσαι νεκρόν· Ὅμηρος ἔφη.
καὶ γὰρ ὁμοῦ θάψασαν ὀλωλότα δώδεκα τέκνα
σίτου μνησαμένην τὴν Νιόβην παράγει.

### 48. ΤΟΥ ΑΥΤΟΥ.

Μήποτε δουλεύσασα γυνὴ δέσποινα γένοιτο·
ἐστὶ παροιμιακόν. τῷδε δ' ὅμοιον ἐρῶ·
μήτε δίκην δικάσειεν ἀνὴρ γεγονὼς δικολέκτης,
μηδ' ὅταν Ἰσοκράτους ῥητορικώτερος ᾖ.
πᾶς γὰρ ὁ μισθαρνεῖν εἰθισμένος, οὐδ' ἐν ἑταίρῳ
σεμνότερον δικάσαι, μὴ ῥυπαρῶς, δύναται.

### 49. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ μύρμηκι χολὴν καὶ σέρφῳ φασὶν ἐνεῖναι·
εἶτα χολὴν μὲν ἔχει ζῶα τὰ φαυλότατα,
ἐγκεῖσθαι δ' ἐμὲ πᾶσι, χολὴν μὴ ἔχοντα, κελεύεις,
ὡς μηδὲ ψιλοῖς ῥήμασιν ἀνταδικεῖν
τοὺς ἔργοις ἀδικοῦντας; ἀποφράξαντα δεήσει
λοιπὸν ὁλοσχοίνῳ τὸ στόμα, μηδὲ πνέειν.

---

Nr. 48. V. 2. τῷ δὲ τ' ὅμ. P. V. 4. μήθ' ὅτ' ἄν. P. V. 5. πῶς γάρ et ἠθισμένος. P. Nr. 49. V. 1. καὶ ἐρίφῳ. P. V. 5. τοῖς ἔργοις. P.

Digitized by Google

### 50. ΤΟΥ ΑΥΤΟΥ.

Τὴν Κίρκην οὔ φημι, καθὼς εἴρηκεν Ὅμηρος,
ἀντ' ἀνδρῶν ποιεῖν ἢ σύας, ἠὲ λύκους,
τοὺς αὐτῇ προσιόντας· ἑταίρα δ' οὖσα πανοῦργος,
τοὺς δελεασθέντας πτωχοτάτους ἐποίει.
τῶν δ' ἀνθρωπείων ἀποσυλήσασα λογισμῶν,
εἶτ' ἀπὸ τῶν ἰδίων μηδὲν ἔχοντας ἔτι
ἔτρεφεν, ἔνδον ἔχουσα, δίκην ζώων ἀλογίστων.
ἔμφρων δ' ὢν Ὀδυσεύς, τὴν νεότητα φυγών,
οὐχ Ἑρμοῦ, φύσεως δ' ἰδίας * ἔμφρονα, λογισμὸν
εἶχε, γοητείας φάρμακον ἀντίπαλον.

### 51. ΤΟΥ ΑΥΤΟΥ.

Ὁ φθόνος οἰκτιρμοῦ, κατὰ Πίνδαρον, ἐστὶν ἀμείνων.
οἱ βασκαινόμενοι λαμπρὸν ἔχουσι βίον·
[P] τοὺς δὲ λίαν ἀτυχεῖς οἰκτείρομεν. ἀλλά τις εἴην
μήτ' ἄγαν εὐδαίμων, μήτ' ἐλεεινὸς ἐγώ.
ἡ μεσότης γὰρ ἄριστον, ἐπεὶ τὰ μὲν ἄκρα πέφυκεν
κινδύνους ἐπάγειν, ἔσχατα δ' ὕβριν ἔχει.

### 52. ΤΟΥ ΑΥΤΟΥ.

Εὖγε λέγων, τὸν Καιρὸν ἔφης θεόν, εὖγε, Μένανδρε,
ὡς ἀνὴρ Μουσῶν καὶ Χαρίτων τρόφιμος·
πολλάκι γὰρ τοῦ σφόδρα μεριμνηθέντος ἄμεινον
προσπεσὸν εὐκαίρως εὗρέ τι ταὐτόματον.

---

Nr. 50. V. 8. Fort. τὴν κενότητα. V. 9. Fort. ἰδίας ἄμβωνα.
Nr. 52. V. 2. Fort. ὡς ἄρ' ἀνήρ.

Digitized by Google

### 53. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ τοὺς ἀνδροφόνους εὐδαίμονας ὄντας ὁρῶμεν,
οὐ πάνυ θαυμάζω· τοῦ Διός ἐστι γέρας.
τὸν γὰρ γεννήσαντα μεμισηκὼς καὶ ἐκεῖνος
κτεῖνεν ἄν, εἰ ὁ Κρόνος θνητὸς ἐτύγχανεν ὤν.
ἀντὶ δὲ τοῦ κτεῖναι, σὺν τοῖς Τιτῆσι κολάζει,
δέσμιον, ὡς ληστήν, εἰς τὸ βάραθρον ἐνείς.

### 54. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ ποιεῖ θάνατον μόνον ἡ φθίσις· ἀλλὰ τὸν αὐτὸν
καὶ πολλὴ παχύτης πολλάκις εἰργάσατο.
τοῦ δ' ὁ τυραννήσας Διονύσιος Ἡρακλείας,
τῆς ἐν τῷ Πόντῳ, μάρτυς, ὁ τοῦτο παθών.

### 55. ΤΟΥ ΑΥΤΟΥ.

Ἂν πάνυ κομπάζῃς προστάγμασι μὴ ὑπακούειν
τῆς γαμετῆς, ληρεῖς· οὐ γὰρ ἀπὸ δρυὸς εἶ,
οὐδ' ἀπὸ πέτρης, φησίν· ὅ θ' οἱ πολλοὶ κατ' ἀνάγκην
πάσχομεν, ἢ πάντες, καὶ σὺ γυναικοκρατῇ.
εἰ δ', οὐ σανδαλίῳ, φής, τύπτομαι, οὐδ', ἀκολάστου
οὔσης μοι γαμετῆς, χρή με μύσαντα φέρειν,
δουλεύειν σε λέγω μετριώτερον, εἴ γε πέπρασαι
σώφρονι δεσποίνῃ, μηδὲ λίαν χαλεπῇ.

---

Nr. 53. V. 1. πατροφόνους. Br. Nr. 54. V. 1. ἡ φύσις. P. V. 3. ταῦτ' ὁ τ. P. Nr. 55. V. 1. κομπάζεις. P. V. 3. φασίν. Br. V. 4. εἰ πάντες. P.

Digitized by Google

### 56. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδὲν σωφροσύνης τεκμήριόν ἐστι πρόδηλον.
τοῖς ἐμπαιζομένοις ἀνδράσι ταῦτα λέγω.
οὔτε τὸ δύσμορφον πάντως ἀνύποπτον ὑπάρχει·
οὔτ' ἀκολασταίνειν πᾶσα πέφυκε καλή.
καὶ γάρ τις διὰ τὴν ὥραν τοῖς πολλὰ διδοῦσιν
οὐχ ἕπεται· πολλὰς δ' ἐστὶ γυναῖκας ἰδεῖν
[P] οὐχὶ καλὰς τὴν ὄψιν, ὀπυιομένας ἀκορέστως,
καὶ τοῖς χρησαμένοις πολλὰ χαριζομένας.
οὐκ εἴ τις συνάγει τὰς ὀφρύας, οὐδὲ γελῶσα
φαίνεται, ὀφθῆναί τ' ἀνδράσιν ἐκτρέπεται,
σωφροσύνης τρόπος οὗτος ἐχέγγυος. ἀλλά τις εὕροι
μαχλάδα μὲν κρύβδην, τὴν πάνυ σεμνοτάτην,
τὰς δ' ἱλαρὰς καὶ πᾶσι φιλανθρώπως προσιούσας
σώφρονας, εἰ σώφρων ἐστὶ γυνή τις ὅλως.
ἡλικίᾳ τοίνυν * ἥδε κρίνετ'· ἀλλ' Ἀφροδίτης
οἴστρων εἰρήνην οὐδὲ τὸ γῆρας ἄγει.
ὅρκοις λοιπὸν ἀεί τι πεποίθαμεν· ἀλλὰ μεθ' ὅρκον
ζητεῖν ἐστὶ θεοὺς δώδεκα * καινερέου.

### 57. ΤΟΥ ΑΥΤΟΥ.

Γαστέρα μισήσειε θεός, καὶ βρώματα γαστρός·
εἵνεκα γὰρ τούτων σωφροσύνα λύεται.

---

Nr. 56. V. 7. ὀπλιζομένας. P. V. 10. τ' om. P. V. 15. Fort. τάδε κρίνετε· ἀλλ'. V. 16. οιστρον εἰρήνης οὐδέτι γῆρας ἀεί. P. V. 17. αἰεί τε πεπ. P. V. 18. Fort. καινοτρόπους.

58. ΤΟΥ ΑΥΤΟΥ.

Γῆς ἐπέβην γυμνός, γυμνός θ' ὑπὸ γαῖαν ἄπειμι·
καὶ τί μάτην μοχθῶ, γυμνὸν ὁρῶν τὸ τέλος;

59. ΤΟΥ ΑΥΤΟΥ.

Προςδοκίη θανάτου πολυώδυνός ἐστιν ἀνίη·
τοῦτο δὲ κερδαίνει θνητὸς ἀπολλύμενος.
μὴ τοίνυν κλαύσῃς τὸν ἀπερχόμενον βιότοιο·
οὐδὲν γὰρ θανάτου δεύτερόν ἐστι πάθος.

60. ΤΟΥ ΑΥΤΟΥ.

Πλουτεῖς, καὶ τί τὸ λοιπόν; ἀπερχόμενος, μετὰ σαυτοῦ
τὸν πλοῦτον σύρεις, εἰς σορὸν ἑλκόμενος;
τὸν πλοῦτον συνάγεις δαπανῶν χρόνον· οὐ δύνασαι δὲ
ζωῆς σωρεῦσαι μέτρα περισσότερα.

61. ΤΟΥ ΑΥΤΟΥ.

Φεύγετε τοὺς πλουτοῦντας, ἀναιδέας, οἰκοτυράννους,
μισοῦντας πενίην μητέρα σωφροσύνας.

62. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ λόγον, οὐ νόμον οἶδε Τύχη, μερόπων δὲ τυραννεῖ,
τοῖς ἰδίοις ἀλόγως ῥεύμασι συρομένη.

---

Nr. 59. V. 3. ἀποιχόμενον. Plan.

Digitized by Google

μᾶλλον τοῖς ἀδίκοισι ῥέπει, μισεῖ δὲ δικαίους,
ὡς ἐπιδεικνυμένη τὴν ἄλογον δύναμιν.

63. ΤΟΥ ΑΥΤΟΥ.

Μηδέποτε ζήσας ὁ πένης βροτός, οὐδ᾽ ἀποθνήσκει·
καὶ ζῆν γὰρ δοκέων, ὡς νέκυς ἦν ὁ τάλας.
οἱ δὲ τύχας μεγάλας καὶ χρήματα πολλὰ λαχόντες,
οὗτοι τὸν θάνατον πτῶσιν ἔχουσι βίου.

[Ṭ] 64. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ἦ ῥά γε ποῦ τὸ φρύαγμα τὸ τηλίκον; οἱ δὲ περισσοὶ
πῇ ἔβαν ἐξαίφνης ἀγχίποροι κόλακες;
νῦν γὰρ ἑκὰς πτόλιος φυγὰς ᾤχεο· τοῖς πρότερον δὲ
οἰκτροῖς τὴν κατὰ σοῦ ψῆφον ἔδωκε Τύχη.
πολλή σοι, κλυτοεργὲ Τύχη, χάρις, οὕνεχ᾽ ὁμοίως
πάντας ἀεὶ παίζεις, κεἰσέτι τερπόμεθα.

65. ΠΑΛΛΑΔΑ.

Πλοῦς σφαλερὸς τὸ ζῆν· χειμαζόμενοι γὰρ ἐν αὐτῷ
πολλάκι ναυηγῶν πταίομεν οἰκτρότερα.
τὴν δὲ Τύχην βιότοιο κυβερνήτειραν ἔχοντες,
ὡς ἐπὶ τοῦ πελάγους, ἀμφίβολοι πλέομεν·
οἱ μὲν ἐπ᾽ εὐπλοΐην, οἱ δ᾽ ἔμπαλιν· ἀλλ᾽ ἅμα πάντες
εἰς ἕνα τὸν κατὰ γῆς ὅρμον ἀπερχόμεθα.

---

Nr. 64. V. 5. ᾤχετο. P. V. 6. κεἰς σέ τι. Plan.

### 66. ΑΓΑΘΙΟΥ ΣΧΟΛ.

Εὖτέ τις ἐκ πενίης πλούτου τύχοι ἠδὲ καὶ ἀρχῆς,
οὐκέτι γιγνώσκει, τίς πέλε τὸ πρότερον.
τὴν ποτὲ γὰρ φιλίην ἀπαναίνεται· ἀφρονέων δὲ
τέρψιν ὀλισθηρῆς οὐ δεδάηκε Τύχης.
ἧς ποτὲ γὰρ πτωχὸς ταλαπείριος· οὐκ ἐθέλεις δέ,
αἰτίσσας ἀκόλους, νῦν ἑτέροις παρέχειν.
πάντα, φίλος, μερόπεσσι παρέρχεται· εἰ δ' ἀπιθήσῃς,
ἔμπαλιν αἰτίζων μάρτυρα σαυτὸν ἔχοις.

### 67. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Μνήμη καὶ Λήθη, μέγα χαίρετον· ἡ μὲν ἐπ' ἔργοις
Μνήμη τοῖς ἀγαθοῖς, ἡ δ', ἐπὶ λευγαλέοις.

### 68. ΑΓΑΘΙΟΥ.

Καλὸν μὲν στυγόδεμνον ἔχειν νόον· εἰ δ' ἄρ' ἀνάγκη,
ἀρσενικὴ φιλότης μή ποτέ σε κλονέοι.
θηλυτέρας φιλέειν ὀλίγον κακόν, οὕνεκα κείναις
κυπριδίους ὀάρους πότνα δέδωκε φύσις.
δέρκεο τῶν ἀλόγων ζώων γένος· ἡ γὰρ ἐκείνων
οὐδὲν ἀτιμάζει θέσμια συζυγίης.
ἄρσενι γὰρ θήλεια συνάπτεται· οἱ δ' ἀλεγεινοὶ
ἄνδρες ἐς ἀλλήλους ξεῖνον ἄγουσι γάμον.

---

Nr. 66. V. 6. αἰτίζων. P. V. 7. ἀπιθήσεις. Br.

Digitized by Google

[P] 69. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν θάνατον τί φοβεῖσθε, τὸν ἡσυχίης γενετῆρα,
τὸν παύοντα νόσους καὶ πενίης ὀδύνας;
μοῦνον ἅπαξ θνητοῖς παραγίγνεται, οὐδέ ποτ᾽ αὐτὸν
εἶδέν τις θνητῶν δεύτερον ἐρχόμενον·
αἱ δὲ νόσοι πολλαὶ καὶ ποικίλαι, ἄλλοτ᾽ ἐπ᾽ ἄλλον
ἐρχόμεναι θνητῶν, καὶ μεταβαλλόμεναι.

70. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Εἰ βίον ἐν μερόπεσσι Τύχης παίζουσιν ἑταῖραι
Ἐλπίδες, ἀμβολάδην πάντα χαριζόμεναι,
παίζομαι, εἰ βροτός εἰμι. βροτὸς δ᾽ εὖ οἶδα καὶ αὐτὸς
θνητὸς ἐών· δολιχαῖς δ᾽ ἐλπίσι παιζόμενος,
αὐτὸς ἑκόντι γέγηθα πλανώμενος, οὐδὲ γενοίμην
ἐς κρίσιν ἡμετέρην πικρὸς Ἀριστοτέλης.
τὴν γὰρ Ἀνακρείοντος ἐνὶ πραπίδεσσι φυλάσσω
παρφασίην, ὅτι „δεῖ φροντίδα μὴ κατέχειν.“

71. ΤΟΥ ΑΥΤΟΥ.

Πανδώρης ὁρόων γελόω πίθον, οὐδὲ γυναῖκα
μέμφομαι, ἀλλ᾽ αὐτῶν τὰ πτερὰ τῶν Ἀγαθῶν.
ὡς γὰρ ἐπ᾽ Οὐλύμποιο μετὰ χθονὸς ἤθεα πάσης
πωτῶνται, πίπτειν καὶ κατὰ γῆν ὄφελον.

---

Nr. 70. V. 4. δολιχος. P. Nr. 71. V. 1. γελῶ.

ἡ δὲ γυνὴ μετὰ πῶμα κατωχρήσασα παρειὰς
ὤλεσεν ἀγλαΐην ὧν ἔφερεν χαρίτων.
ἀμφοτέρων δ᾽ ἥμαρτεν ὁ νῦν βίος, ὅττι καὶ αὐτὴν
γηράσκουσαν ἔχει, καὶ πίθος οὐδὲν ἔχει.

72. ΠΑΛΛΑΔΑ.

Σκηνὴ πᾶς ὁ βίος, καὶ παίγνιον. ἢ μάθε παίζειν,
τὴν σπουδὴν μεταθείς, ἢ φέρε τὰς ὀδύνας.

73. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ τὸ φέρον σε φέρει, φέρε καὶ φέρου· εἰ δ᾽ ἀγανακτεῖς
καὶ σαυτὸν λυπεῖς, καὶ τὸ φέρον σε φέρει.

74. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Μήτε βαθυκτεάνοιο τύχης κουφίζεο ῥοίζῳ,
μήτε σέο γνάμψῃ φροντὶς ἐλευθερίην.
πᾶς γὰρ ὑπ᾽ ἀσταθέεσσι βίος πελεμίζεται αὔραις,
τῇ καὶ τῇ θαμινῶς ἀντιμεθελκόμενος.
ἡ δ᾽ ἀρετὴ σταθερόν τι καὶ ἄτροπον, ἧς ἔπι μούνης
κύματα θαρσαλέως ποντοπόρει βιότου.

---

V. 5. κάτω χρήσασα. P. Nr. 74. V. 3. πολεμίζεται. P. V. 4. καὶ τῇ καὶ τῇ θαμιναῖς. P.

Digitized by Google

75. ΠΑΛΛΑΔΑ.

Ἠέρα λεπταλέον μυκτηρόθεν ἀμπνείοντες
ζώομεν, ἠελίου λαμπάδα δερκόμενοι,
[P] πάντες ὅσοι ζῶμεν κατὰ τὸν βίον· ὄργανα δ' ἐσμέν,
αὔραις ζωογόνοις πνεύματα δεχνύμενοι.
εἰ δέ τις οὖν ὀλίγην παλάμῃ σφίγξειεν ἀϋτμήν,
ψυχὴν συλήσας, εἰς Ἀΐδην κατάγει.
οὕτως οὐδὲν ἐόντες, ἀγηνορίῃ τρεφόμεσθα,
πνοιῆς ἐξ ὀλίγης ἠέρα βοσκόμενοι.

76. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Οὐ τὸ ζῆν χαρίεσσαν ἔχει φύσιν, ἀλλὰ τὸ ῥίψαι
φροντίδας ἐκ στέρνων τὰς πολιοκροτάφους.
πλοῦτον ἔχειν ἐθέλω τὸν ἐπάρκιον· ἡ δὲ περισσὴ
θυμὸν ἀεὶ κατέδει χρυσομανὴς μελέτη.
ἔνθεν ἐν ἀνθρώποισιν ἀρείονα πολλάκι δήεις
καὶ πενίην πλούτου, καὶ βιότου θάνατον.
ταῦτα σὺ γιγνώσκων κραδίης ἴθυνε κελεύθους,
εἰς μίαν εἰςορόων ἐλπίδα, τὴν σοφίην.

77. ΠΑΛΛΑΔΑ.

Τίπτε μάτην, ἄνθρωπε, πονεῖς, καὶ πάντα ταράσσεις,
κλήρῳ δουλεύων τῷ κατὰ τὴν γένεσιν;

---

Nr. 75. V. 5. παλάμη ὀλίγην. P. V. 7. τρεφόμεθα. P. V. 8. πνοῆς. P. Nr. 76. V. 6. βίοτον θανάτου. P. V. 8. μίαν ὀρόων. P.

*τούτῳ σαυτὸν ἄφες, τῷ δαίμονι μὴ φιλονείκει·*
*σὴν δὲ τύχην στέργων, ἡσυχίην ἀγάπα.*
*μᾶλλον ἐπ' εὐφροσύνην δὲ βιάζεο, καὶ παρὰ μοίρην,*
*εἰ δυνατόν, ψυχὴν τερπομένην μετάγειν.*

78. ΤΟΥ ΑΥΤΟΥ.

*Ῥίπτε γόους, μὴ κάμνε, πόσον χρόνον ἐνθάδε μίμνων,*
*ὡς πρὸς ἐκεῖνον ὅλον τὸν μετὰ ταῦτα βίον.*
*πρὶν τοίνυν σκώληκα βαλεῖν, τύμβοις τε ῥιφῆναι,*
*μὴ δαμάσῃς ψυχὴν ζῶν ἔτι κρινομένην.*

79. ΤΟΥ ΑΥΤΟΥ.

*Νυκτὸς ἀπερχομένης γεννώμεθα ἦμαρ ἐπ' ἦμαρ,*
*τοῦ προτέρου βιότου μηδὲν ἔχοντες ἔτι,*
*ἀλλοτριωθέντες τῆς ἐχθεσινῆς διαγωγῆς,*
*τοῦ λοιποῦ δὲ βίου σήμερον ἀρχόμενοι.*
*μὴ τοίνυν λέγε σαυτὸν ἐτῶν πρεσβῦτα περισσῶν,*
*τῶν γὰρ ἀπελθόντων σήμερον οὐ μετέχεις.*

80. ΤΟΥ ΑΥΤΟΥ.

*Παίγνιόν ἐστι Τύχης μερόπων βίος, οἰκτρός, ἀλήτης,*
*πλούτου καὶ πενίης μεσσόθι ῥεμβόμενος.*

---

Nr. 78. V. 1. *μίμνεις.* Br. V. 3. *σκώληξι βορήν.* Br. Fort. *σκώληκα βοτεῖν.* Nr. 79. V. 2. *προτέρου βίου.* P. *ἐόντες.* Ib.

[P] καὶ τοὺς μὲν κατάγουσα πάλιν σφαιρηδὸν ἀείρει,
τοὺς δ' ἀπὸ τῶν νεφελῶν εἰς Ἀΐδην κατάγει.

81. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ τῆς βραχείας ἡδονῆς τῆς τοῦ βίου.
τὴν ὀξύτητα τοῦ χρόνου πενθήσατε.
ἡμεῖς καθεζόμεσθα καὶ κοιμώμεθα,
μοχθοῦντες ἢ τρυφῶντες· ὁ δὲ χρόνος τρέχει,
τρέχει καθ' ἡμῶν τῶν ταλαιπώρων βροτῶν,
φέρων ἑκάστου τῷ βίῳ καταστροφήν.

82. ΤΟΥ ΑΥΤΟΥ.

* Ἆρα μὴ θανόντες, τῷ δοκεῖν ζῶμεν μόνον,
Ἕλληνες ἄνδρες, συμφορᾷ πεπτωκότες·
ὄνειρον εἰκάζοντες εἶναι τὸν βίον,
εἰ ζῶμεν ἡμεῖς, τοῦ βίου τεθνηκότος.

83. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ τὸ φρονεῖν πλουτεῦντι περίστασις, ὄχλος, ἀνάγκη,
* ζώνη ποικίλη καὶ κολάκων ἀνάγκη. *

84. ΤΟΥ ΑΥΤΟΥ.

Δακρυχέων γενόμην, καὶ δακρύσας ἀποθνήσκω·
δάκρυσι δ' ἐν πολλοῖς τὸν βίον εὗρον ὅλον.

---

Nr. 81. V. 3. καθεζόμεθα. P. Nr. 82. V. 1. μή που. Plan. Fort. ἁρμοῖ θανόντες. — τὸ δοκεῖν. P. V. 4. Fort. οὐ ζῶμεν. Nr. 83. Fort. καὶ κ. ἀγέλη.

ὦ γένος ἀνθρώπων πολυδάκρυτον, ἀσθενές, οἰκτρόν,
 συρόμενον κατὰ γῆς, καὶ διαλυόμενον.

85. ΤΟΥ ΑΥΤΟΥ.

Πάντες τῷ θανάτῳ τηρούμεθα, καὶ τρεφόμεσθα
 ὡς ἀγέλη χοίρων σφαζομένων ἀλόγως.

86. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ δαψιλῶς μέν, ἀλλ' ὅμως κἀγὼ τρέφω
παῖδας, γυναῖκα, δοῦλον, ὄρνιθας, κύνα·
κόλαξ γὰρ οὐδεὶς τοὺς ἐμοὺς πατεῖ δόμους.

87. ΤΟΥ ΑΥΤΟΥ.

Ἂν μὴ γελῶμεν τὸν βίον τὸν δραπέτην,
Τύχην τε πόρνης ῥεύμασιν κινουμένην,
ὀδύνην ἑαυτοῖς προξενοῦμεν πάντοτε,
ἀναξίους ὁρῶντες εὐτυχεστέρους.

88. ΤΟΥ ΑΥΤΟΥ.

Σῶμα, πάθος ψυχῆς, Ἅιδης, Μοῖρ', ἄχθος, ἀνάγκη,
 καὶ δεσμὸς κρατερός, καὶ κόλασις βασάνων.
ἀλλ' ὅταν ἐξέλθῃ τοῦ σώματος, ὡς ἀπὸ δεσμῶν
 τοῦ θανάτου, φεύγει πρὸς θεὸν ἀθάνατον.

---

Nr. 84. V. 4. φερόμενον. P. συρόμενον. Plan. Nr. 88. V. 2. δῆμος. P.

89. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ θεὸς ἡ Φήμη, κεχολωμένη ἐστὶ καὶ αὐτὴ
Ἕλλησι, σφαλεροῖς ἐξαπατῶσα λόγοις.
[¶] Φήμη δ', ἄν τι πάθῃς, ἀναφαίνεται εὐθὺς ἀληθής·
πολλάκι καὶ Φήμην ἔφθασεν ἡ ταχυτής.

90. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ τῆς μεγίστης τοῦ φθόνου πονηρίας·
τὸν εὐτυχῆ μισεῖ τις, ὃν θεὸς φιλεῖ.
οὕτως ἀνόητοι τῷ φθόνῳ πλανώμεθα,
οὕτως ἑτοίμως μωρίᾳ δουλεύομεν.
Ἕλληνές ἐσμεν ἄνδρες ἐσποδωμένοι,
νεκρῶν ἔχοντες ἐλπίδας τεθαμμένας.
ἀνεστράφη γὰρ πάντα νῦν τὰ πράγματα.

91. ΤΟΥ ΑΥΤΟΥ.

Ὅταν στυγῇ τις ἄνδρα, τὸν θεὸς φιλεῖ,
οὗτος μεγίστην μωρίαν κατεισάγει.
φανερῶς γὰρ αὐτῷ τῷ θεῷ κορύσσεται,
χόλον μέγιστον ἐκ φθόνου δεδεγμένος.
δεῖ γὰρ φιλεῖν ἐκεῖνον, ὃν θεὸς φιλεῖ.

92. ΤΟΥ ΑΥΤΟΥ.

εἰς ἄρχοντα.

Ἐπεὶ δικάζεις καὶ σοφιστεύεις λόγοις,
κἀγὼ φέρω σοι τῆς ἐμῆς ἀηδόνος

ἐπίγραμμα σεμνόν, ἄξιον παῤῥησίας·
οὐ γάρ σὲ μέλπων τῆς Δίκης ὕπνους ἔχει.

93. ΤΟΥ ΑΥΤΟΥ.

Βέλτερόν ἐστι Τύχης καὶ θλιβομένοις ἀνέχεσθαι,
ἢ τῶν πλουτούντων τῆς ὑπερηφανίης.

94. ΤΟΥ ΑΥΤΟΥ.

Εἶναι νομίζω φιλόσοφον καὶ τὸν θεόν,
βλασφημίαις τὸν εὐθὺς οὐ θυμούμενον,
χρόνῳ δ᾽ ἐπαυξάνοντα τὰς τιμωρίας,
τὰς τῶν πονηρῶν καὶ ταλαιπώρων βροτῶν.

95. ΤΟΥ ΑΥΤΟΥ.

Μισῶ τὸν ἄνδρα τὸν διπλοῦν πεφυκότα,
χρηστὸν λόγοισι, πολέμιον δὲ τοῖς τρόποις.

96. ΤΟΥ ΑΥΤΟΥ.

Ὅταν λογισμοῖς καταμάθω τὰ πράγματα,
καὶ τὰς ἀκαίρους μεταβολὰς τὰς τοῦ βίου,
καὶ ῥεῦμ᾽ ἄπιστον τῆς ἀνωμάλου Τύχης,
πῶς τοὺς πένητας πλουσίους ἐργάζεται,
καὶ τοὺς ἔχοντας χρημάτων ἀποστερεῖ,
τότε κατ᾽ ἐμαυτὸν τῇ πλάνῃ σκοτούμενος,
μισῶ τὰ πάντα, τῆς ἀδηλίας χάριν.

---

V. 4. Fort. ὁ γάρ σὲ μέλπων τ. Δ. ὕμνους χέει. Nr. 93. V. 1. θλιβομένης. Pl.

[P] οἵῳ τρόπῳ γὰρ περιγένωμαι τῆς Τύχης,
τῆς ἐξ ἀδήλου φαινομένης ἐν τῷ βίῳ,
πόρνης γυναικὸς τοὺς τρόπους κεκτημένης;

97. ΤΟΥ ΑΥΤΟΥ.

Λίτραν ἐτῶν ζήσας μετὰ γραμματικῆς βαρυμόχθου,
βουλευτὴς νεκύων πέμπομαι εἰς Ἀΐδην.

98. ΤΟΥ ΑΥΤΟΥ.

Πᾶς τις ἀπαίδευτος φρονιμώτατός ἐστι σιωπῶν,
τὸν λόγον ἐγκρύπτων, ὡς πάθος αἴσχρότατον.

99. ΤΟΥ ΑΥΤΟΥ.

Πολλάκις ἐξέστησα τεὴν φιλότητα καὶ ὕβριν·
καὶ πολὺ κουφοτέρην σὴν φιλότητα μαθών,
λοιδορίην δὲ ῥέπουσαν, ἐχωρίσθην φιλότητος,
μηκέτι βαστάζων ὕβριν ἀτιμοτάτην.

100. ΑΝΤΙΦΑΝΟΥΣ.

Ἀνθρώποις ὀλίγος μὲν ὁ πᾶς χρόνος, ὃν ποτε δειλοὶ
ζῶμεν, κὴν πολιὸν γῆρας ἅπασι μένῃ·
τῆς δ᾽ ἀκμῆς καὶ μᾶλλον. ὅτ᾽ οὖν χρόνος ὥριος ἡμῖν
πάντα χύδην ἔστω, ψαλμός, ἔρως, προπόσεις.

---

Nr. 99. V. 1. ἐξέστησας τὴν φ. P. Fort. ἐξήτασσα. Nr. 100. V. 2. μένει. P.

Digitized by Google

χειμὼν τοὐντεῦθεν γῆρως βαρύς· οὐδὲ δέκα μνῶν
στύσεις· τοιαύτη σ' ἐκδέχετ' ὀρχιπέδη.

### 101. ΒΙΑΝΩΡΟΣ.

Ἠνίδε, καὶ χέρσου τὸ γεωτόμον ὅπλον ἐρέσσει,
καὶ τὸν ὑπουθάτιον μόσχον ἄγει δάμαλις,
βούταν μὲν τρομέουσα διάκτορα, τὸν δὲ μένουσα
νήπιον, ἀμφοτέρων εὔστοχα φειδομένη·
ἴσχε, ἀροτροδίαυλε, πεδώρυχε, μηδὲ διώξῃς
τὰν διπλοῖς ἔργοις διπλὰ βαρυνομέναν.

### 102. ΒΑΣΣΟΥ.

Μήτε με χείματι πόντος ἄγοι θρασύς, οὐδὲ γαλήνης
ἀργῆς ἠσπασάμην τὴν παλινηνεμίην.
αἱ μεσότητες ἄρισται. ὅπῃ δέ γε πρᾶξιες ἀνδρῶν,
καὶ μάλα μέτρον ἐγὼ τἄρκιον ἠσπασάμην.
τοῦτ' ἀγάπα, φίλε Λάμπι, κακὰς δ' ἔχθαιρε θυέλλας·
εἰσί τινὲς πρηεῖς καὶ βιότου Ζέφυροι.

### 103. ΦΙΛΟΔΗΜΟΥ.

Τὴν πρότερον θυμέλην μήτ' ἔμβλεπε, μήτε παρέλθῃς·
νῦν ἄπαγε δραχμῆς εἰς κολοκορδόκολα.

---

V. 5. βαρύ. P. V. 6. τοιαύτη ἐκδ. P. Nr. 101. V. 2. ὑπουθατιανμόσχει. P. V. 5. ἴσχες. P. Nr. 102. V. 1. ἄγει. P. V. 2. ἀργᾶς. P. Ib. τὴν πολυνηνεμίην. Pl. V. 3. δέ τε. Schaefer. V. 4. καὶ πάλαι. P.

καὶ σῦκον δραχμῆς ἓν γίγνεται· ἢν δ' ἀναμείνῃς,
    χίλια, „τοῖς πτωχοῖς ὁ χρόνος ἐστὶ θεός."

[𝔓] 104. ΚΡΑΤΗΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Χαῖρε θεὰ δέσποιν', ἀνδρῶν ἀγαθῶν ἀγάπημα,
    Εὐτελίη, κλεινῆς ἔγγονε Σωφροσύνης·
σὴν ἀρετὴν τιμῶσιν ὅσοι τὰ δίκαι' ἀσκοῦσιν.

105. ΣΙΜΩΝΙΔΟΥ.

Χαίρει τις Θεόδωρος ἐπεὶ θάνον. ἄλλος ἐπ' αὐτῷ
    χαιρήσει. θανάτῳ πάντες ὀφειλόμεθα.

106. ΑΔΗΛΟΝ.

παροιμία ἐπὶ τῶν ψευδῆ δόξαν ἐχόντων.

Πολλοί τοι ναρθηκοφόροι, παῦροι δέ τε βάκχοι.

107. ΕΥΡΙΠΙΔΟΥ.

Θεοῦ μὲν ἐκτὸς οὔτις εὐτυχεῖ βροτός.

* * *

Φεῦ τῶν βροτείων ὡς ἀνώμαλοι τύχαι·
οἱ μὲν γὰρ εὖ πράσσουσι, τοῖς δὲ συμφοραὶ
σκληραὶ πάρεισιν εὐσεβοῦσι πρὸς θεούς.

---

Nr. 103. V. 3. ἐγγίνεται. P. Fort. νῦν σῦκον. Nr. 104. V. 3. τιμώωσιν. P. Nr. 106. βάκχος. P. Nr. 107. V. 1. οὐδείς. P.

108. ΑΔΗΛΟΝ.

Ζεῦ βασιλεῦ, τὰ μὲν ἐσθλὰ καὶ εὐχομένοις καὶ ἀνεύκτοις
ἄμμι δίδου· τὰ δὲ λυγρὰ καὶ εὐχομένων ἀπερύκοις.

109. ΑΔΗΛΟΝ.

Πᾶς λόγος ἐστὶ μάταιος, ὁ μὴ τετελεσμένος ἔργῳ,
καὶ πᾶσα πρᾶξις τὸν λόγον ἔργον ἔχει.

110. ΑΙΣΧΥΛΟΥ.

Οὐ χρὴ λέοντος σκύμνον ἐν πόλει τρέφειν·
μάλιστα μὲν λέοντα μὴ πόλει τρέφειν·
ἢν δ' ἐκτραφῇ τις, τοῖς τρόποις ὑπηρετεῖν.

111. ΑΔΗΛΟΝ.

Ὁ φθόνος αὐτὸς ἑαυτὸν ἑοῖς βελέεσσι δαμάζει.

112. ΑΔΕΣΠΟΤΟΝ.

Οἶνος καὶ τὰ λοετρὰ καὶ ἡ περὶ Κύπριν ἐρωὴ
ὀξυτέρην πέμπει τὴν ὁδὸν εἰς Ἀΐδην.

113. ΑΔΕΣΠΟΤΟΝ.

Οὐκ ἐθέλω πλουτεῖν, οὐκ εὔχομαι· ἀλλά μοι εἴη
ζῆν ἐκ τῶν ὀλίγων μηδὲν ἔχοντα κακόν.

---

Nr. 110. V. 2. μὴ 'ν πόλει. Arist. V. 3. ὑπηρετεῖ. P.

114. ΑΔΗΛΟΝ.

Ἡ κρίσις ἐστὶ κάτω καὶ Τάνταλος· οὐδὲν ἀπιστῶ,
τῇ πενίῃ μελετῶν τὴν ὑπὸ γῆν κόλασιν.

115. ΑΔΗΛΟΝ.

Ζῆσον λογισμῷ, καὶ μενεῖς ἀνενδεής.

116. ΑΔΗΛΟΝ.

Οὐκ ἔστι γήμας, ὅστις οὐ χειμάζεται.
λέγουσι πάντες, καὶ γαμοῦσιν εἰδότες.

117. ΦΩΚΥΛΙΔΟΥ.

Γνήσιός εἰμι φίλος, καὶ τὸν φίλον ὡς φίλον οἶδα,
τοὺς δὲ κακοὺς διόλου πάντας ἀποστρέφομαι·
οὐδένα θωπεύω πρὸς ὑπόκρισιν· οὓς δ᾽ ἄρα τιμῶ,
τούτους ἐξ ἀρχῆς μέχρι τέλους ἀγαπῶ.

118. ΑΔΗΛΟΝ.

Πῶς γενόμην; πόθεν εἰμί; τίνος χάριν ἦλθον; ἀπελθεῖν.
πῶς δύναμαί τι μαθεῖν, μηδὲν ἐπιστάμενος;

---

Nr. 114. V. 1. ἡ κρίσις. P. εἰ κρ. Br. Nr. 117. V. 3. ποθεύω et ἀρ᾽ ἀτιμάσω. P.

[P] οὐδὲν ἐὼν γενόμην· πάλιν ἔσσομαι ὡς πάρος ἦα·
οὐδὲν καὶ μηδὲν τῶν μερόπων τὸ γένος.
ἀλλ᾽ ἄγε μοι Βάκχοιο φιλήδονον ἔντυε νᾶμα·
τοῦτο γάρ ἐστι κακῶν φάρμακον ἀντίδοτον.

119. *ΑΔΗΛΟΝ.*

Σώματα πολλὰ τρέφειν, καὶ δώματα πόλλ᾽ ἀνεγείρειν,
ἀτραπὸς εἰς πενίην ἐστὶν ἑτοιμοτάτη.

120. *ΑΔΗΛΟΝ.* [*ΝΟΝΝΟΥ.*]

Πᾶσα γυνὴ φιλέει πλέον ἀνέρος, αἰδομένη δὲ
κεύθει κέντρον ἔρωτος ἐρωμανέουσα καὶ αὐτή.

121. *ΡΑΡΟΥ.*

Οὐχ οὕτω βλάπτει μισεῖν ὁ λέγων ἀναφανδόν,
ὥσπερ ὁ τὴν καθαρὰν ψευδόμενος φιλίαν.
τὸν μὲν γὰρ μισοῦντα προειδότες ἐκτρεπόμεσθα,
τὸν δὲ λέγοντα φιλεῖν οὐ προφυλασσόμεθα.
ἐχθρὸν ἐγὼ κρίνω κεῖνον βαρύν, ὅς ποτε λάθρη
τὴν ἀπὸ τῆς φιλίας πίστιν ἔχων ἀδικεῖ.

122. *ΛΟΥΚΙΛΛΙΟΥ.*

Πολλὰ τὸ δαιμόνιον δύναται, κἂν ᾖ παράδοξα·
τοὺς μικροὺς ἀνάγει, τοὺς μεγάλους κατάγει.

---

Nr. 121. Fort. *ΡΙΑΝΟΥ* cum Salm. V. 3. ἐκτρεπόμεσθα. P.

καὶ σοῦ τὴν ὀφρὺν καὶ τὸν τῦφον καταπαύσει,
κἂν ποταμὸς χρυσοῦ νάματά σοι παρέχῃ!
οὐ θρύον, οὐ μαλάχην ἄνεμός ποτε, τὰς δὲ μεγίστας
ἢ δρύας, ἢ πλατάνους οἶδε χαμαὶ κατάγειν.

123. ΑΙΣΩΠΟΥ.

Πῶς τις ἄνευ θανάτου σε φύγοι, βίε; μυρία γάρ σευ
λυγρά· καὶ οὔτε φυγεῖν εὐμαρές, οὔτε φέρειν.
ἡδέα μὲν γάρ σου τὰ φύσει καλά, γαῖα, θάλασσα,
ἄστρα, σεληναίης κύκλα καὶ ἠελίου·
τἆλλα δὲ πάντα, φόβοι τε καὶ ἄλγεα· κἤν τι πάθῃ τις
ἐσθλόν, ἀμοιβαίην ἐκδέχεται Νέμεσιν.

124. ΓΛΥΚΩΝΟΣ.

Πάντα γέλως, καὶ πάντα κόνις, καὶ πάντα τὸ μηδέν·
πάντα γὰρ ἐξ ἀλόγων ἐστὶ τὰ γιγνόμενα.
φροντίδες οἱ παῖδες· μέγα μὲν κακόν, εἴ τι πάθοιεν·
εἰσὶ δὲ καὶ ζῶντες φροντίδες οὐκ ὀλίγαι.
ἡ γαμετή, χρηστὴ μὲν ἔχει τινὰ τέρψιν ἐν αὐτῇ,
ἡ δὲ κακὴ πικρὸν τὸν βίον ἀνδρὶ φέρει.

---

Nr. 122. V. 3. καταπαύει. P. V. 4. παρέχει. P. Nr. 123. V. 1. φύγῃ corr. Schaefer.

[P] 125. ΑΔΗΛΟΝ.

*Πρᾶγμα μέν ἐσθ᾽ ὁ φίλος πάνυ δύςκολον· εἰσὶ δὲ πολλοί,*
*καὶ σχεδὸν οἱ πάντες, μέχρι προςηγορίας.*

126. ΑΔΗΛΟΝ.

*Χρησαμένῳ θεράπων ὁ χρήσιμός ἐστ᾽ ἀγαθόν τι·*
*αὐτάρκης δὲ κακὸν τῶνδ᾽ ὁ πονηρότερος.*

---

Nr. 125. V. 1. μέγ᾽ ἐσθ᾽. P. Nr. 126. V. 2. κακῶν ἐστιν ἀπειρότερος corr. Br.

# XI.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΣΥΜΠΟΤΙΚΑ ΚΑΙ ΣΚΩΠΤΙΚΑ.

Digitized by Google

Digitized by Google

# XI.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΣΥΜΠΟΤΙΚΑ ΚΑΙ ΣΚΩΠΤΙΚΑ.

[P] 1. ΝΙΚΑΡΧΟΥ.

Ἑρμαίοις, ἡμῖν Ἀφροδίσιος ἐξ χόας οἴνου
αἴρων, προσκόψας πένθος ἔθηκε μέγα.
οἶνος καὶ Κένταυρον ἀπώλεσεν, ὡς ὄφελεν δὲ
χἠμᾶς· νῦν δ' ἡμεῖς τοῦτον ἀπωλέσαμεν.

2. ΚΑΛΛΙΚΤΗΡΟΣ.

Αἰσχυλίδα Θεόδωρε, τί μοι μεμάχηνται ἄριστοι;
οὐ διακωλύσεις; πάντες ἔχουσι λίθους.

Nr. 2. V. 1. οἱ ἄριστοι. P.

### 3. ΑΔΕΣΠΟΤΟΝ.

Ἤθελον ἂν πλουτεῖν, ὡς πλούσιος ἦν ποτε Κροῖσος,
 καὶ βασιλεὺς εἶναι τῆς μεγάλης Ἀσίης.
ἀλλ' ὅταν ἐμβλέψω Νικάνορα τὸν σοροπηγόν,
 καὶ γνῶ, πρὸς τί ποιεῖ ταῦτα τὰ γλωσσόκομα,
ἀκτήν που πάσσας, καὶ ταῖς κοτύλαις ὑποβρέξας,
 τὴν Ἀσίην πωλῶ πρὸς μύρα καὶ στεφάνους.

### 4. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Αὐτῷ τις γήμας πιθανὴν τῷ γείτονι, ῥέγχει
 καὶ τρέφεται· τοῦτ' ἦν εὔκολος ἐργασία,
μὴ πλεῖν, μὴ σκάπτειν, ἀλλ' εὐστομάχως ἀπορέγχειν,
 ἀλλοτρίᾳ δαπάνῃ πλούσια βοσκόμενον.

### 5. ΚΑΛΛΙΚΤΗΡΟΣ ΜΑΝΤΙΣΙΟΥ.

Ὅστις ἔσω πυροὺς καταλαμβάνει οὐκ ἀγοράζων,
 κείνου Ἀμαλθείας ἁ γυνά ἐστι κέρας.

### 6. ΤΟΥ ΑΥΤΟΥ.

Πτωχοῦ ἐστι γάμος κυνέα μάχα, εὐθὺ κυδοιμός,
 λοιδορίαι, πληγαί, ζημία, ἔργα, δίκαι.

---

Nr. 3. V. 5. πάσας. P. Nr. 4. V. 4. ἀλλωτρίῳ. P. Nr. 5. V. 2. Ἀμαλθαίας. P. Nr. 6. V. 1. κυανέα. P.

### 7. ΝΙΚΑΝΔΡΟΥ.

*Οὐδεὶς τὴν ἰδίην συνεχῶς, Χαρίδημε, γυναῖκα*
*κινεῖν ἐκ ψυχῆς τερπόμενος δύναται.*
*οὕτως ἡ φύσις ἐστὶ φιλόκνισος, ἀλλοτριόχρως,*
*καὶ ζητεῖ διόλου τὴν ξενοκυσταπάτην.*

[P] 

### 8. ΑΔΕΣΠΟΤΟΝ.

*Μὴ μύρα, μὴ στεφάνους λιθίναις στήλαισι χαρίζου·*
*μηδὲ τὸ πῦρ φλέξῃς· ἐς κενὸν ἡ δαπάνη.*
*ζῶντί μοι, εἴ τι θέλεις, χάρισαι· τέφρην δὲ μεθύσκων,*
*πηλὸν ποιήσεις, κοὐχ ὁ θανὼν πίεται.*

### 9. ΛΕΩΝΙΔΑ.

*Μὴ πάλι μοι μετὰ δόρπον, ὅτ' οὐκέτι γαστέρα πείθω,*
*οὔθατα καὶ χοίρων * ἄρτα τίθει τεμάχη·*
*οὐδὲ γὰρ ἐργοπόνοισι μετὰ στάχυν ὄμβρος ἄκαιρος*
*χρήσιμος, οὐ ναύταις ἐν λιμένι Ζέφυρος.*

### 10. ΛΟΥΚΙΛΛΙΟΥ.

*Τὸν τοῦ δειπναρίου νόμον οἴδατε· σήμερον ὑμᾶς,*
*Αὖλε, καλῶ καινοῖς δόγμασι συμποσίου.*

---

Nr. 7. V. 3. *ἡ ῥύσις* et *ἀλλότριος χρώς*. P. Nr. 8. V. 2. Corrigunt: *βρέξῃς*. Nr. 9. V. 2. *ἄρτι*. Plan. Fort. *λαρά*. V. 3. *μέγαν στ*. P.

οὐ μελοποιὸς ἐρεῖ κατακείμενος· οὔτε παρέξεις,
  οὔθ' ἕξεις αὐτὸς πράγματα γραμματικά.

### 11. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ᾔδειν σε τραγῳδόν, Ἐπίκρατες, οὐδὲ χοραύλην,
  οὐδ' ἄλλ' οὐδὲν ὅλως, ὧν χορὸν ἔστιν ἔχειν.
ἀλλ' ἐκάλουν σε μόνον· σὺ δ' ἔχων χορὸν οἴκοθεν ἥκεις
  ὀρχηστῶν, αὐτοῖς πάντα διδοὺς ὀπίσω.
εἰ δ' οὕτω τοῦτ' ἐστί, σὺ τοὺς δούλους κατάκλινον,
  ἡμεῖς δ' αὐτοῦ σοὶ πρὸς πόδας ἐρχόμεθα.

### 12. ΑΛΚΑΙΟΥ.

εἰς Φίλιππον.

Οἶνος καὶ Κένταυρον, Ἐπίκρατες, οὐχὶ σὲ μοῦνον
  ὤλεσεν, ἠδ' ἐρατὴν Καλλίου ἡλικίην.
ὄντως οἰνοχάρων ὁ μονόμματος, ᾧ σὺ τάχιστα
  τὴν αὐτὴν πέμψαις ἐξ Ἀΐδεω πρόποσιν.

### [P] 13. ΑΜΜΙΑΝΟΥ.

Ἠὼς ἐξ ἠοῦς παραπέμπεται, εἶτ', ἀμελούντων
  ἡμῶν, ἐξαίφνης ἥξει ὁ πορφύρεος,
καὶ τοὺς μὲν τήξας, τοὺς δ' ὀπτήσας, ἐνίους δὲ
  φυσήσας, ἄξει πάντας ἐς ἓν βάραθρον.

---

Nr. 11. V. 2. ἄλλον [οὐδέν. P. V. 3. [ἥκεις.] P. V. 6. αὐτοὶ σοι. Br. Fort. ἡμεῖς δ' αὖ τούτοις.

Digitized by Google

### 14. ΤΟΥ ΑΥΤΟΥ.

Ἐχθὲς ἐπὶ ξενίαν κληθείς, ὅτε καιρὸς ὕπνου μοι,
τύλῃ ἐπεκλίνθην Γοργόνος ἢ Νιόβης,
ἣν οὐδεὶς ὕφηνεν, ἀπέπρισε δ', ἢ πελεκήσας
ἐκ τῶν λατομιῶν ἤγαγεν εἰς τὰ Πρόκλου.
ἐξ ἧς εἰ μὴ θᾶττον ἐπηγέρθην, Πρόκλος ἄν μοι
τὴν τύλην στήλην, ἢ σορὸν εἰργάσατο.

### 15. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὲν τοὺς ἀπὸ Ἄλφα μόνους κέκρικας κατορύσσειν,
Λούκιε, βουλευτάς, καὶ τὸν Ἀδελφὸν ἔχεις.
εἰ δ', ὅπερ εὔλογόν ἐστι, κατὰ στοιχεῖον ὁδεύεις,
ἤδη, σοὶ προλέγω, Ὠριγένης λέγομαι.

### 16. [ΤΟΥ ΑΥΤΟΥ.]

Κύλλος καὶ Λεῦρος, δύο Θεσσαλοὶ ἐγχεσίμωροι.
Κύλλος δ' ἐκ τούτων ἐγχεσιμωρότερος.

### 17. ΝΙΚΑΡΧΟΥ.

Ἦν Στέφανος πτωχὸς καὶ παῖς ἅμα· νῦν δὲ προ-
κόψας,
πλουτεῖ, καὶ γεγένητ' εὐθὺ Φιλοστέφανος,

---

Nr. 14. V. 2. ἐπεκλίθην. P. V. 3. οὐδεὶς μὲν ὑφ. Br. Cf. P. 192. nr. 265. Nr. 17. V. 1. Fort. κηπεὺς θ' ἅμα.

τέσσαρα τῷ πρώτῳ Στεφάνῳ καλὰ γράμματα προσ-
θείς.
ἔσται δ' εἰς ὥρας Ἱπποκρατιππιάδης,
ἢ διὰ τὴν σπατάλην Διονυσιοπηγανόδωρος.
ἐν δ' ἀγορανομίῳ παντὶ μένει Στέφανος.

## 18. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἐν γαστρὶ λαβοῦσα Φιλαίνιον Ἡλιοδώρῳ
θήλειαν τίκτει παῖδ' ἀπὸ ταὐτομάτου.
τοῦ δ' ἐπὶ θηλείῃ λυπουμένου, ἓξ διαλείπει
ἤματα, καὶ τίκτειν ἄρσενα παῖδ' ἔφατο.
οὕτως Βούβαστις καταλύεται· εἰ γὰρ ἑκάστη
τέξεται ὡς αὐτή, τίς θεοῦ ἐστι λόγος;

## 19. ΣΤΡΑΤΩΝΟΣ.

Καὶ πίε νῦν, καὶ ἔρα, Δαμόκρατες, οὐ γὰρ ἐς αἰεὶ
πιόμεθ', οὐδ' αἰεὶ παισὶ συνεσσόμεθα.
καὶ στεφάνοις κεφαλὰς πυκασώμεθα, καὶ μυρίσωμεν
αὐτούς, πρὶν τύμβοις ταῦτα φέρειν ἑτέρους.
[P] νῦν ἐν ἐμοὶ πιέτω μέθυ τὸ πλέον ὀστέα τἀμά·
νεκρὰ δὲ Δευκαλίων αὐτὰ κατακλυσάτω.

---

Nr. 18. V. 2. ἀπαυτομάτου. P. V. 6. τεύξεται. P. Nr. 19. V. 1. πῖνε. P. V. 2. ἀεὶ et συνεσόμεθα. P. V. 5. νῦν ἐμοὶ πιέτω. P. V. 6. κατακλασάτω. P.

20. ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Φεύγεθ᾽ ὅσοι λόκκας, ἢ λοφνίδας, ἢ καμασῆνας
ᾄδετε, ποιητῶν φῦλον ἀκανθολόγων,
οἵ τ᾽ ἐπέων κόσμον λελυγισμένον ἀσκήσαντες,
κρήνης ἐξ ἱερῆς πίνετε λιτὸν ὕδωρ.
σήμερον Ἀρχιλόχοιο καὶ ἄρσενος ἦμαρ Ὁμήρου
σπένδομεν· ὁ κρητὴρ οὐ δέχεθ᾽ ὑδροπότας.

21. ΣΤΡΑΤΩΝΟΣ.

Πρώην τὴν σαύραν Ἀγάθων ῥοδοδάκτυλον εἶχεν·
νῦν δ᾽ αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχει.

22. ΤΟΥ ΑΥΤΟΥ.

Ἔστι Δράκων τις ἔφηβος, ἄγαν καλός· ἀλλὰ δράκων ὤν,
πῶς εἰς τὴν τρώγλην ἄλλον ὄφιν δέχεται;

23. ΑΝΤΙΠΑΤΡΟΥ.

Ὠκύμορόν με λέγουσι δαήμονες ἀνέρες ἄστρων·
εἰμὶ μέν, ἀλλ᾽ οὔ μοι τοῦτο, Σέλευκε, μέλει.
εἰς Ἀΐδην μία πᾶσι καταίβασις· εἰ δὲ τάχιον
ἡμετέρη, Μίνω θᾶσσον ἐποψόμεθα.

---

Nr. 20. V. 1. φεύγετ᾽. P. Nr. 21. Cf. P. 605. nr. 242. Nr. 23. V. 3. τάχειον. P. V. 4. μήνω. P.

Digitized by Google

πίνωμεν· καὶ δὴ γὰρ ἐτήτυμον εἰς ὁδὸν ἵππος
οἶνος, ἐπεὶ πεζοῖς ἀτραπὸς εἰς Ἀΐδην.

## 24. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ Ἑλικὼν Βοιωτέ, σὺ μέν ποτε πολλάκις ὕδωρ
εὐεπὲς ἐκ πηγέων ἔβλυσας Ἡσιόδῳ·
νῦν δ' ἡμῖν ἔθ' ὁ κοῦρος ὁμώνυμος Αὔσονα Βάκχον
οἰνοχοεῖ κρήνης ἐξ ἀμεριμνοτέρης.
βουλοίμην δ' ἂν ἔγωγε πιεῖν παρὰ τοῦδε κύπελλον
ἓν μόνον, ἢ παρὰ σεῦ χίλια Πηγασίδος.

## 25. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ὑπνώεις, ὦταῖρε· τὸ δὲ σκύφος αὐτὸ βοᾷ σε·
ἔγρεο, μὴ τέρπου μοιριδίῃ μελέτῃ.
μὴ φείσῃ, Διόδωρε· λάβρος δ' εἰς Βάκχον ὀλισθών,
ἄχρις ἐπὶ σφαλεροῦ ζωροπότει γόνατος.
ἔσσεθ', ὅτ' οὐ πιόμεσθα, πολύς, πολύς· ἀλλ' ἄγ' ἐπείγου·
ἡ συνετὴ κροτάφων ἅπτεται ἡμετέρων.

## 26. ΑΡΓΕΝΤΑΡΙΟΥ.

Σφάλλομαι ἀκρήτῳ μεμεθυσμένος· ἀλλὰ τίς ἄρα
σώσει μ' ἐκ Βρομίου γυῖα σαλευόμενον;

---

V. 5. πίνομεν. P. Nr. 25. V. 1. ὑπνωιησ ὦέταῖρε. P. Nr. 26. V. 2. με ἐκ. P.

Digitized by Google

*ὡς ἄδικον θεὸν εὗρον, ὅθ' εἵνεκεν αὐτὸς ἐγώ σέ,*
*Βάκχε, φέρων ὑπὸ σοῦ τἄμπαλι παρφέρομαι.*

[P] 27. *ΜΑΚΗΔΟΝΙΟΥ.*

*Συῤῥέντου τρηχεῖα μυρίπνοε χαῖρε κονίη,*
*καὶ Πολλεντίνων γαῖα μελιχροτάτη,*
*Ἄσται θ' αἱ τριπόθητοι, ἀφ' ὧν βρομιώδεα πηλὸν*
*φύρησαν Βάκχῳ τριζυγέες Χάριτες,*
*πλούτου καὶ πενίης κοινὸν κτέαρ· οἷς μέν, ἀνάγκης*
*σκεῦος, τοῖς δέ, τρυφῆς χρῆσι περισσοτέρη.*

28. *ΑΡΓΕΝΤΑΡΙΟΥ.*

*Πέντε θανὼν κείσῃ κατέχων πόδας· οὐδὲ τὰ τερπνὰ*
*ζωῆς, οὐδ' αὐγὰς ὄψεαι ἠελίου·*
*ὥςτε λαβὼν Βάκχου ζωρὸν δέπας ἕλκε γεγηθώς,*
*Κίγκιε, καλλίστην ἀγκὰς ἔχων ἄλοχον.*
*εἰ δέ σοι ἀθάνατος σοφίης νόος, ἴσθι Κλεάνθης*
*καὶ Ζήνων Ἀΐδην τὸν βαθὺν ὡς ἔμολον.*

29. *ΑΥΤΟΜΕΔΟΝΤΟΣ.*

*Πέμπε, κάλει· πάντ' ἐστὶν ἕτοιμά σοι. ἢν δέ τις ἔλθῃ,*
*τί πρήξεις; σαυτῷ δὸς λόγον, Αὐτόμεδον.*

---

V. 3. ὅτ' εἵνεκεν. et ἔγωγε. P. Nr. 27. V. 1. συρέντου. P. V. 3. αἷς ται θ' αἱ τρ. ἀφῆς βρ. P. Nr. 28. V. 3. ζωρός. P.

αὐτὴ γὰρ λαχάνου * σισαρωτέρη, ἡ πρὶν ἀκαμπὴς
ζῶσα, νεκρὰ μηρῶν πᾶσα δέδυκεν ἔσω.
πόλλ' ἐπὶ σοὶ γελάσουσιν, ἀνάρμενος ἂν παραβάλλῃ
πλώειν, τὴν κώπην μηκέτ' ἔχων ἐρέτου.

### 30. ΦΙΛΟΔΗΜΟΥ.

Ὁ πρὶν ἐγὼ καὶ πέντε καὶ ἐννέα, νῦν, Ἀφροδίτη,
ἓν μόλις ἐκ πρώτης νυκτὸς ἐς ἠέλιον·
οἴμοι, καὶ τοῦτο * καταβραχύ, πολλάκι δ' ἤδη
ἡμιθανὲς θνήσκει τοῦτο τὸ τερμόριον.
ὦ γῆρας, γῆρας, τί ποθ' ὕστερον, ἢν ἀφίκηαι,
ποιήσεις, ὅτε νῦν ὧδε μαραινόμεθα;

### 31. ΑΝΤΙΠΑΤΡΟΥ.

Οὔ μοι Πληϊάδων φοβερὴ δύσις, οὐδὲ θαλάσσης
ὠρύον στυφελῷ κῦμα περὶ σκοπέλῳ,
οὐδ' ὅταν ἀστράπτῃ μέγας οὐρανός, ὡς κακὸν ἄνδρα
ταρβέω, καὶ μύθων μνήμονας ὑδροπότας.

### 32. ΟΝΕΣΤΟΥ.

Μούσης νουθεσίην φιλοπαίγμονος εὕρετο Βάκχος,
ὦ Σικυών, ἐν σοὶ κῶμον ἄγων Χαρίτων·

---

Nr. 29. V. 3. ἡ om. P. Fort. σιπαλωτέρη. Nr. 30. V. 3. Fort. τοῦτ' αὐτὸ καταβρ. V. 4. ἡμιφανές, et τερμέριον c. Pauw. Nr. 31. V. 2. ὤρυμον. P.

δὴ γὰρ ἔλεγχον ἔχει γλυκερώτατον, ἔν τε γέλωτι
κέντρον· χὼ μεθύων ἀστὸν ἐσωφρόνισεν.

[P] 33. ΦΙΛΙΠΠΟΥ.

Λάθριον ἑρπηστὴν σκολιὸν πόδα, κισσέ, χορεύσας,
ἄγχεις τὴν Βρομίου βοτρυόπαιδα χάριν·
δεσμεῖς δ' οὐχ ἡμᾶς, ὀλέκεις δὲ σέ· τίς γὰρ ἕλοιτο
κισσὸν ἐπὶ κροτάφοις, μὴ κεράσας Βρόμιον;

34. ΦΙΛΟΔΗΜΟΥ.

Λευκοΐνους πάλι δὴ καὶ ψάλματα, καὶ πάλι Χίους
οἴνους, καὶ πάλι δὴ σμύρναν ἔχειν Συρίην,
καὶ πάλι κωμάζειν, καὶ ἔχειν πάλι διψάδα πόρνην,
οὐκ ἐθέλω· μισῶ ταῦτα τὰ πρὸς μανίην.
ἀλλά με ναρκίσσοις ἀναδήσατε, καὶ πλαγιαύλων
γεύσατε, καὶ κροκίνοις χρίσατε γυῖα μύροις,
καὶ Μιτυληναίῳ τὸν πνεύμονα τέγξατε Βάκχῳ,
καὶ συζεύξατέ μοι φωλάδα παρθενικήν.

35. ΤΟΥ ΑΥΤΟΥ.

Κράμβην Ἀρτεμίδωρος, Ἀρίσταρχος δὲ τάριχον,
βολβίσκους δ' ἡμῖν δῶκεν Ἀθηναγόρας,

---

Nr. 32. V. 4. ἐσωφρόνιζεν. P. Nr. 33. V. 3. ὀλεῖται. P. Nr. 34. V. 1. πάλι δεῖ. P. λευκοΐους corr. Schneider. V. 2. πάλι δεῖ. P. V. 3. ἔχει. P.

ἡπάτιον Φιλόδημος, Ἀπολλοφάνης δὲ δύο μνᾶς
χοιρείου, καὶ τρεῖς ἦσαν ἀπ' ἐχθὲς ἔτι.
ᾠόν, καὶ στεφάνους, καὶ σάμβαλα, καὶ μύρον ἡμῖν
λάμβανε, καὶ δεκάτης εὐθὺ θέλω παράγειν.

36. ΦΙΛΙΠΠΟΥ.

Ἡνίκα μὲν καλὸς ἦς, Ἀρχέστρατε, κἀμφὶ παρειαῖς
οἰνωπαῖς ψυχὰς ἔφλεγες ἠϊθέων,
ἡμετέρης φιλίης οὐδεὶς λόγος· ἀλλὰ μετ' ἄλλων
παίζων, τὴν ἀκμὴν ὡς ῥόδον ἠφάνισας.
ὡς δ' ἐπιπερκάζεις μιαρῇ τριχί, νῦν φίλον ἕλκων,
τὴν καλάμην δωρῇ, δοὺς ἑτέροις τὸ θέρος.

37. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἤδη τοι φθινόπωρον, Ἐπίκλεες, ἐκ δὲ Βοώτου
ζώνης Ἀρκτούρου λαμπρὸν ὄρωρε σέλας·
ἤδη καὶ σταφυλαὶ δρεπάνης ἐπιμιμνήσκονται,
καί τις χειμερινὴν ἀμφερέφει καλύβην.
σοὶ δ' οὔτε χλαίνης θερμὴ κροκύς, οὔτε χιτῶνος
ἔνδον· ἀποσκλήσῃ δ' ἀστέρα μεμφόμενος.

38. ΠΟΛΕΜΩΝΟΣ ΒΑΣΙΛΕΩΣ.

Ἡ πτωχῶν χαρίεσσα πανοπλίη, ἀρτολάγυνος
αὕτη, καὶ δροσερῶν ἐκ πετάλων στέφανος,

---

Nr. 35. V. 5. στέφανος. P. V. 6. τῆς δεκάτης. Br. Nr. 36. V. 2. οἰνωπός. Br. Fort. οἰνώψ, καὶ ψυχάς. Nr. 37. V. 5. θέρμη κροκναι. P.

καὶ τοῦτο φθιμένοιο προάστιον ἱερὸν ὀστεῦν
    ἐγκεφάλου, ψυχῆς φρούριον ἀκρότατον.
[P] πῖνε, λέγει τὸ γλύμμα, καὶ ἔσθιε καὶ περίκεισο
    ἄνθεα· τοιοῦτοι γιγνόμεθ' ἐξαπίνης.

### 39. ΜΑΚΗΔΟΝΙΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.

Ἐχθές μοι συνέπινε γυνή, περὶ ἧς λόγος ἐῤῥει
    οὐχ ὑγιής. παῖδες, θραύσατε τὰς κύλικας.

### 40. ΑΝΤΙΣΤΙΟΥ.

Εὐμένεος Κλεόδημος ἔτι βραχύς· ἀλλὰ χορεύει
    σὺν παισὶν βαιῷ μικρὸς ἔτ' ἐν θιάσῳ.
ἠνίδε καὶ στικτοῖο δορὴν ἐζώσατο νεβροῦ,
    καὶ σείει ξανθῆς κισσὸν ὑπὲρ κεφαλῆς.
ὦνα σύ μιν Καδμεῖε τίθει μέγαν, ὡς ἂν ὁ μύστης
    ὁ βραχὺς ἡβήτας αὖθις ἄγῃ θιάσους.

### 41. ΦΙΛΟΔΗΜΟΥ.

Ἑπτὰ τριηκόντεσσιν ἐπέρχονται λυκάβαντες,
    ἤδη μοι βιότου σχιζόμεναι σελίδες.
ἤδη καὶ λευκαί με κατασπείρουσιν ἔθειραι,
    Ξανθίππη, συνετῆς ἄγγελοι ἡλικίης.

---

Nr. 40. V. 3. ἐξώσατο. P. V. 5. ωνασ ὑμῖν Καδμε τ. P. V. 6. ἄγει. P. Nr. 41. V. 2. βρότον. P. V. 4. Ξανθίπη συν. P. Fort. Ξανθοῖ, τῆς συν.

ἀλλ' ἔτι μοι ψαλμός τε λάλος, κῶμοί τε μέλονται,
καὶ πῦρ ἀπλήστῳ τύφετ' ἐνὶ κραδίῃ.
αὐτὴν ἀλλὰ τάχιστα κορωνίδα γράψατε, Μοῦσαι,
ταύτην, ἡμετέρης δεσπότιδες μανίης.

42. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰ καί σοι ἑδραῖος ἀεὶ βίος, οὐδὲ θάλασσαν
ἔπλως, χερσαίας τ' οὐκ ἐπάτησας ὁδούς,
ἔμπης Κεκροπίης ἐπιβήμεναι, ὄφρ' ἂν ἐκείναις
Δήμητρος μεγάλας νύκτας ἴδῃς ἱερῶν,
τῶν ἄπο κὴν ζωοῖσιν ἀκηδέα, κεὖτ' ἂν ἵκηαι
ἐς πλεόνων, ἕξεις θυμὸν ἐλαφρότερον.

43. ΖΩΝΑ.

Δός μοι τοὐκ γαίης πεπονημένον ἁδὺ κύπελλον,
ἇς γενόμην, καὶ ὑφ' ᾇ κείσομ' ἀποφθίμενος.

44. ΦΙΛΟΔΗΜΟΥ.

Αὔριον εἰς λιτήν σε καλιάδα, φίλτατε Πείσων,
ἐξ ἐνάτης ἕλκει μουσοφιλὴς ἕταρος,
εἰκάδα δειπνίζων ἐνιαύσιον. εἰ δ' ἀπολείψῃς
οὔθατα καὶ Βρομίου χιογενῆ πρόποσιν,

---

V. 6. τύφετ' ἐν κρ. P. Fort. τύφεται. Nr. 42. V. 3. ἐν ἐκείναις. Plan. Fort. ὄφρ' ἂν ἐκείνῃ. V. 4. δημήτριος. P. Nr. 43. V. 2. ὑφ' ᾧ. P. Nr. 44. V. 2. ἕταρις. P.

Digitized by Google

ἀλλ' ἑτάρους ὄψει παναληθέας, ἀλλ' ἐπακούσῃ
Φαιήκων γαίης πουλὺ μελιχρότερα·
ἢν δέ ποτε στρέψῃς καὶ ἐς ἡμέας ὄμματα, Πείσων,
ἄξομεν ἐκ λιτῆς εἰκάδα πιοτέρην.

[P] 45. ΟΝΕΣΤΟΥ.

Αὐτοθελὴς ἥδιστος ἀεὶ πότος· ὃς δέ κ' ἀνάγκῃ,
ὑβριστὴς οἴνῳ τ' ἐστὶ καὶ οἰνοπότῃ.
τὸν μὲν γὰρ γαίῃ προχέει κρύφα· τὸν δ' ὑπὸ γαίῃ
πολλάκι πρὸς Λήθης ἤγαγε πικρὸν ὕδωρ.
πουλυμεθεῖς χαίροιτε. τὸ δ' ὁππόσον ἡδὺ ποθῆναι,
μέτρον ἐμοὶ πάσης ἄρκιον εὐφροσύνης.

46. ΑΥΤΟΜΕΔΟΝΤΟΣ ΚΥΖΙΚΗΝΟΥ.

Ἄνθρωποι δείλης, ὅτε πίνομεν· ἢν δὲ γένηται
ὄρθρος, ἐπ' ἀλλήλους θῆρες ἐγειρόμεθα.

47. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Οὔ μοι μέλει [τὰ] Γύγεω,
τοῦ Σαρδίων ἄνακτος,
οὐθ' αἱρέει με χρυσός,
οὐκ αἰνέω τυράννους·

Nr. 45. V. 5. πουλὺ μεθεὶς χ. τὰ δ' ὀπ. P. Nr. 47. V. 1. μέλει Γύγεω. P. Γύγαο. Plan. V. 4. ἀρνέω. P.

Digitized by Google

ἐμοὶ μέλει μύροισι
καταβρέχειν ὑπήνην·
ἐμοὶ μέλει ῥόδοισι
καταστέφειν κάρηνα.
τὸ σήμερον μέλει μοι·
τὸ δ᾽ αὔριον τίς οἶδεν;

48. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν ἄργυρον τορεύσας,
Ἥφαιστέ μοι ποίησον
[πανοπλίαν μὲν οὐχί,]
ποτήριον δὲ κοῖλον·
ὅσον δύνῃ, βάθυνον.
ποίει δέ μοι κατ᾽ αὐτοῦ
μήτ᾽ ἄστρα, μήθ᾽ ἁμάξας,
μὴ στυγνὸν Ὠρίωνα·
ἀλλ᾽ ἀμπέλους χλοώσας,
καὶ βότρυας γελῶντας,
σὺν τῷ καλῷ Λυαίῳ.

49. ΕΥΗΝΟΥ.

Βάκχου μέτρον ἄριστον, ὃ μὴ πολύ, μηδ᾽ ἐλάχιστον·
ἔστι γὰρ ἢ λύπης αἴτιος, ἢ μανίης.

---

Nr. 48. V. 3. non est in P. V. 7. μηδ᾽ ἀ.] μὴ ἀμ. P.

χαίρει κιρνάμενος δὲ τρισὶν Νύμφαισι τέταρτος·
τῆμος καὶ θαλάμοις ἐστὶν ἑτοιμότατος.
εἰ δὲ πολὺς πνεύσειεν, ἀπέστραπται μὲν Ἔρωτας,
βαπτίζει δ' ὕπνῳ γείτονι τῷ θανάτου.

### 50. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Εὐδαίμων, πρῶτον μὲν ὁ μηδενὶ μηδὲν ὀφείλων·
εἶτα δ' ὁ μὴ γήμας· τὸ τρίτον, ὅςτις ἄπαις.
ἢν δὲ μανεὶς γήμῃ τις, ἔχει χάριν, ἢν κατορύξῃ
εὐθὺς τὴν γαμετήν, προῖκα λαβὼν μεγάλην.
ταῦτ' εἰδὼς σοφὸς ἴσθι· μάτην δ' Ἐπίκουρον ἔασον,
ποῦ τὸ κενὸν ζητεῖν, καὶ τίνες αἱ μονάδες.

### 51. ΑΔΗΛΟΝ.

Τῆς ὥρας ἀπόλαυε. παρακμάζει ταχὺ πάντα·
ἓν θέρος ἐξ ἐρίφου τρηχὺν ἔθηκε τράγον.

### [⁋] 52. ΑΔΗΛΟΝ.

Παιδείῳ, Θρασύβουλε, σαγηνευθεὶς ὑπ' ἔρωτι
ἀσθμαίνεις, δελφὶς ὥς τις ἐπ' αἰγιαλοῦ
κύματος ἱμείρων· δρέπανον δέ σοι οὐδὲ τὸ Περσέως
ἀρκεῖ ἀποτμῆξαι δίκτυον, ᾧ δέδεσαι.

---

Nr. 49. V. 3. Fort. χαίρει δὲ τρισὶ κιρνάμενος Νύμφαισι. V. 5. ἀπέστρα μέν. P. Nr. 52. V. 1. Θρασύδαυλε. P.

Digitized by Google

53. ΑΔΗΛΟΝ.

Τὸ ῥόδον ἀκμάζει βαιὸν χρόνον· ἢν δὲ παρέλθῃ,
ζητῶν εὑρήσεις οὐ ῥόδον, ἀλλὰ βάτον.

54. ΠΑΛΛΑΔΑ.

Γηραλέον με γυναῖκες ἀποσκώπτουσι, λέγουσαι
εἰς τὸ κάτοπρον ὁρᾶν λείψανον ἡλικίης.
ἀλλ' ἐγὼ εἰ λευκὰς * φέρω τρίχας, εἴτε μελαίνας,
οὐκ ἀλέγω, βιότου πρὸς τέλος ἐρχόμενος.
εὐόδμοις δὲ μύροισι καὶ εὐπετάλοις στεφάνοισι
καὶ Βρομίῳ παύω φροντίδας ἀργαλέας.

55. ΤΟΥ ΑΥΤΟΥ.

Δὸς πιέειν, ἵνα Βάκχος ἀποσκεδάσειε μερίμνας,
ἂψ ἀναθερμαίνων ψυχομένην κραδίην.

56. ΑΔΗΛΟΝ.

Πῖνε καὶ εὐφραίνου. τί γὰρ αὔριον, ἢ τί τὸ μέλλον;
οὐδεὶς γιγνώσκει. μὴ τρέχε, μὴ κοπία.
ὡς δύνασαι, χάρισαι, μετάδος, φάγε, θνητὰ λογίζου.
τὸ ζῆν τοῦ μὴ ζῆν οὐδὲν ὅλως ἀπέχει.
πᾶς ὁ βίος τοιόςδε, ῥοπὴ μόνον· ἂν προλάβῃς, σοῦ·
ἂν δὲ θάνῃς, ἑτέρου πάντα, σὺ δ' οὐδὲν ἔχεις.

---

Nr. 54. V. 3. φορέω. Plan. Fort. εἴτε τρίχας λευκὰς φέρω. c. Br. aut εἰ λευκάς γε φ. V. 5. μύροις. P. Nr. 56. V. 5. ῥοπήν. et σόν. P.

Digitized by Google

### 57 ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Γαστέρα μὲν σεσάλακτο γέρων εὐώδεϊ Βάκχῳ
Οἰνοπίων, ἔμπης δ' οὐκ ἀπέθηκε δέπας·
ἀλλ' ἔτι διψώων ἰδίῃ κατεμέμφετο χειρί,
ὡς ἀπὸ κρητῆρος μηδὲν ἀφυσσαμένῃ.
οἱ δὲ νέοι ῥέγχουσι, καὶ οὐ σθένος οὐδ' ἀπ' ἀριθμοῦ
τὰς κύλικας γνῶναι τὰς ἔτι πινομένας.
πῖνε, γέρον, καὶ ζῆθι· μάτην δ' ἄρα θεῖος Ὅμηρος
τείρεσθαι πολιὴν ἐκ νεότητος ἔφη.

### 58. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Ἤθελον οὐ χρυσόν τε καὶ ἄστεα μυρία γαίης,
οὐδ' ὅσα τὰς Θήβας εἶπεν Ὅμηρος ἔχειν·
ἀλλ' ἵνα μοι τροχόεσσα κύλιξ βλύσσειε λυαίῳ,
χείλεος ἀενάῳ νάματι λουομένου,
[¶] καὶ γεραρῶν συνέπινε λάλος χορός· οἱ δὲ περισσοὶ
ἀνέρες ἐργατίναι κάμνον ἐφ' ἡμερίσιν.
οὗτος ἐμοὶ πολὺς ὄλβος, ἀεὶ φίλος· οὐδ' ἀλεγίζω
τῶν χρυσέων ὑπάτων, τὴν φιάλην κατέχων.

### 59. ΤΟΥ ΑΥΤΟΥ.

Χανδοπόται, βασιλῆος ἀεθλητῆρες Ἰάκχου,
ἔργα κυπελλομάχου στήσομεν εἰλαπίνης,
Ἰκαρίου σπένδοντες ἀφειδέα δῶρα Λυαίου·
ἄλλοισιν μελέτω Τριπτολέμοιο γέρα,

ἧχι βόες, καὶ ἄροτρα, καὶ ἱστοβοεύς, καὶ ἐχέτλη,
καὶ στάχυς, ἁρπαμένης ἴχνια Φερσεφόνης.
εἴ ποτε δὲ στομάτεσσι βαλεῖν τινα βρῶσιν ἀνάγκη,
ἀσταφὶς οἰνοπόταις ἄρκιος ἢ Βρομίου.

## 60. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Σπείσομεν οἰνοποτῆρες ἐγερσιγέλωτι Λυαίῳ,
ὤσομεν ἀνδροφόνων φροντίδα ταῖς φιάλαις.
σιτοδόκῳ δ' ἄγραυλος ἀνὴρ βαρύμοχθος ἰάλλοι
γαστρὶ μελαμπέπλου μητέρα Φερσεφόνης·
ταυροφόνων δ' ἀμέγαρτα καὶ αἱμαλέων κρέα δόρπων
θηρσὶ καὶ οἰωνοῖς λείψομεν ὠμοβόροις·
ὀστέα δ' αὖ νεπόδων ταμεσίχροα χείλεσι φωτῶν
εἰξάτω, οἷς Ἀΐδης φίλτερος ἠελίου·
ἡμῖν δ' ὀλβιόδωρον ἀεὶ μέθυ καὶ βόσις ἔστω
καὶ ποτόν· ἀμβροσίην δ' ἄλλος ἔχειν ἐθέλοι.

## 61. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Χθιζὸν ἐμοὶ νοσέοντι παρίστατο δήϊος ἀνὴρ
ἰητρός, δεπάων νέκταρ ἀπειπάμενος.
εἶπε δ' ὕδωρ πίνειν, ἀνεμώλιος· οὐδ' ἐδιδάχθη,
ὅττι μένος μερόπων οἶνον Ὅμηρος ἔφη.

---

Nr. 59. V. 5. ἱστοβοεὺς ἐχέτλη. P. Nr. 60. V. 1. σπείσαμεν. P. V. 2. ὤσαμεν. P. ἀνδροφόνον. Plan. V. 5. αἱμαλέα. P. V. 7. γὰρ εποδων. P. V. 9. ἀεὶ καὶ μ. P. ἔστιν. Ib. V. 10. ἐθέλει. P.

62. ΠΑΛΛΑΔΑ.

Πᾶσι θανεῖν μερόπεσσιν ὀφείλεται, οὐδέ τις ἐστὶν
αὔριον εἰ ζήσει θνητὸς ἐπιστάμενος.
τοῦτο σαφῶς, ἄνθρωπε, μαθὼν εὔφραινε σεαυτόν,
λήθην τοῦ θανάτου τὸν Βρόμιον κατέχων.
τέρπεο καὶ Παφίῃ, τὸν ἐφημέριον βίον ἕλκων·
τἆλλα δὲ πάντα Τύχῃ πράγματα δὸς διέπειν.

63. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Ἀνέρες, οἷσι μέμηλεν ἀπήμονος ὄργια Βάκχου,
ἐλπίσιν ἡμερίδων ῥίψατε τὴν πενίην.
[₱] αὐτὰρ ἐμοὶ κρητὴρ μὲν ἔοι δέπας· ἄγχι δὲ ληνὸς
ἀντὶ πίθου, λιπαρῆς ἔνδιον εὐφροσύνης.
αὐτίκα δ' ἡμετέροιο πιὼν κρητῆρα Λυαίου
παισὶ Καναστραίοις μάρναμαι, ἢν ἐθέλῃς.
οὐ τρομέω δὲ θάλασσαν ἀμείλιχον, οὐδὲ κεραυνούς,
πιστὸν ἀταρβήτου θάρσος ἔχων Βρομίου.

64. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ἡμεῖς μὲν πατέοντες ἀπείρονα καρπὸν Ἰάκχου
ἄμμιγα βακχευτὴν ῥυθμὸν ἀνεπλέκομεν.
ἤδη δ' ἄσπετον οἶδμα κατέρρεεν· οἷα δὲ λέμβοι
κισσύβια γλυκερῶν νήχεθ' ὑπὲρ ῥοθίων,

---

Nr. 63. V. 6. Καναναστρέοις μαρναμένην ἐθ. P. Nr. 64. V. 4. νήχει'. P.

οἷσιν ἀρυσσάμενοι σχέδιον ποτὸν ἤνομεν ἤδη,
θερμῶν Νηϊάδων οὐ μάλα δευόμενοι.
ἡ δὲ καλὴ ποτὶ ληνὸν ὑπερκύπτουσα Ῥοδάνθη
μαρμαρυγῆς κάλλους νᾶμα κατηγλάϊσεν.
πάντων δ' ἐκδεδόνηντο θοαὶ φρένες, οὐδέ τις ἡμέων
ἦεν, ὃς οὐ Βάκχῳ δάμνατο καὶ Παφίῃ.
τλήμονες. ἀλλ' ὁ μὲν εἷρπε παραὶ ποσὶν ἄφθονος ἡμῖν·
τῆς δ' ἄρ' ὑπ' ἐλπωρῇ μοῦνον ἐπαιζόμεθα.

* * *

## 65. ΠΑΡΜΕΝΙΩΝΟΣ.

Λιμοῦ καὶ γραίης χαλεπὴ κρίσις. ἀργαλέον μὲν
πεινῆν, καὶ κοίτη δ' ἔστ' ὀδυνηροτέρα.
πεινῶν εὔχετο γραῦν· κοιμώμενος εὔχετο λιμὸν
Φίλλις· ἴδ' ἀκλήρου παιδὸς ἀνωμαλίην.

## 66. ἈΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Κὴν τείνῃς ῥακόεντα πολυτμήτοιο παρειῆς
χρῶτα, καὶ ἀβλεφάρους ὦπας ἐπ' ἀνθρακίῃ,
καὶ λευκὴν βάψῃς μέλανι τρίχα, καὶ πυρίφλεκτα
βοστρύχια κροτάφοις οὖλα περικρεμάσῃς,
οὐδὲν ταῦτα, γελοῖα, καὶ ἢν ἔτι πλείονα ῥέξῃς,
* * * *

---

Nr. 65. V. 2. δ' εἰτὸ δυν. P. Nr. 66. V. 3. βάψεις. P. V. 5. ἢνί τι πλεῖον ῥ. P. Fort. οὐδὲν ταῦτ' ἀγαλεῖ σε.

[P] 67. ΜΥΡΙΝΟΥ.

Ὑ τετρηκόσι' ἐστίν· ἔχεις δὲ σὺ τοὺς ἐνιαυτοὺς
 δὶς τόσσους, τρυφερὴ Λαῒ κορωνεκάβη,
Σισύφου ὦ μάμμη, καὶ Δευκαλίωνος ἀδελφή.
 βάπτε δὲ τὰς λευκάς, καὶ λέγε πᾶσι τατᾶ.

68. ΛΟΥΚΙΛΛΙΟΥ.

Τὰς τρίχας, ὦ Νίκυλλα, τινὲς βάπτειν σε λέγουσιν,
 ἃς σὺ μελαινοτάτας ἐξ ἀγορᾶς ἐπρίω.

69. ΤΟΥ ΑΥΤΟΥ.

Τὰς πολιὰς βάψασα Θεμιστονόη τρικόρωνος
 γίγνεται ἐξαπίνης οὐ νέα, ἀλλὰ Ῥέα.

70. ΛΕΩΝΙΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Γρηῢν ἔγημε Φιλῖνος, ὅτ' ἦν νέος· ἡνίκα πρέσβυς,
 δωδεκέτιν· Παφίη δ' ὥριος οὐδέποτε.
τοιγὰρ ἄπαις διέμεινε ποτὲ σπείρων ἐς ἄκαρπα·
 νῦν δ' ἑτέροις γήμας, ἀμφοτέρων στέρεται.

---

Nr. 67. V. 1. τετριηκόσι' ἐστίν. P. V. 3. μάμη. P. Nr. 68. V. 2. μελανωτάτας. P. Nr. 70. V. 3. τὸν γάρ. P. καὶ γάρ. Plan. τότε σπ. Plan.

Digitized by Google

### 71. ΝΙΚΑΡΧΟΥ.

Ἤκμασε Νικονόη. κἀγὼ λέγω. ἤκμασε δ' αὐτή,
ἡνίκα Δευκαλίων ἄπλετον εἶδεν ὕδωρ.
ταῦτα μὲν οὖν ἡμεῖς οὐκ οἴδαμεν, ἀλλ' ὅτι ταύτην
οὐκ ἄνδρα ζητεῖν νῦν ἔδει, ἀλλὰ τάφον.

### 72. ΒΑΣΣΟΥ ΣΜΥΡΝΑΙΟΥ.

Ἡ πολιὴ κροτάφοισι Κυτώταρις, ἡ πολύμυθος
γραῖα, δι' ἣν Νέστωρ οὐκέτι πρεσβύτατος,
ἡ φάος ἀθρήσασ' ἐλάφου πλέον, ἡ χερὶ λαιῇ
γῆρας ἀριθμεῖσθαι δεύτερον ἀρξαμένη,
ζώει καὶ λεύσσουσα καὶ ἀρτίπος, οἷά τε νύμφη,
ὥστε με διστάζειν, μή τι πέπονθ' Ἀΐδης.

### 73. ΝΙΚΑΡΧΟΥ.

Γραῖα καλή· τί γάρ; οἶσθ' ὅτ' ἔην νέα· ἀλλὰ τότ' ᾔτει.
νῦν δ' ἐθέλει δοῦναι μισθὸν ἐλαυνομένη.
εὑρήσεις τεχνῖτιν· ὅταν δὲ πίῃ, τότε μᾶλλον
εἰς ὃ θέλεις αὐτὴν εὐεπίτακτον ἔχεις.
πίνει γὰρ καὶ τρεῖς καὶ τέσσαρας, ἢν ἐθελήσῃς,
ξέστας, κἀκ τούτου γίνετ' ἄνω τὰ κάτω.

---

Nr. 71. V. 1. νεικονόη. P. V. 2. ἴδεν. P. Nr. 72. V. 1. Κοτύτταρις. Plan. V. 3. ἐλάφος. P. V. 5. κλεπουσα (αι above ε). P. Nr. 73. V. 1. οἶοθα ὅτ' ἦν. P. V. 3. εὑρήσει. P. V. 5. ἢν θελήισι. P. V. 6. ἐκ τοίτου. P.

Digitized by Google

κολλᾶται, κνίζει, παθικεύεται· ἤν τι διδῷ τις,
λαμβάνει· ἢν μὴ δῷ, μισθὸν ἔχει τὸ πάθος.

[P] 74. ΤΟΥ ΑΥΤΟΥ.

Τὴν δύσκωφον γραῖαν, Ὀνήσιμε, πρὸς Διός, ἔξω
ἔκβαλε· πολλὰ λίην πράγματά μοι παρέχει.
ἢν αὐτῇ τυροὺς ἁπαλοὺς εἴπωμεν ἐνέγκαι,
οὐ τυρούς, πυροὺς δ᾽ ἔρχετ᾽ ἔχουσα νέους.
πρώην τὴν κεφαλὴν ἐπόνουν, καὶ πήγανον αὐτὴν
ᾔτουν· ἡ δ᾽ ἔφερεν τήγανον ὀστράκινον.
ἢν ὀπὸν αἰτήσω, δοκὸν εἰςφέρει· ἂν, λάχανόν μοι,
εἴπω, δός, πεινῶν, εὐθὺ φέρει λάσανον.
ὄξος ἂν αἰτήσω, τόξον φέρει· ἂν δέ γε τόξον,
ὄξος· ὅλως δ᾽ ὃ λέγω, οὔποτ᾽ ἐπαισθάνεται.
αἰσχρὸν τῆς γραός με χάριν κήρυκα γενέσθαι,
καὶ μελετᾶν ἔξω, νυκτὸς ἐγειρόμενον.

75. ΛΟΥΚΙΛΛΙΟΥ.

Οὗτος ὁ νῦν τοιοῦτος Ὀλυμπικὸς εἶχε, Σεβαστέ,
ῥῖνα, γένειον, ὀφρῦν, ὠτάρια, βλέφαρα.
εἶτ᾽ ἀπογραψάμενος πύκτης ἀπολώλεκε πάντα,
ὥςτ᾽ ἐκ τῶν πατρικῶν μηδὲ λαβεῖν τὸ μέρος·
εἰκόνιον γὰρ ἀδελφὸς ἔχων προενήνοχεν αὐτοῦ,
καὶ κέκριτ᾽ ἀλλότριος, μηδὲν ὅμοιον ἔχων.

---

V. 8. μηδιδῶ. P. Nr. 74. V. 7. ἂν ὀπον. P. V. 8. πινῶν εὐθὺς φ. P. V. 9. ἂν δὲ τόξον. P. V. 10. ὕσλως. P. Nr. 75. V. 4. μηδετὸ λαβ. P.

Digitized by Google

76. ΤΟΥ ΑΥΤΟΥ.

Ῥύγχος ἔχων τοιοῦτον, Ὀλυμπικέ, μήτ' ἐπὶ κρήνην
ἔλθῃς, μήτ' ἐν ὄρει πρός τι διαυγὲς ὕδωρ.
καὶ σὺ γάρ, ὡς Νάρκισσος, ἰδὼν τὸ πρόσωπον ἐναργές,
τεθνήξῃ, μισῶν σαυτὸν ἕως θανάτου.

77. ΤΟΥ ΑΥΤΟΥ.

Εἰκοσέτους σωθέντος Ὀδυσσέος εἰς τὰ πατρῷα,
ἔγνω τὴν μορφὴν Ἄργος ἰδὼν ὁ κύων.
ἀλλὰ σὺ πυκτεύσας, Στρατοφῶν, ἐπὶ τέσσαρας ὥρας,
οὐ κυσὶν ἄγνωστος, τῇ δὲ πόλει γέγονας.
ἢν δ' ἐθέλῃς τὸ πρόσωπον ἰδεῖν ἐς ἔσοπτρον ἑαυτοῦ,
οὐκ εἰμὶ Στρατοφῶν, αὐτὸς ἐρεῖς ὀμόσας.

78. ΤΟΥ ΑΥΤΟΥ.

Κόσκινον ἡ κεφαλή σου, Ἀπολλόφανες, γεγένηται,
ἢ τῶν σητοκόπων βυβλαρίων τὰ κάτω·
ὄντως μυρμήκων τρυπήματα λοξὰ καὶ ὀρθά,
γράμματα τῶν λυρικῶν Λύδια καὶ Φρύγια.
πλὴν ἀφόβως πύκτευε· καὶ ἢν τρωθῇς γὰρ ἄνωθεν,
ταῦθ' ὅσ' ἔχεις, ἕξεις· πλείονα δ' οὐ δύνασαι.

---

Nr. 77. V. 1. Ὀδυσσέως. P. V. 5. ἢν ἐθ. P.

[P] 79. ΤΟΥ ΑΥΤΟΥ.

Πύκτης ὢν κατέλυσε Κλεόμβροτος· εἶτα γαμήσας
ἔνδον ἔχει πληγῶν Ἴσθμια καὶ Νέμεα,
γραῦν μαχίμην τύπτουσαν Ὀλύμπια, καὶ τὰ παρ' αὐτῷ
μᾶλλον ἰδεῖν φρίσσων, ἢ ποτὲ τὸ στάδιον.
ἂν γὰρ ἀναπνεύσῃ, δέρεται, τὰς παντὸς ἀγῶνος
πληγὰς ὡς ἀποδῷ· κἂν ἀποδῷ, δέρεται.

80. ΤΟΥ ΑΥΤΟΥ.

Οἱ συναγωνισταὶ τὸν πυγμάχον ἐνθάδ' ἔθηκαν
Ἆπιν· οὐδένα γὰρ πώποτ' ἐτραυμάτισεν.

81. ΤΟΥ ΑΥΤΟΥ.

Πᾶσαν ὅσαν Ἕλληνες ἀγωνοθετοῦσιν ἅμιλλαν
πυγμῆς, Ἀνδρόλεως πᾶσαν ἀγωνισάμαν·
ἔσχον δ' ἐν Πίσῃ μὲν ἓν ὠτίον· ἐν δὲ Πλαταιαῖς
ἓν βλέφαρον· Πυθοῖ δ' ἄπνοος ἐκφέρομαι·
Δαμοτέλης δ' ὁ πατὴρ καρύσσετο σὺν πολιήταις
ἆραί με σταδίων ἢ νεκρόν, ἢ κολοβόν.

82. ΝΙΚΑΡΧΟΥ.

Πέντε μετ' ἄλλων Χάρμος ἐν Ἀρκαδίᾳ δολιχεύων,
θαῦμα μέν, ἀλλ' ὄντως ἕβδομος ἐξέπεσεν.

---

Nr. 79. V. 4. φρίσσει. Br. V. 5. δέρκεται. P.

ἐξ ὄντων, τάχ᾽ ἐρεῖς, πῶς ἕβδομος; εἷς φίλος αὐτοῦ,
θάρσει, Χάρμε, λέγων, ἦλθεν ἐν ἱματίῳ.
ἕβδομος οὖν οὕτω παραγίνεται. εἰ δ᾽ ἔτι πέντε
εἶχε φίλους, ἦλθ᾽ ἄν, Ζωΐλε, δωδέκατος.

83. ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν σταδιῆ πρώην Ἐρασίστρατον ἡ μεγάλη γῆ,
πάντων σειομένων, οὐκ ἐσάλευσε μόνον.

84. ΤΟΥ ΑΥΤΟΥ.

Οὔτε τάχιον ἐμοῦ τις ἐν ἀντιπάλοισιν ἔπιπτεν,
οὔτε βράδιον ὅλως ἔδραμε τὸ στάδιον.
δίσκῳ μὲν γὰρ ὅλως οὐδ᾽ ἤγγισα, τοὺς δὲ πόδας μου
ἐξᾶραι πηδῶν ἴσχυον οὐδέποτε·
κυλλὸς δ᾽ ἠκόντιζεν ἀμείνονα. πέντε δ᾽ ἀπ᾽ ἄθλων
πρῶτος ἐκηρύχθην πεντετριαζόμενος.

85. ΤΟΥ ΑΥΤΟΥ.

Νύκτα μέσην ἐποίησε τρέχων ποτὲ Μάρκος ὁπλίτης,
ὥστ᾽ ἀποκλεισθῆναι πάντοθε τὸ στάδιον.
οἱ γὰρ δημόσιοι κεῖσθαί τινα πάντες ἔδοξαν
ὁπλίτην τιμῆς εἵνεκα τῶν λιθίνων.

---

Nr. 83. V. 1. σταδίην. P. Nr. 84. V. 5. ἠκόντιζον. P. Fort. ἠκόντιζ᾽ ἄν.

[Γ] καὶ τί γάρ; εἰς ὥρας ἠνοίγετο· καὶ τότε Μάρκος
ἦλθε, προσελλείπων τῷ σταδίῳ στάδιον.

86. ΑΔΗΛΟΝ.

Τὸ στάδιον Περικλῆς εἴτ' ἔδραμεν, εἴτ' ἐκάθητο,
οὐδεὶς οἶδεν ὅλως· δαιμόνιος βραδυτής.
ὁ ψόφος ἦν ὕσπληγος ἐν οὔασι, καὶ στεφανοῦτο
ἄλλος, καὶ Περικλῆς δάκτυλον οὐ προέβη.

87. ΛΟΥΚΙΛΛΟΥ.

Τιμόμαχον τὸν μακρὸν ὁ πεντόργυιος ἐχώρει
οἶκος, ὑπὲρ γαίης πάντοτε κεκλιμένον.
στῆναι δ' εἴ ποτ' ἔχρηζεν, ἔδει τοὺς παῖδας ἀπ' ὄρθρου
τὴν ὀροφὴν τρῆσαι πέντ' ἐπὶ πέντε πόδας.

88. ΤΟΥ ΑΥΤΟΥ.

Τὴν μικρὴν παίζουσαν Ἐρώτιον ἥρπασε κώνωψ·
ἡ δέ, τί, φησί, πάθω, Ζεῦ πάτερ, εἴ μ' ἐθέλεις;

89. ΤΟΥ ΑΥΤΟΥ.

Ὁ βραχὺς Ἑρμογένης, ὅταν ἐκβάλῃ εἰς τὸ χαμαί τι,
ἕλκει πρὸς τὰ κάτω τοῦτο δορυδρεπάνῳ.

---

Nr. 86. V. 2. εἶδεν. P. V. 3. ὕσπληγγος. Plan. Nr. 87. V. 2. οἶκοσι. P. Nr. 88. V. 2. φησὶν δῶ. P.

90. ΤΟΥ ΑΥΤΟΥ.

Τῷ πατρὶ θυμωθείς, Διονύσιε, Μάρκος ὁ μικρός,
πυρῆνα στήσας, αὑτὸν ἀπηγχόνισεν.

91. ΤΟΥ ΑΥΤΟΥ.

Ἐν καλάμῳ πήξας ἀθέρα Στρατόνικος ὁ λεπτός,
καὶ τριχὸς ἐκδήσας, αὑτὸν ἀπηγχόνισεν·
καὶ τί γάρ; οὐχὶ κάτω βρῖσεν βαρύς· ἀλλ᾽ ὑπὲρ αὐτῶν,
νηνεμίας οὔσης, νεκρὸς ἄνω πέταται.

92. ΤΟΥ ΑΥΤΟΥ.

Γάϊος ἐκπνεύσας τὸ πανύστατον ἐχθὲς ὁ λεπτός,
εἰς τὴν ἐκκομιδὴν οὐδὲν ἀφῆκεν ὅλως·
καὶ πέρας εἰς Ἀΐδην καταβὰς [ὅλος], οἷος ὅτ᾽ ἔζη,
τῶν ὑπὸ γῆν σκελετῶν λεπτότατος πέταται.
τὴν δὲ κενὴν κλίνην οἱ φράτορες ἦραν ἐπ᾽ ὤμων,
ἐγγράψαντες ἄνω, Γάϊος ἐκφέρεται.

93. ΤΟΥ ΑΥΤΟΥ.

Τῶν Ἐπικουρείων ἀτόμων ποτὲ Μάρκος ὁ λεπτὸς
τῇ κεφαλῇ τρήσας, εἰς τὸ μέσον διέβη.

---

Nr. 92. V. 3. ὅλος om. P. Nr. 93. V. 1. ἐπικούρων. P.

94. ΤΟΥ ΑΥΤΟΥ.

Σαλπίζων ἔπνευσεν ὅσον βραχὺ Μάρκος ὁ λεπτός,
καὶ κατὰ τῆς κεφαλῆς ὀρθὸς ἀπῆλθε κάτω.

95. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν μικρὸν Μάκρωνα θέρους κοιμώμενον εὑρών,
εἰς τρώγλην μικροῦ τοῦ ποδὸς εἵλκυσε μῦς.
ὃς δ' ἐν τῇ τρώγλῃ ψιλὸς τὸν μῦν ἀποπνίξας,
Ζεῦ πάτερ, εἶπεν, ἔχεις δεύτερον Ἡρακλέα.

[ℙ] 96. ΝΙΚΑΡΧΟΥ.

Ἀρκάδας οὐχ οὕτω Στυμφαλίδες, ὡς ἐμὲ κίχλαι
αἱ νέκυες ξηροῖς ἤκαχον ὀσταρίοις,
Ἅρπυιαι, δραχμῆς ξηρὴ δεκάς. ὦ ἐλεειναὶ
λειμώνων ἐτύμως ἔῤῥετε νυκτερίδες.

97. ΑΜΜΙΑΝΟΥ.

Τῷ Στρατονικείῳ πόλιν ἄλλην οἰκοδομεῖτε;
ἢ τούτοις ἄλλην οἰκοδομεῖτε πόλιν.

98. ΤΟΥ ΑΥΤΟΥ.

Ἔστω μητρόπολις πρῶτον πόλις, εἶτα λεγέσθω
μητρόπολις· μὴ νῦν, ἡνίκα μηδὲ πόλις.

---

Nr. 95. V. 1. μάρκωνα. P. V. 2. εἵλκυσεν. P. V. 3. φιλός. P.
Nr. 96. V. 4. ἑτοίμως. P.

Digitized by Google

### 99. ΛΟΥΚΙΛΛΟΥ.

Τὸν λεπτὸν φυσῶντα τὸ πῦρ Πρόκλον ἦρεν ὁ καπνὸς,
καὶ διὰ τῶν θυρίδων ἔνθεν ἀπῆλθεν ἔχων.
ἀλλὰ μόλις νεφέλῃ προςενήξατο, καὶ δι᾽ ἐκείνης
προςκατέβη τρωθεὶς μυρία ταῖς ἀτόμοις.

### 100. ΤΟΥ ΑΥΤΟΥ.

Οὕτω κουφότατος πέλε Γάϊος, ὥςτ᾽ ἐκολύμβα
τοῦ ποδὸς ἐκκρεμάσας ἢ λίθον, ἢ μόλιβον.

### 101. ΤΟΥ ΑΥΤΟΥ.

Ῥιπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

### 102. ΑΜΜΙΑΝΟΥ, οἱ δὲ ΝΙΚΑΡΧΟΥ.

Ἐξαίρων ποτ᾽ ἄκανθαν ὁ λεπτακινὸς Διόδωρος,
αὐτὸς ἐτρύπησεν τῷ ποδὶ τὴν βελόνην.

### 103. ΛΟΥΚΙΛΛΟΥ.

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν
εἶναι, τοῦτο δοκῶν, Ἄλκιμε, λεπτότατον.

---

Nr. 100. V. 1. ὡςτ᾽ εκολυμβᾶν. P. V. 2. μόλιβδον. P. Nr. 101. V. 1. ῥηπίζων. P.

εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου,
τοῦ καὶ τῶν ἀτόμων πουλύ τι λεπτοτέρου,
ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἄν,
ἐκ τούτου δ' αὐτάς, Ἄλκιμε, τὰς ἀτόμους.

104. ΤΟΥ ΑΥΤΟΥ.

Ἱππεύων μύρμηκι Μενέστρατος, ὡς ἐλέφαντι,
δύςμορος ἐξαπίνης ὕπτιος ἐξετάθη,
λακτισθεὶς δ', ὡς εἶχε τὸ καίριον, ὦ φθόνε, φησίν,
οὕτως ἱππεύων ὤλετο καὶ Φαέθων.

105. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν μέγαν ἐζήτουν Εὐμήκιον· ὃς δ' ἐκάθευδεν
μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας.

106. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς ἐποτᾶτο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος.
[P] καὶ τάχ' ἂν ἐῤῥοίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνῃ
τοὺς πόδας ἐμπλεχθεὶς ὕπτιος ἐκρέματο.
αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς
ἑκταῖος κατέβη νήματι τῆς ἀράχνης.

---

Nr. 103. V. 4. πολύ τι. P. Nr. 106. V. 3. ἐρύζητο (ρ supra). P.

Digitized by Google

### 107. ΤΟΥ ΑΥΤΟΥ.

*Αἰγείρου φύλλῳ πεφορημένῳ ἐξ ἀνέμοιό*
*πληγεὶς Χαιρήμων ὕπτιος ἐξετάθη.*
*κεῖται δ' ἢ Τιτυῷ ἐναλίγκιος, ἢ Παλικάμπῃ,*
*ἁπλώσας κατὰ γῆς σῶμα τὸ καννάβιον.*

### 108. ΑΔΗΛΟΝ.

*Κόνων δίπηχυς, ἡ γυνὴ δὲ τεττάρων,*
*ἐν τῇ κλίνῃ δὲ τῶν ποδῶν ἰσουμένων,*
*σκόπει Κόνωνος ποῦ τὸ χεῖλος ἔρχεται.*

### 109. ΑΛΛΟ.

*Οὐδ' ἐπικύψαι ἔχει Δημήτριος οὐδὲν ὁ μικρός·*
* *ἀλλ' ἔῤῥιπται χαμαὶ πάντοτ' ἐπαιρόμενος.*

### 110. ΝΙΚΑΡΧΟΥ.

*Τρεῖς λεπτοὶ πρώην περὶ λεπτοσύνης ἐμάχοντο,*
*τίς προκριθεὶς εἴη λεπτεπιλεπτότερος.*
*ὧν ὁ μὲν εἷς, Ἕρμων, μεγάλην ἐνεδείξατο τέχνην,*
*καὶ διέδυ ῥαφίδος τρῆμα, λίνον κατέχων.*
*Δημᾶς δ' ἐκ τρώγλης βαίνων, ἐς ἀράχνιον ἔστη,*
*ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.*

---

ό
Nr. 107. V. 1. πεφρημενος. P. V. 3. πιτυκάμπτῃ. Br. V. 4. κανάβιον. P. καννάβινον. Br. Nr. 109. V. 2. Fort. ἔῤῥιπται δὲ χαμαί.

Digitized by Google

Σωσίπατρος δ' ἐβόησεν· ἐμὲ στεφανώσατ'· ἐγὼ γὰρ
εἰ βλέπομ', ἥττημαι· πνεῦμα γὰρ εἰμὶ μόνον.

111. ΤΟΥ ΑΥΤΟΥ.

Βουλόμενός ποθ' ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
νῆμα λαβὼν ἀράχνης αὐτὸν ἀπηγχόνισεν.

112. ΤΟΥ ΑΥΤΟΥ.

Πρίν σ' ἐναλείψασθαι, Δημόστρατε, „χαῖρ' ἱερὸν φῶς,"
εἰπὲ τάλας· οὕτως εὔσκοπός ἐστι Δίων.
οὐ μόνον ἐξετύφλωσεν Ὀλυμπικόν, ἀλλὰ * διαυτοῦ
εἰκόνος ἧς εἶχεν τὰ βλέφαρ' ἐξέβαλεν.

113. ΤΟΥ ΑΥΤΟΥ.

Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
καὶ λίθος ὤν, καὶ Ζεύς, σήμερον ἐκφέρεται.

114. ΤΟΥ ΑΥΤΟΥ.

Ἑρμογένην τὸν ἰατρὸν ὁ ἀστρολόγος Διόφαντος
εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν.
κἀκεῖνος γελάσας, τί μὲν ὁ Κρόνος ἐννέα μηνῶν,
φησί, λέγει; σὺ νόει· τἀμὰ δὲ σύντομά σοι,

---

Nr. 112. V. 2. οὕτω. P. V. 3. Fort. διαυγῆ. Nr. 114. V. 3. Fort. τί μέγ', εἰ Κρόνος ἐ. μ. φ. λέγει σύνοδον;

[P] εἶπε, καὶ ἐκτείνας μόνον ἥψατο, καὶ Διόφαντος
ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

### 115. ΤΟΥ ΑΥΤΟΥ.

Ἤν τιν' ἔχῃς ἐχθρόν, Διονύσιε, μὴ καταράσῃ
τὴν Ἶσιν τούτῳ, μηδὲ τὸν Ἁρποκράτην,
μηδ' εἴ τις τυφλοὺς ποιεῖ θεός· ἀλλὰ Σίμωνα.
καὶ γνώσῃ, τί θεός, καὶ τί Σίμων δύναται.

### 116. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς Ἀΐδος κατέπεμψε πάλαι ποτέ, δέσποτα Καῖσαρ,
ὡς λόγος, Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα·
νῦν δ' ἐμὲ Μηνοφάνης ὁ κλινικός. ὥστε λεγέσθω
κλινικὸς Εὐρυσθεύς, μηκέτι Μηνοφάνης.

### 117. ΣΤΡΑΤΩΝΟΣ.

Ἰητρὸς Καπίτων Χρύσην ἐνέχρισεν, ὁρῶντα
ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ' ἀπὸ σταδίου, διὰ δώδεκα δ' ὄρτυγα πηχῶν,
φθεῖρα δ' ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ' ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ διπλέθρου
καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.

---

Nr. 115. V. 2. ἴασιν et ἀλφικράτη. P. Nr. 117. V. 2. μακρῶν. Br. V. 5. διπλέθρω. P.

Digitized by Google

ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
ὄρτυγος οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ᾽ ἐλέφαντα
οὐκέτι μήποτ᾽ ἴδῃ πλησίον ἑσταότα.

118. [ΝΙΚΑΡΧΟΥ ἢ ΚΑΛΛΙΚΤΗΡΟΣ.]

Οὔτ᾽ ἔκλυσεν Φείδων μ᾽, οὔθ᾽ ἥψατο· ἀλλὰ πυρέξας
ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

119. ΤΟΥ ΑΥΤΟΥ.

Ἰητρὸς τὴν γραῦν εἴτ᾽ ἔκλυσεν, εἴτ᾽ ἀπέπνιξεν,
οὐδεὶς γιγνώσκει· δαιμόνιον τὸ τάχος.
ὁ ψόφος ἦν κλυστῆρος ἐν οὔασι, καὶ στεφανοῦτο
ἡ σορός, οἱ δ᾽ ἄλλοι τὸν φακὸν ηὐτρέπισαν.

120. ΤΟΥ ΑΥΤΟΥ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθεὶς
τέθνηκεν, γέγονεν δ᾽ ὀρθότερος κανόνος.

---

Nr. 119. V. 1. ὁ ἰατρός. P. hoc loco. V. 4. τὸν τάφον. P. alio loco. Nr. 120. V. 2. Fort. τετραπόδους c. Scaligero.

121. ΤΟΥ ΑΥΤΟΥ.

Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος·
ζῶν γὰρ χωλεύειν, φησίν, ἔμελλε τάλας.

122. ΤΟΥ ΑΥΤΟΥ.

Πέντ' ἰητρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
πέντ' ἴδεν ἀῤῥώστους, πέντ' ἐνέχρισε πάλιν.
[ℙ] καὶ πᾶσιν μία νύξ, ἓν φάρμακον, εἷς σοροπηγός,
εἷς τάφος, εἷς Ἀΐδης, εἷς κοπετὸς γέγονεν.

123. ΗΔΥΛΟΥ.

Ἆγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ·
ἀλλ' ὅσον εἰςῆλθεν, κὤχετ' Ἀρισταγόρης.
ποῦ τοίην ἀκόνιτος ἔχει φύσιν; ὦ σοροπηγοί,
Ἆγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

124. ΝΙΚΑΡΧΟΥ.

α. Ξεῖνε, τί μὰν πεύθῃ; β. τίνες ἐν χθονὶ τοῖςδ' ὑπὸ τύμβοις;
α. οὓς γλυκεροῦ φέγγους Ζώπυρος ἐστέρεσεν,
Δᾶμις, Ἀριστοτέλης, Δημήτριος, Ἀρκεσίλαος,
Σώστρατος, οἵ τ' ὀπίσω μέχρι Παραιτονίου.

---

Nr. 122. V. 1. πέντε ἰητρ. P. Nr. 124. V. 2. ἐστέρησεν. P.

Digitized by Google

κηρύκιον γὰρ ἔχων ξύλινον, καὶ πλαστὰ πέδιλα,
ὡς Ἑρμῆς, κατάγει τοὺς θεραπευομένους.

### 125. ΑΔΕΣΠΟΤΟΝ.

Ἰητρὸς Κρατέας, καὶ Δάμων ἐνταφιαστὴς
κοινὴν ἀλλήλοις θέντο συνωμοσίην.
καί ῥ' ὁ μὲν οὓς κλέπτεσκεν ἀπ' ἐνταφίων τελαμῶνας
εἰς ἐπιδεσμεύειν πέμπε φίλῳ Κρατέᾳ·
τὸν δ' ἀπαμειβόμενος Κρατέας εἰς ἐνταφιάζειν
πέμπεν ὅλους αὐτῷ τοὺς θεραπευομένους.

### 126. ΑΔΗΛΟΝ.

Οὐ μήλῃ, τριόδοντι δ' ἐνήλειψέν με Χαρῖνος,
σπόγγον ἔχων καινὸν τῶν γναφικῶν πινάκων.
τὴν μήλην δ' ἕλκων, ἐξέσπασε τὸ βλέφαρόν μου
ῥιζόθεν· ἡ μήλη δ' ἔνδον ἔμεινεν ὅλη.
ἐὰν δὲ δὶς ἐγχρίσῃ με, πονῶν πάλιν οὐκ ἐνοχλήσω
ὀφθαλμοὺς αὐτῷ. πῶς γὰρ ὁ μηκέτ' ἔχων;

### 127. ΠΩΛΛΙΑΝΟΥ.

Εἰσὶ καὶ ἐν Μούσῃσιν Ἐριννύες, αἵ σε ποιοῦσιν
ποιητήν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
τοίνυν, σοῦ δέομαι, γράφε πλείονα· μείζονα γάρ σοι
εὔξασθαι ταύτης οὐ δύναμαι μανίαν.

---

V. 5. ἔχω. P. Nr. 125. V. 3. ἐνταφόων. P. Nr. 126. V. 2. γραφικῶν. Br.

128. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὴ χαίρω, Φλῶρε, γενοίμην δάκτυλος, ἢ πούς
εἷς τῶν σῶν τούτων τῶν κατατεινομένων.
χαίρω, νὴ τὸν κλῆρον, ὃν εὐκλήρησας ἐν ἄθλοις,
ὡς περὶ χοιρείας τοῦ στεφάνου μερίδος.
[P] τοιγὰρ θάρσει, Φλῶρε, καὶ εὔθυμος πάλι γίγνου·
οὕτω νικῆσαι καὶ δόλιχον δύνασαι.

129. ΚΕΡΑΛΙΟΥ.

Ποιητὴς ἐλθὼν εἰς Ἴσθμια πρὸς τὸν ἀγῶνα,
εὑρὼν ποιητάς, εἶπε παρίσθμι᾽ ἔχειν.
μέλλει δ᾽ ἐξορμᾶν εἰς Πύθια· κἂν πάλιν εὕρῃ,
εἰπεῖν οὐ δύναται, καὶ παραπύθι᾽ ἔχω.

130. ΠΩΛΛΙΑΝΟΥ.

Τοὺς κυκλίους τούτους, τοὺς αὐτὰρ ἔπειτα λέγοντας,
μισῶ, λωποδύτας ἀλλοτρίων ἐπέων.
καὶ διὰ τοῦτ᾽ ἐλέγοις προσέχω πλέον· οὐδὲν ἔχω γὰρ
Παρθενίου κλέπτειν, ἢ πάλι Καλλιμάχου.
θηρὶ μὲν οὐατόεντι γενοίμην, εἴ ποτε γράψω,
εἴκελος, ἐκ ποταμῶν χλωρὰ χελιδόνια.

---

Nr. 128. V. 5. τοὶ γάρ. P. πάλιν. Ib. Nr. 130. V. 4. πάλιν. P. V. 6. χελιδόνεα. P.

Digitized by Google

οἱ δ' οὕτως τὸν Ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
ὥστε γράφειν ἤδη μῆνιν ἄειδε θεά.

### 131. ΛΟΥΚΙΛΛΙΟΥ.

Οὔτ' ἐπὶ Δευκαλίωνος ὕδωρ ὅτε πάντ' ἐγενήθη,
οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων,
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητής,
καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
ὥστ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

### 132. ΤΟΥ ΑΥΤΟΥ.

Μισῶ, δέσποτα Καῖσαρ, ὅσοις νέος οὐδέποτ' οὐδεὶς
ἤρεσε, κἂν εἴπῃ μῆνιν ἄειδε θεά.
ἀλλ' ἢν μὴ Πριάμου τις ἔχῃ χρόνον ἡμιφάλακρος,
ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ' ἄλφα γράφειν.
εἰ δ' ὄντως οὕτως τοῦτ' ἔστ' ἔχον, ὦ ὕπατε Ζεῦ,
εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

### 133. ΤΟΥ ΑΥΤΟΥ.

Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
φεύγετ'· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·

---

Nr. 131. V. 5. κατὰ τ. P. Nr. 132. V. 5. ἔχων. P. οὕτω. Plan.
Nr. 133. V. 2. Εὐτυχίδας. P.

### 99. ΛΟΥΚΙΛΛΟΥ.

Τὸν λεπτὸν φυσῶντα τὸ πῦρ Πρόκλον ἦρεν ὁ καπνὸς,
καὶ διὰ τῶν θυρίδων ἔνθεν ἀπῆλθεν ἔχων.
ἀλλὰ μόλις νεφέλῃ προςενήξατο, καὶ δι᾽ ἐκείνης
προςκατέβη τρωθεὶς μυρία ταῖς ἀτόμοις.

### 100. ΤΟΥ ΑΥΤΟΥ.

Οὕτω κουφότατος πέλε Γάϊος, ὥςτ᾽ ἐκολύμβα
τοῦ ποδὸς ἐκκρεμάσας ἢ λίθον, ἢ μόλιβον.

### 101. ΤΟΥ ΑΥΤΟΥ.

Ῥιπίζων ἐν ὕπνοις Δημήτριος Ἀρτεμιδώραν
τὴν λεπτὴν, ἐκ τοῦ δώματος ἐξέβαλεν.

### 102. ΑΜΜΙΑΝΟΥ, οἱ δὲ ΝΙΚΑΡΧΟΥ.

Ἐξαίρων ποτ᾽ ἄκανθαν ὁ λεπτακινὸς Διόδωρος,
αὐτὸς ἐτρύπησεν τῷ ποδὶ τὴν βελόνην.

### 103. ΛΟΥΚΙΛΛΟΥ.

Ἐξ ἀτόμων Ἐπίκουρος ὅλον τὸν κόσμον ἔγραψεν
εἶναι, τοῦτο δοκῶν, Ἄλκιμε, λεπτότατον.

---

Nr. 100. V. 1. ὡςτ᾽ ἐκολυμβᾶν. P. V. 2. μόλιβδον. P. Nr. 101. V. 1. ῥηπίζων. P.

Digitized by Google

εἰ δὲ τότ' ἦν Διόφαντος, ἔγραψεν ἂν ἐκ Διοφάντου,
τοῦ καὶ τῶν ἀτόμων πουλύ τι λεπτοτέρου,
ἢ τὰ μὲν ἄλλ' ἔγραψε συνεστάναι ἐξ ἀτόμων ἄν,
ἐκ τούτου δ' αὐτάς, Ἄλκιμε, τὰς ἀτόμους.

104. ΤΟΥ ΑΥΤΟΥ.

Ἱππεύων μύρμηκι Μενέστρατος, ὡς ἐλέφαντι,
δύςμορος ἐξαπίνης ὕπτιος ἐξετάθη,
λακτισθεὶς δ', ὡς εἶχε τὸ καίριον, ὦ φθόνε, φησίν,
οὕτως ἱππεύων ὤλετο καὶ Φαέθων.

105. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν μέγαν ἐζήτουν Εὐμήκιον· ὃς δ' ἐκάθευδεν
μικρῷ ὑπ' ὀξυβάφῳ τὰς χέρας ἐκτανύσας.

106. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρθεὶς ἐξ αὔρης λεπτῆς ἐποτᾶτο δι' αἴθρης
Χαιρήμων, ἀχύρου πολλὸν ἐλαφρότερος.
[¶] καὶ τάχ' ἂν ἐῤῥοίζητο δι' αἰθέρος, εἰ μὴ ἀράχνῃ
τοὺς πόδας ἐμπλεχθεὶς ὕπτιος ἐκρέματο.
αὐτοῦ δὴ νύκτας τε καὶ ἤματα πέντε κρεμασθεὶς
ἑκταῖος κατέβη νήματι τῆς ἀράχνης.

---

Nr. 103. V. 4. πολύ τι. P. Nr. 106. V. 3. ἐρύζητο (ρ superscr.). P.

Digitized by Google

### 107. ΤΟΥ ΑΥΤΟΥ.

Αἰγείρου φύλλῳ πεφορημένῳ ἐξ ἀνέμοιο
πληγεὶς Χαιρήμων ὕπτιος ἐξετάθη.
κεῖται δ' ἢ Τιτυῷ ἐναλίγκιος, ἢ Παλικάμπῃ,
ἁπλώσας κατὰ γῆς σῶμα τὸ καννάβιον.

### 108. ΑΔΗΛΟΝ.

Κόνων δίπηχυς, ἡ γυνὴ δὲ τεττάρων·
ἐν τῇ κλίνῃ δὲ τῶν ποδῶν ἰσουμένων,
σκόπει Κόνωνος ποῦ τὸ χεῖλος ἔρχεται.

### 109. ΑΛΛΟ.

Οὐδ' ἐπικύψαι ἔχει Δημήτριος οὐδὲν ὁ μικρός·
* ἀλλ' ἔρριπται χαμαὶ πάντοτ' ἐπαιρόμενος.

### 110. ΝΙΚΑΡΧΟΥ.

Τρεῖς λεπτοὶ πρώην περὶ λεπτοσύνης ἐμάχοντο,
τίς προκριθεὶς εἴη λεπτεπιλεπτότερος.
ὧν ὁ μὲν εἷς, Ἕρμων, μεγάλην ἐνεδείξατο τέχνην,
καὶ διέδυ ῥαφίδος τρῆμα, λίνον κατέχων.
Δημᾶς δ' ἐκ τρώγλης βαίνων, ἐς ἀράχνιον ἔστη,
ἡ δ' ἀράχνη νήθουσ' αὐτὸν ἀπεκρέμασεν.

---

ὁ
Nr. 107. V. 1. πεφρημενος. P. V. 3. πιτυκάμπτῃ. Br. V. 4. κανάβιον. P. καννάβινον. Br. Nr. 109. V. 2. Fort. ἔρριπται δὲ χαμαί.

Σωσίπατρος δ' ἐβόησεν· ἐμὲ στεφανώσατ'· ἐγὼ γὰρ
εἰ βλέπομ', ἥττημαι· πνεῦμα γὰρ εἰμὶ μόνον.

111. ΤΟΥ ΑΥΤΟΥ.

Βουλόμενός ποθ' ὁ λεπτὸς ἀπάγξασθαι Διόφαντος,
νῆμα λαβὼν ἀράχνης αὑτὸν ἀπηγχόνισεν.

112. ΤΟΥ ΑΥΤΟΥ.

Πρίν σ' ἐναλείψασθαι, Δημόστρατε, „χαῖρ' ἱερὸν φῶς,"
εἰπὲ τάλας· οὕτως εὔσκοπός ἐστι Δίων.
οὐ μόνον ἐξετύφλωσεν Ὀλυμπικόν, ἀλλὰ * διαυτοῦ
εἰκόνος ἧς εἶχεν τὰ βλέφαρ' ἐξέβαλεν.

113. ΤΟΥ ΑΥΤΟΥ.

Τοῦ λιθίνου Διὸς ἐχθὲς ὁ κλινικὸς ἥψατο Μάρκος·
καὶ λίθος ὤν, καὶ Ζεύς, σήμερον ἐκφέρεται.

114. ΤΟΥ ΑΥΤΟΥ.

Ἑρμογένην τὸν ἰατρὸν ὁ ἀστρολόγος Διόφαντος
εἶπε μόνους ζωῆς ἐννέα μῆνας ἔχειν.
κἀκεῖνος γελάσας, τί μὲν ὁ Κρόνος ἐννέα μηνῶν,
φησί, λέγει; σὺ νόει· τἀμὰ δὲ σύντομά σοι,

Nr. 112. V. 2. οὕτω. P. V. 3. Fort. διαυγῆ. Nr. 114. V. 3. Fort. τί μέγ', εἰ Κρόνος ἐ. μ. φ. λέγει σύνοδον;

[Ϛ] εἶπε, καὶ ἐκτείνας μόνον ἥψατο, καὶ Διόφαντος
ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

### 115. ΤΟΥ ΑΥΤΟΥ.

Ἢν τιν᾽ ἔχῃς ἐχθρόν, Διονύσιε, μὴ καταράσῃ
τὴν Ἶσιν τούτῳ, μηδὲ τὸν Ἁρποκράτην,
μηδ᾽ εἴ τις τυφλοὺς ποιεῖ θεός· ἀλλὰ Σίμωνα.
καὶ γνώσῃ, τί θεός, καὶ τί Σίμων δύναται.

### 116. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς Ἄϊδος κατέπεμψε πάλαι ποτέ, δέσποτα Καῖσαρ,
ὡς λόγος, Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα·
νῦν δ᾽ ἐμὲ Μηνοφάνης ὁ κλινικός. ὥςτε λεγέσθω
κλινικὸς Εὐρυσθεύς, μηκέτι Μηνοφάνης.

### 117. ΣΤΡΑΤΩΝΟΣ.

Ἰητρὸς Καπίτων Χρύσην ἐνέχρισεν, ὁρῶντα
ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ᾽ ἀπὸ σταδίου, διὰ δώδεκα δ᾽ ὄρτυγα πηχῶν,
φθεῖρα δ᾽ ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ᾽ ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ δε-
πλέθρου
καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.

---

Nr. 115. V. 2. ἴασιν et ἀλφικράτῃ. P. Nr. 117. V. 2. μακρῶν. Br. V. 5. διπλέθρῳ. P.

ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
ὄρτυγος οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ' ἐλέφαντα
οὐκέτι μήποτ' ἴδῃ πλησίον ἑσταότα.

118. [ΝΙΚΑΡΧΟΥ ἢ ΚΑΛΛΙΚΤΗΡΟΣ.]

Οὔτ' ἔκλυσεν Φείδων μ', οὔθ' ἥψατο· ἀλλὰ πυρέξας
ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

119. ΤΟΥ ΑΥΤΟΥ.

Ἰητρὸς τὴν γραῦν εἴτ' ἔκλυσεν, εἴτ' ἀπέπνιξεν,
οὐδεὶς γιγνώσκει· δαιμόνιον τὸ τάχος.
ὁ ψόφος ἦν κλυστῆρος ἐν οὔασι, καὶ στεφανοῦτο
ἡ σορός, οἱ δ' ἄλλοι τὸν φακὸν ηὐτρέπισαν.

120. ΤΟΥ ΑΥΤΟΥ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθεὶς
τέθνηκεν, γέγονεν δ' ὀρθότερος κανόνος.

---

Nr. 119. V. 1. ὁ ἰατρός. P. hoc loco. V. 4. τὸν τάφον. P. alio loco. Nr. 120. V. 2. Fort. τετραπόδους c. Scaligero.

Digitized by Google

121. ΤΟΥ ΑΥΤΟΥ.

Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος·
ζῶν γὰρ χωλεύειν, φησίν, ἔμελλε τάλας.

122. ΤΟΥ ΑΥΤΟΥ.

Πέντ' ἰητρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
πέντ' ἴδεν ἀῤῥώστους, πέντ' ἐνέχρισε πάλιν.
[P] καὶ πᾶσιν μία νύξ, ἓν φάρμακον, εἷς σοροπηγός,
εἷς τάφος, εἷς Ἀΐδης, εἷς κοπετὸς γέγονεν.

123. ΗΔΥΛΟΥ.

Ἆγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ·
ἀλλ' ὅσον εἰσῆλθεν, κῴχετ' Ἀρισταγόρης.
ποῦ τοίην ἀκόνιτος ἔχει φύσιν; ὦ σοροπηγοί,
Ἆγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

124. ΝΙΚΑΡΧΟΥ.

α. Ξεῖνε, τί μὰν πεύθῃ; β. τίνες ἐν χθονὶ τοῖσδ' ὑπὸ τύμβοις;
α. οὓς γλυκεροῦ φέγγους Ζώπυρος ἐστέρεσεν,
Δᾶμις, Ἀριστοτέλης, Δημήτριος, Ἀρκεσίλαος,
Σώστρατος, οἵ τ' ὀπίσω μέχρι Παραιτονίου.

---

Nr. 122. V. 1. πέντε ἰητρ. P. Nr. 124. V. 2. ἐστέρησεν. P.

Digitized by Google

κηρύκιον γὰρ ἔχων ξύλινον, καὶ πλαστὰ πέδιλα,
ὡς Ἑρμῆς, κατάγει τοὺς θεραπευομένους.

125. ΑΔΕΣΠΟΤΟΝ.

Ἰητρὸς Κρατέας, καὶ Δάμων ἐνταφιαστὴς
κοινὴν ἀλλήλοις θέντο συνωμοσίην.
καί ῥ' ὁ μὲν οὓς κλέπτεσκεν ἀπ' ἐνταφίων τελαμῶνας
εἰς ἐπιδεσμεύειν πέμπε φίλῳ Κρατέᾳ·
τὸν δ' ἀπαμειβόμενος Κρατέας εἰς ἐνταφιάζειν
πέμπεν ὅλους αὐτῷ τοὺς θεραπευομένους.

126. ΑΔΗΛΟΝ.

Οὐ μήλῃ, τριόδοντι δ' ἐνήλειψέν με Χαρῖνος,
σπόγγον ἔχων καινὸν τῶν γναφικῶν πινάκων.
τὴν μήλην δ' ἕλκων, ἐξέσπασε τὸ βλέφαρόν μου
ῥιζόθεν· ἡ μήλη δ' ἔνδον ἔμεινεν ὅλη.
ἂν δὲ δὶς ἐγχρίσῃ με, πονῶν πάλιν οὐκ ἐνοχλήσω
ὀφθαλμοὺς αὐτῷ. πῶς γὰρ ὁ μηκέτ' ἔχων;

127. ΠΩΛΛΙΑΝΟΥ.

Εἰσὶ καὶ ἐν Μούσῃσιν Ἐριννύες, αἵ σε ποιοῦσιν
ποιητήν, ἀνθ' ὧν πολλὰ γράφεις ἀκρίτως.
τοίνυν, σοῦ δέομαι, γράφε πλείονα· μείζονα γάρ σοι
εὔξασθαι ταύτης οὐ δύναμαι μανίαν.

---

V. 5. ἔχω. P. Nr. 125. V. 3. ἐνταφόων. P. Nr. 126. V. 2. γραφικῶν. Br.

Digitized by Google

128. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὴ χαίρω, Φλῶρε, γενοίμην δάκτυλος, ἢ πούς
εἷς τῶν σῶν τούτων τῶν κατατεινομένων.
χαίρω, νὴ τὸν κλῆρον, ὃν εὐκλήρησας ἐν ἄθλοις,
ὡς περὶ χοιρείας τοῦ στεφάνου μερίδος.
[P] τοιγὰρ θάρσει, Φλῶρε, καὶ εὔθυμος πάλι γίγνου·
οὕτω νικῆσαι καὶ δόλιχον δύνασαι.

129. ΚΕΡΑΛΙΟΥ.

Ποιητὴς ἐλθὼν εἰς Ἴσθμια πρὸς τὸν ἀγῶνα,
εὑρὼν ποιητάς, εἶπε παρίσθμι' ἔχειν.
μέλλει δ' ἐξορμᾶν εἰς Πύθια· κἂν πάλιν εὕρῃ,
εἰπεῖν οὐ δύναται, καὶ παραπύθι' ἔχω.

130. ΠΩΛΛΙΑΝΟΥ.

Τοὺς κυκλίους τούτους, τοὺς αὐτὰρ ἔπειτα λέγοντας,
μισῶ, λωποδύτας ἀλλοτρίων ἐπέων.
καὶ διὰ τοῦτ' ἐλέγοις προσέχω πλέον· οὐδὲν ἔχω γὰρ
Παρθενίου κλέπτειν, ἢ πάλι Καλλιμάχου.
θηρὶ μὲν οὐατόεντι γενοίμην, εἴ ποτε γράψω,
εἴκελος, ἐκ ποταμῶν χλωρὰ χελιδόνια.

---

Nr. 128. V. 5. τοὶ γὰρ. P. πάλιν. Ib. (τοι above) Nr. 130. V. 4. πάλιν. P. V. 6. χελιδόνεα. P.

οἱ δ' οὕτως τὸν Ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
ὥςτε γράφειν ἤδη μῆνιν ἄειδε θεά.

131. ΛΟΥΚΙΛΛΙΟΥ.

Οὔτ' ἐπὶ Δευκαλίωνος ὕδωρ ὅτε πάντ' ἐγενήθη,
οὔθ' ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων,
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητής,
καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
ὥςτ' ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ' ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

132. ΤΟΥ ΑΥΤΟΥ.

Μισῶ, δέσποτα Καῖσαρ, ὅσοις νέος οὐδέποτ' οὐδεὶς
ἤρεσε, κἂν εἴπῃ μῆνιν ἄειδε θεά.
ἀλλ' ἢν μὴ Πριάμου τις ἔχῃ χρόνον ἡμιφάλακρος,
ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ' ἄλφα γράφειν.
εἰ δ' ὄντως οὕτως τοῦτ' ἔστ' ἔχον, ὦ ὕπατε Ζεῦ,
εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

133. ΤΟΥ ΑΥΤΟΥ.

Τέθνηκ' Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
φεύγετ'· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·

---

Nr. 131. V. 5. κατὰ τ. P. Nr. 132. V. 5. ἔχων. P. οὕτω. Plan.
Nr. 133. V. 2. Εὐτυχίδας. P.

Digitized by Google

καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα, καὶ κίστας εἰκοσίπεντε νόμων.
νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε· ποῖ τις ἀπέλθῃ
λοιπόν, ἐπεὶ καὶ γῆν Εὐτυχίδης κατέχει;

[P] 134. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρχόμεθ', Ἡλιόδωρε· ποιήματα παίζομεν οὕτω
ταῦτα πρὸς ἀλλήλους· Ἡλιόδωρε, θέλεις;
ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου ... καὶ γὰρ ἔμ' ὄψει
μακροφλυαρητὴν Ἡλιοδωρότερον.

135. ΤΟΥ ΑΥΤΟΥ.

Μηκέτι, μηκέτι, Μάρκε, τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
τὸν πολὺ τοῦ παρὰ σοὶ νεκρότερον τεκνίου.
εἰς ἐμὲ νῦν ἐλέγους ποίει [πάλιν], εἰς ἐμὲ θρήνους,
δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.
τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν, οἷα πάθοιεν
οἱ καταδείξαντες βιβλία καὶ καλάμους.

136. ΤΟΥ ΑΥΤΟΥ.

Οὐχ οὕτω κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,

---

V. 5. ποῖ τις ἀπέλθει. Ib. V. 6. Fort. ἐπεὶ χάδην. Nr. 134. V. 2. στάντε πρός. Br. Nr. 135. V. 3. πάλιν om. P. V. 4. σταζόμενον. P. V. 5. πάσχων. P.

Digitized by Google

οἷον ἀκήρυκτον, Καλλίστρατε, καὶ σὺ προσελθὼν
ποιεῖς μοι φονικῶν ἑξαμέτρων πόλεμον.
σάλπιγξον ταχέως ἀνακλητικόν· εἰς ἀνοχὰς γὰρ
καὶ Πρίαμος κλαύσας * ἡμερίων ἔτυχεν.

137. ΤΟΥ ΑΥΤΟΥ.

Ὠμοβοείου μοι παραθεὶς τόμον, Ἡλιόδωρε,
καὶ τρία μοι κεράσας ὠμοβοειότερα,
εὐθὺ κατακλύζεις ἐπιγράμμασιν. εἰ δ' ἀσεβήσας
βεβρώκειν τινὰ βοῦν τῶν ἀπὸ Τρινακρίας,
βούλομ' ἅπαξ πρὸς κῦμα χανεῖν· εἰ δ' ἐστὶ τὸ κῦμα
ἔνθεν μάκρ', ἄρας εἰς τὸ φρέαρ με βάλε.

138. ΤΟΥ ΑΥΤΟΥ.

Ἂν τοῦ γραμματικοῦ μνησθῶ μόνον Ἡλιοδώρου,
εὐθὺ σολοικίζον τὸ στόμα μου δέδεται.

139. ΤΟΥ ΑΥΤΟΥ.

Γραμματικὸν Ζήνωνος ἔχει πώγωνα Μένανδρον,
τὸν δ' υἱὸν τούτῳ φῂς σὺ συνεστακέναι.

---

Nr. 136. V. 3. προελθών. Plan. V. 6. Fort. ἠρεμίας. Nr. 137. V. 6. μακράν. P. μακρὰν ἔνθεν. Br. Nr. 138. V. 2. σολοικίζων. P. Nr. 139. V. 1. ζηνωνὶς ἔχει. P. Fort. γραμματικὸς Ζήνων μὲν ἔχει πώγωνα μάλ' ἁδρόν. V. 2. σὺ om. P.

Digitized by Google

τὰς νύκτας δ' * αὐτὴ μελέτη οὐ παύεται οὕτως,
πτώσεις, συνδέσμους, σχήματα, συζυγίας.

140. ΤΟΥ ΑΥΤΟΥ.

Τούτοις τοῖς παρὰ δεῖπνον ἀοιδομάχοις λογολέσχαις,
τοῖς ἀπ' Ἀριστάρχου γραμματολικριφίσιν,
οἷς οὐ σκῶμμα λέγειν, οὐ πεὶν φίλον, ἀλλ' ἀνάκεινται
νηπυτιευόμενοι Νέστορι καὶ Πριάμῳ,
[₱] μή με βάλῃς κατὰ λέξιν ἕλωρ καὶ κύρμα γενέσθαι.
σήμερον οὐ δειπνῶ μῆνιν ἄειδε θεά.

141. ΛΟΥΚΙΛΛΟΥ.

Χοιρίδιον καὶ βοῦν ἀπολώλεκα, καὶ μίαν αἶγα,
ὧν χάριν εἴληφας μισθάριον, Μενέκλεις.
οὔτε δέ μοι κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται,
οὔτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν·
ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥστε τί ποιεῖ
ἐνθάδε μοι Ξέρξης καὶ Λακεδαιμόνιοι;
πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν, ἢ μέγα κράξω·
„Ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον."

---

V. 3. Fort. αὐτὰς μελετῶν οὐ παύεται οὗτος. Nr. 140. V. 1. ταύταις ταῖς et ἀοιδομάχαις. P. V. 3. πίν. Plan.

142. ΤΟΥ ΑΥΤΟΥ.

Πολλοῦ δεῖ, καὶ σφίν, καὶ τρὶς παρ' ἕκαστα δικασταὶ
ἄνδρες, καὶ λέγε δὴ τὸν νόμον ἐνθάδε μοι.
καὶ ταυτί, καὶ μῶν, καὶ τετταράκοντα, καὶ ἅττα
σκεψάμενος, καί τοι νὴ Δία, καὶ μὰ Δία,
ῥήτωρ ἐστὶ Κρίτων, καὶ παιδία πολλὰ διδάσκει·
προςθήσει δ' αὐτοῖς γρῦ, φαθί, καὶ μὶν ἔτι.

143. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ Πλούτων,
εἰπών· ἀρκείτω Κέρβερος ὧδε κύων.
εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι καὶ Μελίτωνι
τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτα.
οὐδὲν γὰρ σοῦ χεῖρον ἔχω κακόν, ἄχρις ἂν ἐλθὼν
ὧδε σολοικίζῃ Ῥοῦφος ὁ γραμματικός.

144. ΚΕΡΕΑΛΙΟΥ.

Οὐ τὸ λέγειν παράσημα καὶ Ἀττικὰ ῥήματα πέντε,
εὐζήλως ἐστὶν καὶ φρονίμως μελετᾶν.
οὐδὲ γὰρ εἰ κάρκαιρε, καὶ εἰ κοναβεῖ, τό τε σίζει,
καὶ κελάρυζε λέγεις, εὐθὺς Ὅμηρος ἔσῃ.

---

Nr. 142. V. 3. ταύτῃ. P. Nr. 144. V. 3. κάρκερε. P.

Digitized by Google

[P] εἶπε, καὶ ἐκτείνας μόνον ἥψατο, καὶ Διόφαντος
ἄλλον ἀπελπίζων, αὐτὸς ἀπεσκάρισεν.

### 115. ΤΟΥ ΑΥΤΟΥ.

Ἤν τιν᾽ ἔχῃς ἐχθρόν, Διονύσιε, μὴ καταράσῃ
τὴν Ἶσιν τούτῳ, μηδὲ τὸν Ἁρποκράτην,
μηδ᾽ εἴ τις τυφλοὺς ποιεῖ θεός· ἀλλὰ Σίμωνα.
καὶ γνώσῃ, τί θεός, καὶ τί Σίμων δύναται.

### 116. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς Ἄϊδος κατέπεμψε πάλαι ποτέ, δέσποτα Καῖσαρ,
ὡς λόγος, Εὐρυσθεὺς τὸν μέγαν Ἡρακλέα·
νῦν δ᾽ ἐμὲ Μηνοφάνης ὁ κλινικός. ὥςτε λεγέσθω
κλινικὸς Εὐρυσθεύς, μηκέτι Μηνοφάνης.

### 117. ΣΤΡΑΤΩΝΟΣ.

Ἰητρὸς Καπίτων Χρύσην ἐνέχρισεν, ὁρῶντα
ὀκτὼ μὲν μακρὸν πύργον ἀπὸ σταδίων,
ἄνδρα δ᾽ ἀπὸ σταδίου, διὰ δώδεκα δ᾽ ὄρτυγα πηχῶν,
φθεῖρα δ᾽ ἀπὸ σπιθαμῶν καὶ δύο δερκόμενον.
νῦν δ᾽ ἀπὸ μὲν σταδίου πόλιν οὐ βλέπει, ἐκ δὲ δι-
πλέθρου
καιόμενον κατιδεῖν τὸν φάρον οὐ δύναται.

---

Nr. 115. V. 2. ἴασιν et ἀλφικράτῃ. P. Nr. 117. V. 2. μακρῶν. Br. V. 5. διπλέθρῳ. P.

ἵππον ἀπὸ σπιθαμῆς δὲ μόλις βλέπει, ἀντὶ δὲ τοῦ πρὶν
ὄρτυγος οὐδὲ μέγαν στρουθὸν ἰδεῖν δύναται.
ἂν δὲ προσεγχρίσας αὐτὸν φθάσῃ, οὐδ᾽ ἐλέφαντα
οὐκέτι μήποτ᾽ ἴδῃ πλησίον ἑσταότα.

118. [ΝΙΚΑΡΧΟΥ ἢ ΚΑΛΛΙΚΤΗΡΟΣ.]

Οὔτ᾽ ἔκλυσεν Φείδων μ᾽, οὔθ᾽ ἥψατο· ἀλλὰ πυρέξας
ἐμνήσθην αὐτοῦ τοὔνομα, κἀπέθανον.

119. ΤΟΥ ΑΥΤΟΥ.

Ἰητρὸς τὴν γραῦν εἴτ᾽ ἔκλυσεν, εἴτ᾽ ἀπέπνιξεν,
οὐδεὶς γιγνώσκει· δαιμόνιον τὸ τάχος.
ὁ ψόφος ἦν κλυστῆρος ἐν οὔασι, καὶ στεφανοῦτο
ἡ σορός, οἱ δ᾽ ἄλλοι τὸν φακὸν ηὐτρέπισαν.

120. ΤΟΥ ΑΥΤΟΥ.

Ὀρθῶσαι τὸν κυρτὸν ὑποσχόμενος Διόδωρον
Σωκλῆς, τετραπέδους τρεῖς ἐπέθηκε λίθους
τοῦ κυρτοῦ στιβαροὺς ἐπὶ τὴν ῥάχιν. ἀλλὰ πιεσθεὶς
τέθνηκεν, γέγονεν δ᾽ ὀρθότερος κανόνος.

---

Nr. 119. V. 1. ὁ ἰατρός. P. hoc loco. V. 4. τὸν τάφον. P. alio loco. Nr. 120. V. 2. Fort. τετραπόδους c. Scaligero.

121. ΤΟΥ ΑΥΤΟΥ.

Χειρουργῶν ἔσφαξεν Ἀκεστορίδην Ἀγέλαος·
ζῶν γὰρ χωλεύειν, φησίν, ἔμελλε τάλας.

122. ΤΟΥ ΑΥΤΟΥ.

Πέντ' ἰητρὸς Ἄλεξις ἅμ' ἔκλυσε, πέντ' ἐκάθηρε,
πέντ' ἴδεν ἀῤῥώστους, πέντ' ἐνέχρισε πάλιν.
[¶] καὶ πᾶσιν μία νύξ, ἓν φάρμακον, εἷς σοροπηγός,
εἷς τάφος, εἷς Ἀΐδης, εἷς κοπετὸς γέγονεν.

123. ΗΔΥΛΟΥ.

Ἆγις Ἀρισταγόρην οὔτ' ἔκλυσεν, οὔτ' ἔθιγ' αὐτοῦ·
ἀλλ' ὅσον εἰςῆλθεν, κῴχετ' Ἀρισταγόρης.
ποῦ τοίην ἀκόνιτος ἔχει φύσιν; ὦ σοροπηγοί,
Ἆγιν καὶ μίτραις βάλλετε καὶ στεφάνοις.

124. ΝΙΚΑΡΧΟΥ.

α. Ξεῖνε, τί μὰν πεύθῃ; β. τίνες ἐν χθονὶ τοῖςδ' ὑπὸ τύμβοις;
α. οὓς γλυκεροῦ φέγγους Ζώπυρος ἐστέρεσεν,
Δᾶμις, Ἀριστοτέλης, Δημήτριος, Ἀρκεσίλαος,
Σώστρατος, οἵ τ' ὀπίσω μέχρι Παραιτονίου.

---

Nr. 122. V. 1. πέντε ἰητρ. P. Nr. 124. V. 2. ἐστέρησεν. P.

κηρύκιον γὰρ ἔχων ξύλινον, καὶ πλαστὰ πέδιλα,
ὡς Ἑρμῆς, κατάγει τοὺς θεραπευομένους.

### 125. *ΑΔΕΣΠΟΤΟΝ.*

Ἰητρὸς Κρατέας, καὶ Δάμων ἐνταφιαστὴς
κοινὴν ἀλλήλοις θέντο συνωμοσίην.
καί ῥ᾽ ὁ μὲν οὓς κλέπτεσκεν ἀπ᾽ ἐνταφίων τελαμῶνας
εἰς ἐπιδεσμεύειν πέμπε φίλῳ Κρατέᾳ·
τὸν δ᾽ ἀπαμειβόμενος Κρατέας εἰς ἐνταφιάζειν
πέμπεν ὅλους αὐτῷ τοὺς θεραπευομένους.

### 126. *ΑΔΗΛΟΝ.*

Οὐ μήλῃ, τριόδοντι δ᾽ ἐνήλειψέν με Χαρῖνος,
σπόγγον ἔχων καινὸν τῶν γναφικῶν πινάκων.
τὴν μήλην δ᾽ ἕλκων, ἐξέσπασε τὸ βλέφαρόν μου
ῥιζόθεν· ἡ μήλη δ᾽ ἔνδον ἔμεινεν ὅλη.
ἂν δὲ δὶς ἐγχρίσῃ με, πονῶν πάλιν οὐκ ἐνοχλήσω
ὀφθαλμοὺς αὐτῷ. πῶς γὰρ ὁ μηκέτ᾽ ἔχων;

### 127. *ΠΩΛΛΙΑΝΟΥ.*

Εἰσὶ καὶ ἐν Μούσῃσιν Ἐριννύες, αἵ σε ποιοῦσιν
ποιητήν, ἀνθ᾽ ὧν πολλὰ γράφεις ἀκρίτως.
τοίνυν, σοῦ δέομαι, γράφε πλείονα· μείζονα γάρ σοι
εὔξασθαι ταύτης οὐ δύναμαι μανίαν.

---

V. 5. ἔχω. P. Nr. 125. V. 3. ἐνταφόων. P. Nr. 126. V. 2. γραφικῶν. Br.

### 128. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὴ χαίρω, Φλῶρε, γενοίμην δάκτυλος, ἢ πούς
εἷς τῶν σῶν τούτων τῶν κατατεινομένων.
χαίρω, νὴ τὸν κλῆρον, ὃν εὐκλήρησας ἐν ἄθλοις,
ὡς περὶ χοιρείας τοῦ στεφάνου μερίδος.
[P] τοιγὰρ θάρσει, Φλῶρε, καὶ εὔθυμος πάλι γίγνου·
οὕτω νικῆσαι καὶ δόλιχον δύνασαι.

### 129. ΚΕΡΑΛΙΟΥ.

Ποιητὴς ἐλθὼν εἰς Ἴσθμια πρὸς τὸν ἀγῶνα,
εὑρὼν ποιητάς, εἶπε παρίσθμι᾽ ἔχειν.
μέλλει δ᾽ ἐξορμᾶν εἰς Πύθια· κἂν πάλιν εὕρῃ,
εἰπεῖν οὐ δύναται, καὶ παραπύθι᾽ ἔχω.

### 130. ΠΩΛΛΙΑΝΟΥ.

Τοὺς κυκλίους τούτους, τοὺς αὐτὰρ ἔπειτα λέγοντας,
μισῶ, λωποδύτας ἀλλοτρίων ἐπέων.
καὶ διὰ τοῦτ᾽ ἐλέγοις προσέχω πλέον· οὐδὲν ἔχω γὰρ
Παρθενίου κλέπτειν, ἢ πάλι Καλλιμάχου.
θηρὶ μὲν οὐατόεντι γενοίμην, εἴ ποτε γράψω,
εἴκελος, ἐκ ποταμῶν χλωρὰ χελιδόνια.

---

Nr. 128. V. 5. τοὶ γάρ. P. (τοι) πάλιν. Ib. Nr. 130. V. 4. πάλιν. P. V. 6. χελιδόνεα. P.

οἱ δ᾽ οὕτως τὸν Ὅμηρον ἀναιδῶς λωποδυτοῦσιν,
ὥςτε γράφειν ἤδη μῆνιν ἄειδε θεά.

### 131. ΛΟΥΚΙΛΛΟΥ.

Οὔτ᾽ ἐπὶ Δευκαλίωνος ὕδωρ ὅτε πάντ᾽ ἐγενήθη,
οὐθ᾽ ὁ καταπρήσας τοὺς ἐπὶ γῆς Φαέθων,
ἀνθρώπους ἔκτεινεν, ὅσους Ποτάμων ὁ ποιητής,
καὶ χειρουργήσας ὤλεσεν Ἑρμογένης.
ὥςτ᾽ ἐξ αἰῶνος κακὰ τέσσαρα ταῦτ᾽ ἐγενήθη,
Δευκαλίων, Φαέθων, Ἑρμογένης, Ποτάμων.

### 132. ΤΟΥ ΑΥΤΟΥ.

Μισῶ, δέσποτα Καῖσαρ, ὅσοις νέος οὐδέποτ᾽ οὐδεὶς
ἤρεσε, κἂν εἴπῃ μῆνιν ἄειδε θεά.
ἀλλ᾽ ἢν μὴ Πριάμου τις ἔχῃ χρόνον ἡμιφάλακρος,
ἢ καὶ κυρτὸς ἄγαν, οὐ δύνατ᾽ ἄλφα γράφειν.
εἰ δ᾽ ὄντως οὕτως τοῦτ᾽ ἔστ᾽ ἔχον, ὦ ὕπατε Ζεῦ,
εἰς τοὺς κηλήτας ἔρχεται ἡ σοφία.

### 133. ΤΟΥ ΑΥΤΟΥ.

Τέθνηκ᾽ Εὐτυχίδης ὁ μελογράφος. οἱ κατὰ γαῖαν
φεύγετ᾽· ἔχων ᾠδὰς ἔρχεται Εὐτυχίδης·

---

Nr. 131. V. 5. κατὰ τ. P. Nr. 132. V. 5. ἔχων. P. οὕτω. Plan.
Nr. 133. V. 2. Εὐτυχίδας. P.

καὶ κιθάρας αὐτῷ διετάξατο συγκατακαῦσαι
δώδεκα, καὶ κίστας εἰκοσίπεντε νόμων.
νῦν ὑμῖν ὁ Χάρων ἐπελήλυθε· ποῖ τις ἀπέλθῃ
λοιπόν, ἐπεὶ καὶ γῆν Εὐτυχίδης κατέχει;

[P] 134. *ΤΟΥ ΑΥΤΟΥ.*

Ἀρχόμεθ', Ἡλιόδωρε· ποιήματα παίζομεν οὕτω
ταῦτα πρὸς ἀλλήλους· Ἡλιόδωρε, θέλεις;
ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου ... καὶ γὰρ ἔμ' ὄψει
μακροφλυαρητὴν Ἡλιοδωρότερον.

135. *ΤΟΥ ΑΥΤΟΥ.*

Μηκέτι, μηκέτι, Μάρκε, τὸ παιδίον, ἀλλ' ἐμὲ κόπτου,
τὸν πολὺ τοῦ παρὰ σοὶ νεκρότερον τεκνίου.
εἰς ἐμὲ νῦν ἐλέγους ποίει [πάλιν], εἰς ἐμὲ θρήνους,
δήμιε, τὸν στιχίνῳ σφαζόμενον θανάτῳ.
τοῦ σοῦ γὰρ πάσχω νεκροῦ χάριν, οἷα πάθοιεν
οἱ καταδείξαντες βιβλία καὶ καλάμους.

136. *ΤΟΥ ΑΥΤΟΥ.*

Οὐχ οὕτω κακοεργὸν ἐχαλκεύσαντο μάχαιραν
ἄνθρωποι, διὰ τὰς ἐξαπίνης ἐνέδρας,

---

V. 5. ποῦ τις ἀπέλθει. Ib. V. 6. Fort. ἐπεὶ χάδην. Nr. 134. V. 2. στάντε πρός. Br. Nr. 135. V. 3. πάλιν om. P. V. 4. σταζόμενον. P. V. 5. πάσχων. P.

Digitized by Google

*οἶον ἀκήρυκτον, Καλλίστρατε, καὶ σὺ προσελθὼν*
*ποιεῖς μοι φονικῶν ἑξαμέτρων πόλεμον.*
*σάλπιγξον ταχέως ἀνακλητικόν· εἰς ἀνοχὰς γὰρ*
*καὶ Πρίαμος κλαύσας * ἡμερίων ἔτυχεν.*

### 137. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ὠμοβοείου μοι παραθεὶς τόμον, Ἡλιόδωρε,*
*καὶ τρία μοι κεράσας ὠμοβοειότερα,*
*εὐθὺ κατακλύζεις ἐπιγράμμασιν. εἰ δ᾽ ἀσεβήσας*
*βεβρώκειν τινὰ βοῦν τῶν ἀπὸ Τρινακρίας,*
*βούλομ᾽ ἅπαξ πρὸς κῦμα χανεῖν· εἰ δ᾽ ἐστὶ τὸ κῦμα*
*ἔνθεν μάκρ᾽, ἄρας εἰς τὸ φρέαρ με βάλε.*

### 138. *ΤΟΥ ΑΥΤΟΥ.*

*Ἂν τοῦ γραμματικοῦ μνησθῶ μόνον Ἡλιοδώρου,*
*εὐθὺ σολοικίζον τὸ στόμα μου δέδεται.*

### 139. *ΤΟΥ ΑΥΤΟΥ.*

*Γραμματικὸν Ζήνωνος ἔχει πώγωνα Μένανδρον,*
*τὸν δ᾽ υἱὸν τούτῳ φῂς σὺ συνεστακέναι.*

---

Nr. 136. V. 3. *προελθών.* Plan. V. 6. Fort. *ἠρεμίας.* Nr. 137. V. 6. *μακράν.* P. *μακρὰν ἔνθεν.* Br. Nr. 138. V. 2. *σολοικίζων.* P. Nr. 139. V. 1. *ζηνωνὶς ἔχει.* P. Fort. *γραμματικὸς Ζήνων μὲν ἔχει πώγωνα μάλ᾽ ἁδρόν.* V. 2. *σὺ* om. P.

Digitized by Google

τὰς νύκτας δ' * αὐτὴ μελέτη οὐ παύεται οὕτως,
πτώσεις, συνδέσμους, σχήματα, συζυγίας.

140. ΤΟΥ ΑΥΤΟΥ.

Τούτοις τοῖς παρὰ δεῖπνον ἀοιδομάχοις λογολέσχαις,
τοῖς ἀπ' Ἀριστάρχου γραμματολικριφίσιν,
οἷς οὐ σκῶμμα λέγειν, οὐ πεὶν φίλον, ἀλλ' ἀνάκεινται
νηπυτιευόμενοι Νέστορι καὶ Πριάμῳ,
[❡] μή με βάλῃς κατὰ λέξιν ἕλωρ καὶ κύρμα γενέσθαι.
σήμερον οὐ δειπνῶ μῆνιν ἄειδε θεά.

141. ΛΟΥΚΙΛΛΟΥ.

Χοιρίδιον καὶ βοῦν ἀπολώλεκα, καὶ μίαν αἶγα,
ὧν χάριν εἴληφας μισθάριον, Μενέκλεις.
οὔτε δέ μοι κοινόν τι πρὸς Ὀθρυάδαν γεγένηται,
οὔτ' ἀπάγω κλέπτας τοὺς ἀπὸ Θερμοπυλῶν·
ἀλλὰ πρὸς Εὐτυχίδην ἔχομεν κρίσιν· ὥςτε τί ποιεῖ
ἐνθάδε μοι Ξέρξης καὶ Λακεδαιμόνιοι;
πλὴν κἀμοῦ μνήσθητι νόμου χάριν, ἢ μέγα κράξω·
„Ἄλλα λέγει Μενεκλῆς, ἄλλα τὸ χοιρίδιον."

---

V. 3. Fort. αὐτὰς μελετῶν οὐ παύεται οὗτος. Nr. 140. V. 1. ταύταις ταῖς et ἀοιδομάχαις. P. V. 3. πίν. Plan.

Digitized by Google

142. ΤΟΥ ΑΥΤΟΥ.

Πολλοῦ δεῖ, καὶ σφίν, καὶ τρὶς παρ' ἕκαστα δικασταὶ
ἄνδρες, καὶ λέγε δὴ τὸν νόμον ἐνθάδε μοι.
καὶ ταυτί, καὶ μῶν, καὶ τετταράκοντα, καὶ ἄττα
σκεψάμενος, καί τοι νὴ Δία, καὶ μὰ Δία,
ῥήτωρ ἐστὶ Κρίτων, καὶ παιδία πολλὰ διδάσκει·
προσθήσει δ' αὐτοῖς γρῦ, φαθί, καὶ μὶν ἔτι.

143. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ δέχεται Μάρκον τὸν ῥήτορα νεκρὸν ὁ Πλούτων,
εἰπών· ἀρκείτω Κέρβερος ὧδε κύων.
εἰ δ' ἐθέλεις πάντως, Ἰξίονι καὶ Μελίτωνι
τῷ μελοποιητῇ, καὶ Τιτυῷ μελέτα.
οὐδὲν γὰρ σοῦ χεῖρον ἔχω κακόν, ἄχρις ἂν ἐλθὼν
ὧδε σολοικίζῃ Ῥοῦφος ὁ γραμματικός.

144. ΚΕΡΕΑΛΙΟΥ.

Οὐ τὸ λέγειν παράσημα καὶ Ἀττικὰ ῥήματα πέντε,
εὐζήλως ἐστὶν καὶ φρονίμως μελετᾶν.
οὐδὲ γὰρ εἰ κάρκαιρε, καὶ εἰ κοναβεῖ, τό τε σίζει,
καὶ κελάρυζε λέγεις, εὐθὺς Ὅμηρος ἔσῃ.

---

Nr. 142. V. 3. ταύτῃ. P. Nr. 144. V. 3. κάρκερε. P.

νοῦν ὑποκεῖσθαι δεῖ τοῖς γράμμασι, καὶ φράσιν αὐτῶν
εἶναι κοινοτέραν, ὥςτε νοεῖν ἃ λέγεις.

145. ΑΔΗΛΟΝ.

Εἰκὼν ἡ Σέξτου μελετᾷ· Σέξτος δὲ σιωπᾷ.
ῥήτωρ ἦν εἰκών· ὁ δὲ ῥήτωρ εἰκόνος εἰκών.

146. ΑΜΜΙΑΝΟΥ.

Ἑπτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον
πέμψας, ἀντέλαβον πεντάκι διακοσίους·
καί, νῦν μέν, φησίν, τούτους ἀριθμῷ σοι ἔπεμψα,
[𝕻] τοῦ λοιποῦ δὲ μέτρῳ, πρὸς Κύπρον ἐρχόμενος.

147. ΤΟΥ ΑΥΤΟΥ.

Ῥήτωρ ἐξαπίνης Ἀσιατικός. οὐδὲν ἄπιστον.
καὶ τοῦτ᾽ ἐν Θήβαις νῦν γέγονεν τὸ τέρας.

148. ΛΟΥΚΙΛΛΟΥ.

Μηδὲ λαλῶν, πρώην ἐσολοίκισε Φλάκκος ὁ ῥήτωρ,
καὶ μέλλων χαίνειν, εὐθὺς ἐβαρβάρισεν,

---

V. 5. πράγμασι. P. V. 6. ὥς γε. P. Nr. 145. V. 2. Fort. ῥήτωρ ἤ γ' εἰκών. Nr. 146. V. 2. πέντε διακοσίους. quaedam edd. Plan.

Digitized by Google

καὶ τῇ χειρὶ τὰ λοιπὰ σολοικίζει διανεύων.
κἀγὼ δ' αὐτὸν ἰδών, τὸ στόμα μου δέδεται.

149. ΑΔΗΛΟΝ.

Αὐτὸν ὁρῶ σέ, Μέδον, τὸν ῥήτορα. φεῦ, τί τὸ θαῦμα;
στειλάμενος σιγᾷς. οὐδὲν ὁμοιότερον.

150. ΑΜΜΙΑΝΟΥ.

Ἀρκαδικὸν πῖλον κατ' ἐνύπνιον Ἀρκάδι δῶρον
Ἑρμείῃ ῥήτωρ θῆκεν Ἀθηναγόρας.
εἰ μὲν καὶ ῥήτωρ κατ' ἐνύπνιον, οἴσομεν Ἑρμῇ,
εἰ δ' ὕπαρ, ἀρκείτω· Θῆκεν Ἀθηναγόρας.

151. ΑΔΕΣΠΟΤΟΝ.

Ῥήτορος ἅδ' εἰκών· ὁ δὲ ῥήτωρ, ῥήτορος εἰκών.
καὶ πῶς; οὐ λαλέει. οὐδὲν ὁμοιότερον.

152. ΑΜΜΙΑΝΟΥ.

Εἰ βούλει τὸν παῖδα διδάξαι ῥήτορα, Παῦλε,
ὡς οὗτοι πάντες, γράμματα μὴ μαθέτω.

---

Nr. 151. V. 1. εἰκόνος εἰκών. Br.

153. ΛΟΥΚΙΛΛΟΥ.

*Εἶναι μὲν Κυνικόν σε, Μενέστρατε, κἀνυπόδητον,*
*καὶ ῥιγοῦν, οὐδεὶς ἀντιλέγει καθόλου.*
*ἂν δὲ παραρπάζῃς ἄρτους καὶ κλάσματ' ἀναιδῶς,*
*κἀγὼ ῥάβδον ἔχω, καὶ σὲ λέγουσι Κύνα.*

154. ΤΟΥ ΑΥΤΟΥ.

*Πᾶς ὃς ἂν ᾖ πτωχὸς καὶ ἀγράμματος, οὐκέτ' ἀλήθει,*
*ὡς τὸ πρίν, οὐδ' αἴρει φορτία μισθαρίου·*
*ἀλλὰ τρέφει πώγωνα, καὶ ἐκ τριόδου ξύλον ἄρας*
*τῆς ἀρετῆς εἶναι φησὶν ὁ πρωτοκύων.*
*Ἑρμοδότου τόδε δόγμα τὸ πάνσοφον· εἴ τις ἀχαλκεῖ,*
*μηκέτι πεινάτω, θεὶς τὸ χιτωνάριον.*

155. ΤΟΥ ΑΥΤΟΥ.

*Οὗτος ὁ τῆς ἀρετῆς ἀδάμας βαρύς, οὗτος ὁ πάντη*
*πᾶσιν ἐπιπλήσσων, οὗτος ὁ ῥιγομάχος,*
*καὶ πώγωνα τρέφων, ἑάλω· τί γάρ; ἀπρεπὲς εἰπεῖν·*
*ἀλλ' ἑάλω ποιῶν ἔργα κακοστομάχων.*

156. ΑΜΜΙΑΝΟΥ.

*Οἴει τὸν πώγωνα φρενῶν ποιητικὸν εἶναι,*
*καὶ διὰ τοῦτο τρέφεις, φίλτατε, μυιοσόβην.*

---

Nr. 155. V. 2. ῥιγομάχας. Br. V. 4. Fort. κακοστομάτων.

Digitized by Google

[Γ] κεῖρον ἐμοὶ πεισθεὶς ταχέως· οὗτος γὰρ ὁ πώγων
φθειρῶν ποιητής, οὐχὶ φρενῶν γέγονεν.

157. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ 'γαθέ, καὶ μῶν οὖν, καὶ ποῖ δὴ καὶ πόθεν, ὦ 'τάν,
καὶ θαμά, καὶ φέρε δή, καὶ κομιδῇ, καὶ ἴθι,
καὶ στόλιον, μάλιον, πωγώνιον, ὤμιον ἔξω,
ἐκ τούτων ἡ νῦν εὐδοκιμεῖ σοφία.

158. ΑΝΤΙΠΑΤΡΟΥ.

Αἰάζει πήρη τε, καὶ Ἡράκλειον ἄριστον,
βριθὺ Σινωπίτου Διογένευς ῥόπαλον,
καὶ τὸ χύδην ῥυπόεντι πίνῳ πεπαλαγμένον ἔσθος
διπλάδιον, κρυερῶν ἀντίπαλον νιφάδων,
ὅττι τεοῖς ὤμοισι μιαίνεται· ἦ γὰρ ὁ μέν που
οὐράνιος, σὺ δ' ἔφυς οὖν σποδιῇσι κύων.
ἀλλὰ μέθες, μέθες ὅπλα τὰ μὴ σέθεν. ἄλλο λεόντων,
ἄλλο γενειητῶν ἔργον ὄρωρε τράγων.

159. ΛΟΥΚΙΛΛΟΥ.

Τῷ πατρί μου τὸν ἀδελφὸν οἱ ἀστρολόγοι μακρόγηρων
πάντες ἐμαντεύσανθ' ὡς ἀφ' ἑνὸς στόματος·

---

Nr. 156. V. 3. κεῖρων. P. Nr. 158. V. 2. σινωπεῖον διογένους. P. V. 6. οὖν. P.

ἀλλ' Ἑρμοκλείδης αὐτὸν μόνος εἶπε πρόμοιρον·
εἶπε δ', ὅτ' αὐτὸν ἔσω νεκρὸν ἐκοπτόμεθα.

### 160. ΤΟΥ ΑΥΤΟΥ.

Πάντες ὅσοι τὸν Ἄρην καὶ τὸν Κρόνον ὡροθετοῦσιν,
ἄξιοί εἰσι τυχεῖν πάντες ἑνὸς τυπάνου.
ὄψομαι οὐ μακρὰν αὐτοὺς τυχὸν εἰδότας ὄντως
καὶ τί ποεῖ ταῦρος, καὶ τί λέων δύναται.

### 161. ΤΟΥ ΑΥΤΟΥ.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθεν ὁ πύκτης,
εἰ μέλλει γηρᾶν βουλόμενος προμαθεῖν.
κἀκεῖνος, ναί, φησίν, ἐὰν ἤδη καταλύσῃς·
ἂν δέ γε πυκτεύῃς, ὡροθετεῖ σε Κρόνος.

### 162. ΝΙΚΑΡΧΟΥ.

Εἰς Ῥόδον εἰ πλεύσει τις Ὀλυμπικὸν ἦλθεν ἐρωτῶν
τὸν μάντιν, καὶ πῶς πλεύσεται ἀσφαλέως.
χὠ μάντις, πρῶτον μέν, ἔφη, καινὴν ἔχε τὴν ναῦν,
καὶ μὴ χειμῶνος, τοῦ δὲ θέρους ἀνάγου.
τοῦτο γὰρ ἂν ποιῇς, ἥξεις κἀκεῖσε καὶ ὧδε,
ἂν μὴ πειρατὴς ἐν πελάγει σε λάβῃ.

---

Nr. 161. V. 3. ἐάν γ' ἤδη. Herm. Nr. 162. V. 6. σε βάλῃ. P.

[Ϛ] 163. ΛΟΥΚΙΛΛΙΟΥ.

Πρὸς τὸν μάντιν Ὄλυμπον Ὀνήσιμος ἦλθ' ὁ παλαιστής,
καὶ πένταθλος Ὕλας, καὶ σταδιεὺς Μενεκλῆς,
τίς μέλλει νικᾶν αὐτῶν τὸν ἀγῶνα θέλοντες
γνῶναι· κἀκεῖνος τοῖς ἱεροῖς ἐνιδών,
πάντες, ἔφη, νικᾶτε, μόνον μή τις σὲ παρέλθῃ,
καὶ σὲ καταστρέψῃ, καὶ σὲ παρατροχάσῃ.

164. ΤΟΥ ΑΥΤΟΥ.

Εἶπεν ἐληλυθέναι τὸ πεπρωμένον, αὐτὸς ἑαυτοῦ
τὴν γένεσιν διαθεὶς Αὖλος ὁ ἀστρολόγος,
καὶ ζήσειν ὥρας ἔτι τέσσαρας· ὡς δὲ παρῆλθεν
εἰς πέμπτην, καὶ ζῆν εἰδότα μηδὲν ἔδει,
αἰσχυνθεὶς Πετόσιριν ἀπήγξατο· καὶ μετέωρος
θνήσκει μέν, θνήσκει δ' οὐδὲν ἐπιστάμενος.

165. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ γλήχωνι Κρίτων ὁ φιλάργυρος, ἀλλὰ διχάλκῳ
αὐτὸν ἀποσφραίνει, θλιβομένου στομάχου.

---

Nr. 163. V. 6. καταστέψῃ. P. Nr. 164. V. 4. ἡ πέμπτη. Plan. Nr. 165. V. 1. γλίχωνι. P.

## 166. ΆΔΗΛΟΝ.

*Πλουτεῖν φασί σε πάντες, ἐγὼ δέ σέ φημι πένεσθαι.*
*χρῆσις γὰρ πλούτου μάρτυς, Ἀπολλόφανες.*
*ἂν μετέχῃς αὐτῶν σύ, σὰ γίγνεται· ἂν δὲ φυλάττῃς*
*κληρονόμοις, ἀπὸ νῦν γίγνεται ἀλλότρια.*

## 167. ΠΩΛΛΙΑΝΟΥ.

*Χαλκὸν ἔχων, πῶς οὐδὲν ἔχεις, μάθε· πάντα δανείζεις.*
*οὕτως οὐδὲν ἔχεις αὐτός, ἵν' ἄλλος ἔχῃ.*

## 168. ΑΝΤΙΦΑΝΟΥΣ.

*Ψηφίζεις, κακόδαιμον· ὁ δὲ χρόνος, ὡς τόκον, οὕτω*
*καὶ πολιὸν τίκτει γῆρας ἐπερχόμενος·*
*κοὔτε πιών, οὔτ' ἄνθος ἐπὶ κροτάφοις ἀναδήσας,*
*οὐ μύρον, οὐ γλαφυρὸν γνούς ποτ' ἐρωμένιον,*
*τεθνήξῃ, πλουτοῦσαν ἀφεὶς μεγάλην διαθήκην,*
*ἐκ πολλῶν ὀβολὸν μοῦνον ἐνεγκάμενος.*

## 169. ΝΙΚΑΡΧΟΥ.

*Ἐχθὲς ἀπάγχεσθαι μέλλων Δίναρχος ὁ φείδων,*
*Γλαῦκε, δι' ἓξ χαλκοῦς δύςμορος οὐκ ἔθανεν.*
*ἓξ χαλκῶν ἦν γὰρ τὸ σχοινίον, ἀλλ' ἐδυςώνει,*
*εὔωνον ζητῶν ἄλλον ἴσως θάνατον.*

---

Nr. 169. V. 1. ὀφείλων. P. V. 4. ἴσος. P.

τοῦτο φιλαργυρίας δεινῆς ὅρος, ὅς γ' ἀποθνήσκων,
Γλαῦκε, δι' ἓξ χαλκοῦς δύςμορος οὐκ ἔθανεν.

[P] 170. ΤΟΥ ΑΥΤΟΥ.

Δακρύει Φείδων ὁ φιλάργυρος, οὐχ ὅτι θνήσκει,
ἀλλ' ὅτι πέντε μνῶν τὴν σορὸν ἐπρίατο.
τοῦτ' αὐτῷ χαρίσασθε, καί, ὡς τόπος ἐστὶν ἐν αὐτῇ,
τῶν πολλῶν τεκνίων ἕν τι προςεμβάλετε.

171. ΛΟΥΚΙΛΛΟΥ.

Θνήσκων Ἑρμοκράτης ὁ φιλάργυρος, ἐν διαθήκαις
αὐτὸν τῶν ἰδίων ἔγραφε κληρονόμον.
ψηφίζων δ' ἀνέκειτο, πόσον δώσει διεγερθεὶς
ἰητροῖς μισθοῦ, καὶ τί νοσῶν δαπανᾷ·
ὡς δ' εὗρε πλείω δραχμὴν μίαν, ἣν διασωθῇ,
λυσιτελεῖ θνήσκειν, εἶπε, καὶ ἐξετάθη.
κεῖτο δὲ οὐδὲν ἔχων ὀβολοῦ πλέον· οἱ δὲ τὰ κείνου
* * * * *

172. ΤΟΥ ΑΥΤΟΥ.

Γεννηθὲν τέκνον κατεπόντισεν Αὖλος ὁ κνιπός,
ψηφίζων αὐτοῦ σωζομένου δαπάνας.

---

V. 5. ὅς κ' ἀπ. P. Nr. 171. V. 2. ἔγραψε. P. V. 3. δ' om. P. V. 4. μισθόν. Br. V. 6. λυσιτελῇ. P. V. 7. δέ γ' οὐδέν. Plan. — Post h. v. in nonnullis Plan. editt. versus legitur: χρήματα κληρονόμοι ἥρπασαν ἀσπασίως.

### 173. ΦΙΛΙΠΠΟΥ.

Εἰ τὸ μὲν ἐκδεδάνεικας, ὃ δ' ἄρτι δίδως, ὃ δὲ μέλλεις,
οὐδέ ποτ' εἶ τοῦ σοῦ κύριος ἀργυρίου.

### 174. ΛΟΥΚΙΛΛΟΥ.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας
Κύπριν ὅλην χρυσῆν ἐχθὲς ἔκλεψε Δίων·
καὶ χερὶ προσκατέσυρεν ὁλοσφύρητον Ἄδωνιν,
καὶ τὸ παρεστηκὸς μικρὸν Ἐρωτάριον.
αὐτοὶ νῦν ἐρέουσιν ὅσοι ποτὲ φῶρες ἄριστοι·
οὐκέτι σοὶ χειρῶν εἰς ἔριν ἐρχόμεθα.

### 175. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν θεὸν αὐτὸν ἔκλεψεν, ὃν ὀρκίζεσθαι ἔμελλεν
Εὐτυχίδης, εἰπών· οὐ δύναμαί σ' ὀμόσαι.

### 176. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν πτανὸν Ἑρμᾶν, τὸν θεῶν ὑπηρέταν,
τὸν Ἀρκάδων ἄνακτα, τὸν βοηλάταν,
ἑστῶτα τῶνδε γυμνασίων ἐπίσκοπον,
ὁ νυκτικλέπτας Αὖλος εἶπε βαστάσας·
πολλοὶ μαθηταὶ κρείσσονες διδασκάλων.

---

Nr. 174. V. 5. αὐτοὶ τοίνυν. P. ἄριστα. Ib. Nr. 176. V. 1. τῶν θεῶν. P. V. 2. τῶν Ἀρ. P. V. 4. νυκτοκλέπτης. Plan.

177. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν τῶν κλεπτόντων μανύτορα Φοῖβον ἔκλεψεν
Εὐτυχίδης, εἰπών· μὴ πάνυ πολλὰ λάλει,
[¶] σύγκρινον δὲ τέχνην τέχνῃ, καὶ χείρεσι χρησμούς,
καὶ μάντιν κλέπτῃ, καὶ θεὸν Εὐτυχίδῃ·
τῶν δ' ἀχαλινώτων στομάτων χάριν αὐτίκα πραθείς,
τοῖς ὠνησαμένοις πᾶν ὃ θέλεις με λέγε.

178. ΤΟΥ ΑΥΤΟΥ.

Βουκόλε, τὰν ἀγέλαν πόῤῥω νέμε, μή σε Περικλῆς
ὁ κλέπτης αὐταῖς βουσὶ συνεξελάσῃ.

179. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ πόδας εἶχε Δίων οἵας χέρας, οὐκέτ' ἂν Ἑρμῆς
πτηνὸς ἐν ἀνθρώποις, ἀλλὰ Δίων ἐκρίθη.

180. ΑΜΜΙΑΝΟΥ.

Εἶδους οὐ κρίνει Πολέμων, νώναις κατακρίνει·
κἂν δῷς, κἂν μὴ δῷς, ἔστιν ἀεὶ Πολέμων.

181. ΤΟΥ ΑΥΤΟΥ.

Ἤιδειμεν, Πολέμων, Ἀντώνιον ὄντα σε πάντες·
ἐξαπίνης τρία σοι γράμματα πῶς ἔλιπεν;

---

Nr. 180. V. 1. Fort. *Εἴδοις* c. Huschkio.

Digitized by Google

### 182. ΔΙΟΝΥΣΙΟΥ.

ΧΟΙΡΙ μέν, οὐκ ΊΔΙΟΝ δέ με θύετε· καί με καλεῖτε
ΧΟΙΡΙΔΙΟΝ, φανερῶς εἰδότες οὐκ ἴδιον.

### 183. ΛΟΥΚΙΛΛΙΟΥ.

Τὴν γένεσιν λυποῦντα μαθὼν Κρόνον Ἡλιόδωρος,
νύκτωρ ἐκ ναοῦ χρύσεον ἦρε Κρόνον,
τίς πρῶτος κακοποιὸς ἐλήλυθε πείρασον, εἰπών,
δέσποτα, καὶ γνώσῃ, τίς τίνος ἐστὶ Κρόνος·
ὃς δ' ἄλλῳ κακὰ τεύχει, ἐῷ κακὸν ἤπατι τεύχει·
εὑρὼν μοι τιμήν, πᾶν ἀνάτελλ' ὃ θέλεις.

### 184. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ τῶν Ἑσπερίδων τῶν τοῦ Διὸς ἦρε Μενίσκος,
ὡς τὸ πρὶν Ἡρακλέης, χρύσεα μῆλα τρία.
καὶ τί γάρ; ὡς ἑάλω, γέγονεν μέγα πᾶσι θέαμα,
ὡς τὸ πρὶν Ἡρακλέης ζῶν κατακαιόμενος.

### 185. ΛΟΥΚΙΛΛΙΟΥ.

Ἑλλήνων ἀπέλυε πόλιν ποτέ, δέσποτα Καῖσαρ,
εἰσελθὼν ᾆσαι Ναύπλιον Ἡγέλοχος·
Ναύπλιος Ἑλλήνεσσιν ἀεὶ κακόν· ἢ μέγα κῦμα
* * * ἢ κιθαρῳδὸν ἔχων.

---

Nr. 185. V. 1. Fort. ἀπάμυνε.

186. ΝΙΚΑΡΧΟΥ.

Νυκτικόραξ ᾄδει θανατηφόρον· ἀλλ' ὅταν ᾄσῃ
Δημόφιλος, θνήσκει καὐτὸς ὁ νυκτικόραξ.

187. ΛΕΩΝΙΔΑ.

Σιμύλος ὁ ψάλτης τοὺς γείτονας ἔκτανε πάντας,
νυκτὸς ὅλης ψάλλων, πλὴν ἑνὸς Ὠριγένους.
[P] κωφὸν γάρ φύσις αὐτὸν ἐθήκατο· τοὔνεκεν αὐτῷ
ζωὴν ἀντ' ἀκοῆς δῶκε περισσοτέρην.

188. ΑΜΜΙΑΝΟΥ.

Νικήτης ᾄδων τῶν ᾠδῶν ἐστιν Ἀπόλλων·
ἂν δὲ ἰατρεύῃ, τῶν θεραπευομένων.

189. ΛΟΥΚΙΛΛΟΥ.

Πέντ' ὀβολῶν πέπρακεν Ἀπολλοφάνης ὁ τραγῳδὸς
πέντε θεῶν σκευήν, Ἡρακλέους ῥόπαλον,
Τισιφόνης τὰ φόβητρα, Ποσειδῶνος τριόδοντα,
ὅπλον Ἀθηναίης, Ἀρτέμιδος φαρέτρην.
οἱ δὲ θεοὶ πὰρ Ζηνὶ καθήμενοι ἐξεδύθησαν
εἰς βραχὺ σιταρίου κέρμα καὶ οἰναρίου.

190. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν δασὺν Ἑρμογένην ζητεῖ πόθεν ἄρξεθ' ὁ κουρεὺς
κείρειν τὴν κεφαλήν, ὄνθ' ὅλον ὡς κεφαλήν.

---

Nr. 186. V. 2. καὶ αὐτος. Nr. 188. V. 1. ἀΐδων. P. ωτῶν. Br.

Digitized by Google

### 191. ΤΟΥ ΑΥΤΟΥ.

Ἄρες Ἄρες βροτολοιγὲ, μιαιφόνε, παύεο κουρεῦ
    τέμνων, οὐ γὰρ ἔχεις οὐκέτι ποῦ με τεμεῖς.
ἀλλ' ἤδη μεταβὰς ἐπὶ τοὺς μύας, ἢ τὰ κάτωθεν
    τῶν γονάτων, οὕτω τέμνε με, καὶ παρέχω.
νῦν μὲν γὰρ μυιῶν ὁ τόπος γέμει· ἢν δ' ἐπιμείνῃς,
    ὄψει καὶ γυπῶν ἔθνεα καὶ κοράκων.

### 192. ΛΟΥΚΙΛΛΟΥ.

Μακροτέρῳ σταυρῷ σταυρούμενον ἄλλον ἑαυτοῦ
    ὁ φθονερὸς Διοφῶν ἐγγὺς ἰδὼν ἐτάκη.

### 193. ΑΔΕΣΠΟΤΟΝ.

Ὁ φθόνος ἐστὶ κάκιστος, ἔχει δέ τι καλὸν ἐν αὐτῷ.
    τήκει γὰρ φθονερῶν ὄμματα καὶ κραδίην.

### 194. ΛΟΥΚΙΛΛΟΥ.

Πανὶ φιλοσπήλυγγι, καὶ οὐρεοφοιτάσι Νύμφαις,
    καὶ Σατύροις, ἱεραῖς τ' ἔνδον Ἁμαδρυάσιν,
σὺν κυσὶ καὶ λόγχαις συοφόντισι Μάρκος * * *
    μηδὲν ἑλὼν, αὐτὸς τοὺς κύνας ἐκρέμασεν.

---

Nr. 193. V. 1. κάκιστον. Plan. ἐν ἑαυτῷ. P. Nr. 194. V. 4. αὐτοῖς. Br.

### 195. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Γάλλον Ἀρισταγόρης ὠρχήσατο· τοὺς δὲ φιλόπλους
Τημενίδας ὁ καμὼν πολλὰ διῆλθον ἐγώ.
χὡ μὲν τιμηθεὶς ἀπεπέμπετο· τὴν δὲ τάλαιναν
Ὑρνηθὼ κροτάλων εἷς ψόφος ἐξέβαλεν.
εἰς πῦρ ἡρώων ἴτε πρήξιες· ἐν γὰρ ἀμούσοις
καὶ κόρυδος κύκνου φθέγξετ' ἀοιδότερον.

### 196. ΛΟΥΚΙΛΛΙΟΥ.

Ῥύγχος ἔχουσα Βιτὼ τριπιθήκινον, οἷον ἰδοῦσαν
τὴν Ἑκάτην [αὐτὴν] οἴομ' ἀπαγχονίσαι,
[ℙ] εἰμί, λέγει, σώφρων, Λουκίλλιε, καὶ μονοκοιτῶ.
αἰδεῖται γὰρ ἴσως, παρθένος εἰμί, λέγειν.
ὃς δὲ λέγει μισεῖν με, κακὸν τοιοῦτο γαμήσας,
τῆς αὐτῆς σχοίη τέκνα σαοφροσύνης.

### 197. ΤΟΥ ΑΥΤΟΥ.

Ἤθελε ΔΡΙΜΥΣ ἄγαν τὸ πρόσθ' Ἱερώνυμος εἶναι·
νῦν δὲ τὸ ΔΡΙ μὲν ἔχει, ΛΟΣ δὲ τὸ ΜΥΣ
γέγονεν.

### 198. ΘΕΟΔΩΡΟΥ.

Ἑρμοκράτης τᾶς ῥινός· ἐπεὶ τὰν ῥῖνα λέγοντες
Ἑρμοκράτους, μικροῖς μακρὰ χαριζόμεθα.

---

Nr. 195. V. 5. ὁ πολὺς πόνος. P. alio loco. Nr. 196. V. 2. αὐτήν. om. P. V. 5. εἰ δὲ λέγεις μισεῖ. P. τοιοῦτον. Ib.

Digitized by Google

## 199. ΛΕΩΝΙΔΑ.

Ἰχθὺν ὁ γρυπὸς Σωσίπτολις οὐκ ἀγοράζει,
προῖκα δ᾽ ἔχει πολλὴν ἐξ ἁλὸς εὐβοσίην,
οὐ λίνον, οὐ κάλαμον προςάγων, τῇ ῥινὶ δὲ προςθεὶς
ἄγκιστρον, σύρει πάντα τὰ νηχόμενα.

## 200. ΤΟΥ ΑΥΤΟΥ.

Ζηνογένους οἶκος κατεκαίετο, πολλὰ δ᾽ ἐμόχθει
ἐκ θυρίδος ζητῶν αὑτὸν ὑπερχαλάσαι.
ἰκρία συμπήξας οὐκ ἔφθανεν· ὀψὲ δ᾽ ἐπιγνούς,
τὴν ῥῖν᾽ Ἀντιμάχου κλίμακα θεὶς ἔφυγεν.

## 201. ΑΜΜΩΝΙΔΟΥ.

Ἀντιπάτραν γυμνὴν εἴ τις Πάρθοισιν ἔδειξεν,
ἔκτοθεν ἂν στηλῶν Ἡρακλέους ἔφυγον.

## 202. ΑΔΗΛΟΝ.

Τὴν γραῦν ἐκκομίσας, φρονίμως πάνυ Μόσχος ἔγημε
παρθένον· ἡ φερνὴ δ᾽ ἔνδον ἔμεινεν ὅλη.
ἄξιον αἰνῆσαι Μόσχου φρένας, ὃς μόνος οἶδε,
καὶ τίνα δεῖ κινεῖν, καὶ τίνα κληρονομεῖν.

---

Nr. 200. V. 2. Fort. ὑπεκχαλάσαι. cum Scalig. Nr. 202. V. 3. ὠνῆσαι. P. V. 4. τίνα δή. P.

### 203. ΑΛΛΟ.

Ἡ ῥὶς Κάστορός ἐστιν, ὅταν σκάπτῃ τι, δίκελλα·
σάλπιγξ δ', ἂν ῥέγχῃ· τῇ δὲ τρύγῃ, δρέπανον·
ἐν πλοίοις ἄγκυρα· κατασπείροντι δ', ἄροτρον·
ἄγκιστρον ναύταις· ὀψοφάγοις κρεάγρα·
ναυπηγοῖς σχένδυλα· γεωργοῖς δὲ πρασόκουρον·
τέκτοσιν ἀξίνη· τοῖς δὲ πυλῶσι κόραξ.
οὕτως εὐχρήστου σκεύους Κάστωρ τετύχηκε,
ῥῖνα φέρων πάσης ἄρμενον ἐργασίης.

### 204. ΠΑΛΛΑΔΑ.

Ῥήτορα Μαῦρον ἰδὼν ἐτεθήπεα, ῥυγχελέφαντα,
χείλεσι λιτραίοις φθόγγον ἱέντα φόνον.

[P]

### 205. ΛΟΥΚΙΛΛΟΥ.

Οὐδὲν ἀφῆκεν ὅλως, Διονύσιε, λείψανον Αὔλῳ
Εὐτυχίδης δειπνῶν, ἦρε δὲ πάντ' ὀπίσω·
καὶ νῦν Εὐτυχίδης μὲν ἔχει μέγα δεῖπνον ἐν οἴκῳ,
μὴ κληθεὶς δ' Αὖλος ξηροφαγεῖ καθίσας.

### 206. ΤΟΥ ΑΥΤΟΥ.

Οὕτω σοι πέψαι, Διονύσιε, ταῦτα γένοιτο
πάντα· νόμου δὲ χάριν, δός τι καὶ ὧδε φαγεῖν·

---

Nr. 203. ηρα in titulo. V. 2. σάλπιγ δ' ἄν. P. V. 4. ἄγκιστρον γριπεῖ. Br. V. 5. κενδυλα. P. Nr. 204. V. 2. ἰύντα. P. Nr. 206. V. 1. πέμψαι. P.

Digitized by Google

κἀγὼ κέκλημαι, κἀμοὶ παρέθηκέ τι τούτων
    γεύσασθαι Πόπλιος, κἀμὸν ἔπεστι μέρος.
εἰ μὴ λεπτὸν ἰδών με δοκεῖς κατακεῖσθαι ἄρωστον,
    εἶθ' οὕτως τηρεῖς, μή σε λαθών τι φάγω.

## 207. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ τρώγεις ὅσα πέντε λύκοι, Γάμε, καὶ τὰ περισσά,
    οὐ τὰ σά, τῶν δὲ πέριξ, πάντα δίδως ὀπίσω.[1]
πλὴν μετὰ τοῦ κοφίνου τοῦ πρὸς πόδας αὔριον ἔρχου,
    πρίσματα, καὶ σπόγγον, καὶ σαρὸν εὐθὺς ἔχων.

## 208. ΤΟΥ ΑΥΤΟΥ.

Ἦν βραδὺς Εὐτυχίδας σταδιοδρόμος, ἀλλ' ἐπὶ δεῖπνον
    ἔτρεχεν, ὥςτε λέγειν· Εὐτυχίδας πέταται.

## 209. ΑΜΜΙΑΝΟΥ.

εἰς παροριστάς.

Κἂν μέχρις Ἡρακλέους στηλῶν ἔλθῃς παρορίζων,
    γῆς μέρος ἀνθρώποις πᾶσιν ἴσον σε μένει,
κείσῃ δ' Ἴρῳ ὅμοιος, ἔχων ὀβολοῦ πλέον οὐδέν,
    εἰς τὴν οὐκέτι σὴν γῆν ἀναλυόμενος.

---

V. 6. λαθόντι. P. Nr. 209. V. 3. ιρί. P. in marg. ὁμοίως ἔχων βολοῦ. Ib.

210. ΛΟΥΚΙΛΛΙΟΥ.

Ἄνθρακα καὶ δάφνην παραβύεται ὁ στρατιώτης
Αὖλος, ἀποσφίγξας μήλινα λωμάτια.
φρίσσει καὶ τὸ μάτην ἴδιον ξίφος. ἢν δέ ποτ' εἴπῃς,
ἔρχοντ', ἐξαπίνης ὕπτιος ἐκτέταται.
οὐδενὶ δ' οὐ Πολέμωνι προσέρχεται, οὐ Στρατοκλείδῃ·
ἀλλὰ φίλῳ χρῆται πάντοτε Λυσιμάχῳ.

211. ΤΟΥ ΑΥΤΟΥ.

Γραπτὴν ἐν τοίχῳ Καλπούρνιος ὁ στρατιώτης,
ὡς ἔθος ἐστίν, ἰδὼν τὴν ἐπὶ ναυσὶ μάχην,
ἄσφυκτος καὶ χλωρὸς ὁ θούριος ἐξετανύσθη,
ζωγρεῖτε, κράξας, Τρῶες ἀρηΐφιλοι.
[P] καὶ μὴ τέτρωται κατεμάνθανε, καὶ μόλις ἔγνω
ζῆν, ὅτε τοῖς τοίχοις ὡμολόγησε λύτρα.

212. ΛΟΥΚΙΑΝΟΥ.

* * * * * *
ἀλλὰ σύ μοι προφέρεις τέκνιον ἀλλότριον,
τὴν προτομὴν αὐτῷ περιθεὶς κυνός· ὥςτε με * καλεῖν,
πῶς μοι Ζωπυρίων ἐξ Ἑκάβης γέγονεν;
καὶ πέρας ἐξ δραχμῶν Ἐρασίστρατος ὁ κρεοπώλης
ἐκ τῶν Ἰσικίων υἱὸν Ἄνουβιν ἔχω.

---

Nr. 210. V. 6. λισιμάχω. P. Nr. 211. V. 5. καὶ μή. Br. Nr. 212. V. 3. Fort. με κάμνειν. V. 6. τῶν ισίων. P.

Digitized by Google

213. ΛΕΩΝΙΔΑ.

Εἰκόνα Μηνοδότου γράψας Διόδωρος ἔθηκεν,
πλὴν τοῦ Μηνοδότου πᾶσιν ὁμοιοτάτην.

214. ΛΟΥΚΙΛΛΟΥ.

Γράψας Δευκαλίωνα, Μενέστρατε, καὶ Φαέθοντα,
ζητεῖς τίς τούτων ἄξιός ἐστι τίνος.
τοῖς ἰδίοις αὐτοὺς τιμήσομεν. ἄξιος ὄντως
ἐστὶ πυρὸς Φαέθων, Δευκαλίων δ' ὕδατος.

215. ΤΟΥ ΑΥΤΟΥ.

Εἴκοσι γεννήσας ὁ ζωγράφος Εὔτυχος υἱούς,
οὐδ' ἀπὸ τῶν τέκνων οὐδὲν ὅμοιον ἔχει.

216. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν φιλόπαιδα Κράτιππον ἀκούσατε· θαῦμα γὰρ ὑμῖν
καινὸν ἀπαγγέλλω· πλὴν μεγάλαι Νεμέσεις.
τὸν φιλόπαιδα Κράτιππον ἀνεύρομεν ἄλλο γένος τι,
τῶν ἑτεροζήλων. ἤλπισα τοῦτ' ἂν ἐγώ;
ἤλπισα τοῦτο, Κράτιππε· μανήσομαι, εἰ λύκος εἶναι
πᾶσι λέγων, ἐφάνης ἐξαπίνης ἔριφος.

217. ΤΟΥ ΑΥΤΟΥ.

Φεύγων τὴν ὑπόνοιαν Ἀπολλοφάνης ἐγάμησεν,
καὶ διὰ τῆς ἀγορᾶς νυμφίος ἦλθε μέσης,

Digitized by Google

αὔριον εὐθύ, λέγων, ἔξω τέκνον. εἶτα προῆλθεν
αὔριον, ἀντὶ τέκνου τὴν ὑπόνοιαν ἔχων.

218. ΚΡΑΤΗΤΟΣ.

Χοίριλος Ἀντιμάχου πολὺ λείπεται· ἀλλ' ἐπὶ πᾶσιν
Χοίριλον Εὐφορίων εἶχε διὰ στόματος,
καὶ κατάγλωσσ' ἐπόει τὰ ποήματα, καὶ τὰ φίλητρα
ἀτρεκέως ᾔδει· καὶ γὰρ Ὁμηρικὸς ἦν.

219. ΑΝΤΙΠΑΤΡΟΥ.

Οὐ προσέχω, καίτοι πιστοί τινες. ἀλλὰ μεταξύ,
πρὸς Διός, εἴ με φιλεῖς, Πάμφιλε, μή με φίλει.

220. ΑΔΗΛΟΝ.

Ἀλφειοῦ στόμα φεῦγε· φιλεῖ κόλπους Ἀρεθούσης,
πρηνὴς ἐμπίπτων ἁλμυρὸν ἐς πέλαγος.

[¶] 221. ΑΜΜΙΑΝΟΥ.

Οὐχ ὅτι τὸν κάλαμον λείχεις, διὰ τοῦτό σε μισῶ,
ἀλλ' ὅτι τοῦτο ποιεῖς, καὶ δίχα τοῦ καλάμου.

222. ΑΔΕΣΠΟΤΟΝ.

ΧΕΙΛΩΝ καὶ ΛΕΙΧΩΝ ἴσα γράμματα. ἐς τί δὲ τοῦτο;
ΛΕΙΧΕΙ γὰρ ΧΕΙΛΩΝ, κἂν ἴσα, κἂν ἄνισα.

---

Nr. 218. V. 3. τὰ φίλιτρα. P. Fort. κατάγλωττ' cum Brunkio.
Nr. 222. V. 1. χιλων καὶ λιχων. P. ἔστι δέ. Ib. V. 2. λίχει καὶ χίλων. P.

### 223. ΜΕΛΕΑΓΡΟΥ.

Εἰ βινεῖ Φαβορῖνος ἀπιστεῖς· μηκέτ' ἀπίστει·
αὐτός μοι βινεῖν εἶπ' ἰδίῳ στόματι.

### 224. ΑΝΤΙΠΑΤΡΟΥ.

Ἑστηκὸς τὸ Κίμωνος ἰδὼν πέος, εἶφ' ὁ Πρίηπος·
οἴμοι, ὑπὸ θνητοῦ λείπομαι ἀθάνατος.

### 225. ΣΤΡΑΤΩΝΟΣ.

Ἡ κλίνη πάσχοντας ἔχει δύο, καὶ δύο δρῶντας,
οὓς σὺ δοκεῖς πάντας τέσσαρας· εἰσὶ δὲ τρεῖς.
ἢν δὲ πύθῃ, πῶς τοῦτο; τὸν ἐν μέσσῳ δὶς ἀρίθμει,
κοινὰ πρὸς ἀμφοτέρους ἔργα σαλευόμενον.

### 226. ΑΜΜΙΑΝΟΥ.

Εἴη σοι κατὰ γῆς κούφη κόνις, οἰκτρὲ Νέαρχε,
ὄφρα σε ῥηϊδίως ἐξερύσωσι κύνες.

### 227. ΤΟΥ ΑΥΤΟΥ.

Θᾶττον ποιήσει μέλι κάνθαρος, ἢ γάλα κώνωψ,
ἢ σύ τι ποιήσεις, σκορπίος ὤν, ἀγαθόν.

---

Nr. 223. V. 1. βείνει. P. V. 2. βεινειν. P. Nr. 224. V. 1. Ἐστυκός. Br. Nr. 225. V. 3. τὸ ἐν μέσῳ. P.

οὔτε γὰρ αὐτὸς ἑκοντὶ ποιεῖς, οὔτ' ἄλλον ἀφίῃς,
ὡς ἀστὴρ Κρονικὸς πᾶσιν ἀπεχθόμενος.

228. ΤΟΥ ΑΥΤΟΥ.

Μητέρα τις, πατέρ' ἄλλος ἀπέκτανεν, ἄλλος ἀδελφόν.
Πωλιανὸς τοὺς τρεῖς, πρῶτος ἀπ' Οἰδίποδος.

229. ΤΟΥ ΑΥΤΟΥ.

Ὀψέ ποθ' ἡ ποδάγρα τὸν ἑαυτῆς ἄξιον εὗρεν,
ὃν ποδαγρᾷν πρὸ ἐτῶν ἄξιον ἦν ἑκατόν.

230. ΤΟΥ ΑΥΤΟΥ.

Μασταύρων ἀφελὼν δύο γράμματα, Μάρκε, τὰ πρῶτα,
ἄξιος εἶ πολλῶν τῶν ὑπολειπομένων.

231. ΤΟΥ ΑΥΤΟΥ.

Θηρίον εἶ παρὰ γράμμα, καὶ ἄνθρωπος διὰ γράμμα,
ἄξιος εἶ πολλῶν, ὧν παρὰ γράμμα γράφῃ.

232. ΚΑΛΛΙΟΥ ΑΡΓΕΙΟΥ.

Αἰεὶ χρυσίον ἦσθα, Πολύκριτε· νῦν δὲ πεπωκώς,
ἐξαπίνης ἐγένου λυσσομανές τι κακόν.

---

Nr. 227. V. 3. ἑκον (ώ) τι. P. ἀφιεις (η). P. Nr. 230. V. 1. λασταύρων. Br.

αἰεί μοι δοκέεις κακὸς ἔμμεναι. οἶνος ἐλέγχει
τὸν τρόπον· οὐκ ἐγένου νῦν κακός, ἀλλ' ἐφάνης.

233. ΛΟΥΚΙΛΛΟΥ.

Φαῖδρος πραγματικός, καὶ ζωγράφος ἤρισε Ῥοῦφος,
τίς θᾶσσον γράψει, καὶ τίς ὁμοιότερον.
[P] ἀλλ' ἐν ὅσῳ Ῥοῦφος τρίβειν τὰ χρώματ' ἔμελλεν,
Φαῖδρος ἔγραψε λαβὼν εἰκονικὴν ἀποχήν.

234. ΤΟΥ ΑΥΤΟΥ.

Τοὺς πόδας εἰ Κρατερὸς καὶ τὰς χέρας εἶχ' ὁλοκλήρους,
οὐκ ἄρα τὴν κεφαλὴν εἶχε, τοιαῦτα γράφων.

235. ΔΗΜΟΔΟΚΟΥ.

Καὶ τόδε Δημοδόκου· Χῖοι κακοί. οὐχ ὁ μέν, ὃς δ' οὔ.
πάντες, πλὴν Προκλέους· καὶ Προκλέης δὲ Χίος.

236. ΤΟΥ ΑΥΤΟΥ.

Πάντες μὲν Κίλικες κακοὶ ἀνέρες· ἐν δὲ Κίλιξιν
εἷς ἀγαθὸς Κινύρης, καὶ Κινύρης δὲ Κίλιξ.

---

Nr. 234. V. 1. οὐχ ὁλ. P. V. 2. οὐκ ἂν τήν. P. Nr. 235. V. 2. Προκλέης Χῖος. Br. Nr. 236. V. 2. δὲ Κιν. δὲ Κιν. P.

Digitized by Google

237. ΤΟΥ ΑΥΤΟΥ.

Καππαδόκην ποτ᾽ ἔχιδνα κακὴ δάκεν· ἀλλὰ καὶ αὐτὴ
κάτθανε, γευσαμένη αἵματος ἰοβόλου.

238 ΤΟΥ ΑΥΤΟΥ.

Καππαδόκαι φαῦλοι μὲν ἀεί· ζώνης δὲ τυχόντες,
φαυλότεροι· κέρδους δ᾽ εἵνεκα φαυλότατοι.
ἢν δ᾽ ἄρα δὶς καὶ τρὶς μεγάλης δράξωνται ἀπήνης,
δὴ τότε γίγνονται φαυλεπιφαυλότατοι.
μή, λίτομαι, βασιλεῦ, μὴ τετράκις, ὄφρα μὴ αὐτὸς
κόσμος ὀλισθήσῃ καππαδοκιζόμενος.

239. ΛΟΥΚΙΛΛΟΥ.

Οὔτε Χίμαιρα τοιοῦτον ἔπνει κακόν, ἡ καθ᾽ Ὅμηρον,
οὐκ ἀγέλη ταύρων, ὡς ὁ λόγος, πυρίπνους,
οὐ Λῆμνος σύμπασα, καὶ Ἁρπυιῶν τὰ περισσά,
οὐδ᾽ ὁ Φιλοκτήτου ποὺς ἀποσηπόμενος·
ὥςτε σε παμψηφεὶ νικᾶν, Τελέσιλλα, Χιμαίρας,
σηπεδόνας, ταύρους, ὄρνεα, Λημνιάδας.

240. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ μόνον αὐτὴ πνεῖ Δημοστρατίς, ἀλλὰ δι᾽ αὐτῆς
τοὺς ὀσμησαμένους πνεῖν πεποίηκε τράγον.

---

Nr. 239. Λουκιανοῦ. Plan. Nr. 240. V. 1. ἀλλὰ καὶ αὐτ. Br.

241. ΝΙΚΑΡΧΟΥ.

Τὸ στόμα χὡ πρωκτὸς ταὐτόν, Θεόδωρε, σοῦ ὄζει,
ὥςτε διαγνῶναι τοῖς φυσικοῖς καλὸν ἦν.
ἦ γράψαι σε ἔδει, ποῖον στόμα, ποῖον ὁ πρωκτός.
νῦν δὲ λαλοῦντός σου * * * * *

242. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ δύναμαι γνῶναι, πότερον χαίνει Διόδωρος,
ἢ βδέσ᾽· ἔχει γὰρ [ἔχις] πνεῦμα κάτω καὶ ἄνω.

243. ΤΟΥ ΑΥΤΟΥ.

Λούσασθαι πεπόρευται Ὀνήσιμος εἰς βαλανεῖον
δωδεκάτῃ δύστρου μηνός, ἐπ᾽ Ἀντιφίλου,
[¶] παῖδα λιπὼν οἴκοις ἐπιτίτθιον, ὃν δύο τέκνων
ἄλλων εὑρήσει λουσάμενος πατέρα.
ἥξειν δ᾽ εἰς ὥρας ἡμῖν γράφει· οἱ βαλανεῖς γὰρ
εἰς τότε τάσσονται τὴν πυρίαν καθελεῖν.

244. ΑΔΗΛΟΝ.

Ἠγόρασας χαλκοῦν μιλιάριον, Ἡλιόδωρε,
τοῦ περὶ τὴν Θρᾴκην ψυχρότερον Βορέου.

---

Nr. 241. V. 2. φυσικοῖς χαλεπόν. Eldick. Nr. 242. V. 1. χαμαὶ Δ. Ρ. V. 2. ἤβδησεν ἔχει γὰρ πνεῦμα καὶ κάτω. P. Nr. 243. V. 4. ἄλλον. P. Nr. 244. Νικάρχου. Plan.

μὴ φύσα, μὴ κάμνε· μάτην τὸν καπνὸν ἐγείρεις·
εἰς τὸ θέρος χαλκῆν βαύκαλιν ἠγόρασας.

245. ΛΟΥΚΙΛΛΙΟΥ.

Οἱ τοῖχοι, Διόφαντε, τὰ κύματα πάντα δέχονται,
καὶ διὰ τῶν θυρίδων Ὠκεανὸς φέρεται.
δελφίνων δ᾿ ἀγέλαι, καὶ Νηρέος ἀγλαὰ τέκνα
ἐν τῷ πλοίῳ σου νηχόμενα βλέπεται.
ἂν δ᾿ ἀναμείνωμεν, πλεύσει τάχα καί τις ἐν ἡμῖν·
οὐ γὰρ ἔνεστιν ὕδωρ οὐκέτι τῷ πελάγει.

246. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ ποίων ἔταμες, Διονύσιε, τὰ ξύλα ταῦτα
λατομιῶν; ποίων τὸ σκάφος ἐστὶ μύλων;
εἰ γὰρ ἐγώ τι νοῶ, μολίβου γένος, οὐ δρυός ἐστιν,
οὐδ᾿ ἐλάτης· μικροῦ ῥιζοβολεῖ τὰ κάτω.
καὶ τυχὸν ἐξαπίνης ἔσομαι λίθος· εἶτα, τὸ χεῖρον,
γράψει μ᾿ ὡς Νιόβην δρᾶμα σαπρὸν Μελίτων.

247. ΤΟΥ ΑΥΤΟΥ.

Ἐς πέλαγος πλέομεν, Διονύσιε, καὶ γεγέμισται
τὸ πλοῖον παντὸς πανταχόθεν πελάγους.

---

V. 3. μὴ κάμνε μὴ φύσα μάτην. P. Nr. 245. V. 1. διόφαντες. P. Nr. 246. V. 1. ἔτεμες. P. Nr. 247. V. 1. εἰ π. P.

ἀντλεῖται δ' Ἀδρίας, Τυῤῥηνικός, Ἰστρικός, Αἴγων.
οὐ πλοῖον, πηγὴ δ' Ὠκεανοῦ ξυλίνη.
ὁπλίζου, Καῖσαρ· Διονύσιος ἄρχεται ἤδη
οὐκέτι ναυκληρεῖν, ἀλλὰ θαλασσοκρατεῖν.

### 248. ΒΙΑΝΟΡΟΣ.

Τὸ σκάφος οὐ βυθὸς εἷλε. πόθεν βυθός; οὐ γὰρ ἔπλωσεν.
οὐδὲ Νότος. πρὸ Νότου δ' ὤλετο καὶ πελάγευς.
ἤδη γάρ μιν ἅπασαν ἐπὶ ζυγὰ γομφωθεῖσαν
ἤλειφον πεύκης τῇ λιπαρῇ νοτίδι·
πίσσα δ' ὑπερβρασθεῖσα πυρὸς φλογὶ τὴν ἁλὶ πιστὴν
τευχομένην, γαίῃ δεῖξεν ἀπιστοτέρην.

### 249. ΛΟΥΚΙΛΛΟΥ.

Ἀγρὸν Μηνοφάνης ὠνήσατο, καὶ διὰ λιμὸν
ἐκ δρυὸς ἀλλοτρίας αὐτὸν ἀπηγχόνισεν.
[Ϙ] γῆν δ' αὐτῷ τεθνεῶτι βαλεῖν οὐκ ἔσχον ἄνωθεν,
ἀλλ' ἐτάφη μισθοῦ πρός τινα τῶν ὁμόρων.
εἰ δ' ἔγνω τὸν ἀγρὸν τὸν Μηνοφάνους Ἐπίκουρος,
πάντα γέμειν ἀγρῶν εἶπεν ἄν, οὐκ ἀτόμων.

### 250. ΑΔΕΣΠΟΤΟΝ.

Τὸν παχὺν εὖ ἔγραψεν ὁ ζωγράφος. ἀλλ' ἀπόλοιτο,
εἰ δύο μισητοὺς ἀνθ' ἑνὸς ὀψόμεθα.

---

V. 3. ἀδρείας τυῤῥηνικόν. P. Nr. 250. V. 1. Fort. εὖ μὲν ἔγραψεν.

Digitized by Google

251. ΝΙΚΑΡΧΟΥ.

Δυςκώφῳ δύςκωφος ἐκρίνετο· καὶ πολὺ μᾶλλον
ἦν ὁ κριτὴς τούτων [τῶν] δύο κωφότερος.
ὧν ὁ μὲν ἀντέλεγεν τὸ ἐνοίκιον αὐτὸν ὀφείλειν
μηνῶν πένθ᾽· ὁ δ᾽ ἔφη νυκτὸς ἀληλεκέναι.
ἐμβλέψας δ᾽ αὐτοῖς ὁ κριτὴς λέγει· ἐς τί μάχεσθε;
μήτηρ ἔσθ᾽ ὑμῶν· ἀμφότεροι τρέφετε.

252. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ με φιλεῖς, μισεῖς με· καὶ εἰ μισεῖς, σὺ φιλεῖς με.
εἰ δέ με μὴ μισεῖς, φίλτατε, μή με φίλει.

253. ΛΟΥΚΙΛΛΙΟΥ.

Ἐκ ποίων ὁ πατήρ σε δρυῶν τέτμηκεν, Ἀρίστων,
ἢ ποίων σε μύλου κόψατο λατομιῶν;
ἢ γὰρ ἀπὸ δρυὸς ἐσσὶ παλαιφάτου, ἢ ἀπὸ πέτρης
ὀρχηστής, Νιόβης ἔμπνοον ἀρχέτυπον·
ὥςτε με θαυμάζοντα λέγειν, ὅτι καὶ σύ τι Λητοῖ
ἤρισας· οὐ γὰρ ἂν ἦς αὐτομάτως λίθινος.

254. ΤΟΥ ΑΥΤΟΥ.

Πάντα καθ᾽ ἱστορίην ὀρχούμενος, ἓν τὸ μέγιστον
τῶν ἔργων παριδὼν ἠνίασας μεγάλως.

---

Nr. 251. V. 2. τούτων δύο. P. δὺς δύο. Br.

τὴν μὲν γὰρ Νιόβην ὀρχούμενος, ὡς λίθος ἔστης,
καὶ πάλιν ὢν Καπανεύς, ἐξαπίνης ἔπεσες.
ἀλλ' ἐπὶ τῆς Κανάκης ἀφυῶς, ὅτι καὶ ξίφος ἦν σοι,
καὶ ζῶν ἐξῆλθες· τοῦτο παρ' ἱστορίην.

255. ΠΑΛΛΑΔΑ.

Δάφνην καὶ Νιόβην ὠρχήσατο Μέμφις ὁ σιμός,
ὡς ξύλινος Δάφνην, ὡς λίθινος Νιόβην.

256. ΛΟΥΚΙΛΛΙΟΥ.

Λούεσθαί σε λέγουσι πολὺν χρόνον, Ἡλιόδωρα,
γραῖαν ἐτῶν ἑκατὸν μὴ καταλυομένην.
πλὴν ἔγνωκα, τίνος ποιεῖς χάριν· ὡς ὁ παλαιὸς
ἐλπίζεις Πελίας ἑψομένη νεάσαι.

[P] 257. ΤΟΥ ΑΥΤΟΥ.

Ἑρμογένη τὸν ἰατρὸν ἰδὼν Διόφαντος ἐν ὕπνοις
οὐκέτ' ἀνηγέρθη, καὶ περίαμμα φέρων.

258. ΛΟΥΚΙΛΛΙΟΥ.

Τῷ Πίσης μεδέοντι τὸ κράνιον Αὖλος ὁ πύκτης,
ἓν καθ' ἓν ἀθροίσας ὀστέον, ἀντίθεται.
σωθεὶς δ' ἐκ Νεμέας, Ζεῦ δέσποτα, σοὶ τάχα θήσει
καὶ τοὺς ἀστραγάλους, τοὺς ἔτι λειπομένους.

---

Nr. 254. V. 4. ἔπεσε. P.

259. ΤΟΥ ΑΥΤΟΥ.

Θεσσαλὸν ἵππον ἔχεις, Ἐρασίστρατε, ἀλλὰ σαλεῦσαι
οὐ δύνατ᾽ αὐτὸν ὅλης φάρμακα Θεσσαλίης,
ὄντως δούριον ἵππον, ὃν εἰ Φρύγες εἷλκον ἅπαντες
σὺν Δαναοῖς, Σκαιὰς οὐκ ἂν ἐσῆλθε πύλας·
ὃν στήσας ἀνάθημα θεοῦ τινος, εἰ προσέχεις μοι,
τὰς κριθὰς ποίει τοῖς τεκνίοις πτισάνην.

260. ΑΔΗΛΟΝ.

Τοῦτο τὸ Βουλεύειν εἶχες πάλαι. ἀλλὰ τὸ Βῆτα
οὐκ ἐπιγιγνώσκω· Δέλτα γὰρ ἐγράφετο.

261. ΑΔΗΛΟΝ.

Υἱὸς Πατρικίου μάλα κόσμιος, ὃς διὰ Κύπριν
οὐχ ὁσίην ἑτάρους πάντας ἀποστρέφεται.

262. ΑΔΗΛΟΝ.

Αἰθερίην διὰ νύκτα νέοι κατάγουσι Σελήνην
ἠΐθεοι Φαρίης ἄνδιχα τεμνομένην.

263. ΠΑΛΛΑΔΑ.

Παύλῳ κωμῳδῷ κατ᾽ ὄναρ στὰς εἶπε Μένανδρος·
οὐδὲν ἐγὼ κατὰ σοῦ, καὶ σὺ κακῶς με λέγεις.

---

Nr. 260. V. 1. τὸ ουλεύειν. Br. Nr. 262. V. 2. τεμνομέναν. P.

264. ΛΟΥΚΙΛΛΟΥ.

Ποιήσας δαπάνην ἐν ὕπνοις ὁ φιλάργυρος Ἕρμων,
ἐκ περιωδυνίας αὑτὸν ἀπηγχόνισεν.

265. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὲν ἐπ' ἀττελάβους ἄγεται στρατός, ἢ κυνομυίας,
ἢ μύας, ἢ ψυλλῶν ἱππικόν, ἢ βατράχων,
Γάϊε, καὶ σὺ φοβοῦ, μή καὶ σέ τις ἐγκαταλέξῃ,
ὡς ἂν τῆς τούτων ἄξιον ὄντα μάχης.
εἰ δ' ἀρετῆς ἀνδρῶν ἄγεται στρατὸς, ἄλλο τι παῖζε·
Ῥωμαίοις οὐδεὶς πρὸς γεράνους πόλεμος.

266. ΤΟΥ ΑΥΤΟΥ.

Ψευδὲς ἔσοπτρον ἔχει Δημοσθενίς· εἰ γὰρ ἀληθὲς
ἔβλεπεν, οὐκ ἂν ὅλως ἤθελεν αὐτὸ βλέπειν.

267. ΑΔΗΛΟΝ.

Κερκίδος οὐ χρήζεις ὁ λογιστικός, οὐδὲ μέλει σοι,
καὶ γὰρ ἀβασκάντως ῥῖνα τρίπηχυν ἔχεις.

[P] 268. ΑΛΛΟ.

Οὐ δύναται τῇ χειρὶ Πρόκλος τὴν ῥῖν' ἀπομύσσειν,
τῆς ῥινὸς γὰρ ἔχει τὴν χέρα μικροτέρην.

---

Nr. 265. V. 2. μυίας. P. V. 3. τις κατελέξῃ. P. Nr. 266. V. 1. δημοσθένης. P.

οὐδὲ λέγει Ζεῦ σῶσον, ἐὰν πταρῇ· οὐ γὰρ ἀκούει
τῆς ῥινός, πολὺ γὰρ τῆς ἀκοῆς ἀπέχει.

269. ΑΔΗΛΟΝ.

εἰς ναὸν τοῦ Ἡρακλέους γενόμενον τοῦ ἁγίου Λουκίου.

Ὁ τοῦ Διὸς παῖς καλλίνικος Ἡρακλῆς
οὐκ εἰμὶ Λούκιος, ἀλλ' ἀναγκάζουσί με.

270. ΑΔΗΛΟΝ.

εἰς εἰκόνα Ἀναστασίου βασιλέως ἐν τῷ Εὐρίπῳ.

Εἰκόνα σοι, βασιλεῦ κοσμοφθόρε, τήνδε σιδήρου
ἄνθεσαν, ὡς χαλκοῦ πολλὸν ἀτιμοτέρην,
ἀντὶ φόνου, πενίης τ' ὀλοῆς, λιμοῦ τε, καὶ ὀργῆς,
οἷς πάντα φθείρεις ἐκ φιλοχρημοσύνης.

271. ΑΔΗΛΟΝ.

Ἐγγύθι τῆς Σκύλλης χαλεπὴν στήσαντο Χάρυβδιν,
ἄγριον ὠμηστὴν τοῦτον Ἀναστάσιον.
δείδιθι καὶ σύ, Σκύλλα, τεαῖς φρεσί, μὴ σὲ καὶ αὐτὴν
βρώξῃ, χαλκείην δαίμονα κερματίσας.

---

Nr. 268. V. 4. τὰς ἀκοάς. P. Nr. 269. V. 2. λουκις. P. Nr. 271. V. 1. ὠμιστήν. P.

Digitized by Google

### 272. *ΑΔΗΛΟΝ.*

*εἰς κιναίδους.*

*Ἀνέρας ἠρνήσαντο, καὶ οὐκ ἐγένοντο γυναῖκες.*
*οὔτ᾽ ἄνδρες γεγάασιν, ἐπεὶ πάθον ἔργα γυναικῶν·*
*οὔτε γυναῖκες ἔασιν, ἐπεὶ φύσιν ἔλλαχον ἀνδρῶν.*
*ἀνέρες εἰσὶ γυναιξί, καὶ ἀνδράσιν εἰσὶ γυναῖκες.*

### 273. *ΑΔΗΛΟΝ.*

*Χωλὸν ἔχεις τὸν νοῦν, ὡς τὸν πόδα· καὶ γὰρ ἀληθῶς*
*εἰκόνα τῶν * ἐντὸς ἡ φύσις ἔξω φέρει.*

### 274. *ΛΟΥΚΙΑΝΟΥ.*

*Εἰπέ μοι εἰρομένῳ, Κυλλήνιε, πῶς κατέβαινεν*
*Λολλιανοῦ ψυχὴ δῶμα τὸ Φερσεφόνης;*
*θαῦμα μέν, εἰ σιγῶσα· τυχὸν δέ τι καί σε διδάσκειν*
*ἤθελε· φεῦ, κείνου καὶ νέκυν ἀντιάσαι.*

### 275. *ΑΠΟΛΛΩΝΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.*

*Καλλίμαχος τὸ κάθαρμα, τὸ παίγνιον, ὁ ξύλινος νοῦς,*
*αἴτιος, ὁ γράψας Αἴτια Καλλιμάχου.*

### 276. *ΛΟΥΚΙΛΛΟΥ.*

*Εἰς φυλακὴν βληθείς ποτε Μάρκος ὁ ἀργός, ἑκοντί,*
*ὀκνῶν ἐξελθεῖν, ὡμολόγησε φόνον.*

---

Nr. 273. V. 2. *εἰκόνας των ἐ.* P. *σὴ φύσις ἐκτὸς ἔχει.* Plan.
Nr. 275. V. 2. Fort. *Καλλίμαχος* cum Bentl.

Digitized by Google

277. ΤΟΥ ΑΥΤΟΥ.

Τῆς νυκτὸς τροχάσας ἐν ὕπνοις ποτὲ Μάρκος ὁ ἀργός,
οὐκέτ' ἐκοιμήθη, μὴ πάλι που τροχάσῃ.

[₱] 278. ΛΟΥΚΙΛΛΙΟΥ.

εἰς γραμματικὸν κερασφόρον.

Ἔξω παιδεύεις Πάριδος κακὰ καὶ Μενελάου,
ἔνδον ἔχων πολλοὺς σῆς Ἑλένης Πάριδας.

279. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδεὶς γραμματικῶν δύναταί ποτε [ἄρτιος] εἶναι,
ὀργήν, καὶ μῆνιν, καὶ χόλον εὐθὺς ἔχων.

280. ΠΑΛΛΑΔΑ.

Βέλτερον ἡγεμόνος ληστοκτόνου ἐς κρίσιν ἐλθεῖν,
ἢ τοῦ χειρουργοῦ Γενναδίου παλάμας.
ὃς μὲν γὰρ φονέας ὁσίως στυγέων κατατέμνει·
ὃς δὲ λαβὼν μισθοὺς εἰς Ἀΐδην κατάγει.

281. ΤΟΥ ΑΥΤΟΥ.

εἰς Μάγνον ἰατροσοφιστήν.

Μάγνος ὅτ' εἰς Ἀΐδην κατέβη, τρομέων Ἀϊδωνεὺς
εἶπεν· ἀναστήσων ἤλυθε καὶ νέκυας.

---

Nr. 278. V. 2. πολλῆς. P. Nr. 279. V. 1. ποτε ἄρτιος. Plan. νόον ἄρτιος. Br. Fort. δύναταί ποτε μέτριος εἶναι. Nr. 280. V. 2. παλάμαις. P. V. 3. Fort. φονέας στυγέων ὁσίως.

Digitized by Google

282. ΑΛΛΟ.

Τοὺς καταλείψαντας γλυκερὸν φάος οὐκέτι θρηνῶ·
τοὺς δ' ἐπὶ προσδοκίῃ ζῶντας ἀεὶ θανάτου.

[P] 283. ΠΑΛΛΑΔΑ.

εἰς Δαμόνικον ὕπαρχον.

Πολλοὶ πολλὰ λέγουσιν, ὅμως δ' οὐ πάντα δύνανται
ῥήμασιν ἐξειπεῖν ῥεύματα σῶν παθέων.
ἓν δ' ἐπὶ σοῦ παράδοξον ἐθαυμάσαμεν καὶ ἄπιστον,
δάκρυα πῶς κλέπτων εἶχες ἑτοιμότατα.
Χαλκίδος ἐκ γαίης ἀπεχάλκισε τὴν πόλιν ἡμῶν,
κλέπτων, καὶ κλέπτων δάκρυσι κερδαλέοις.

284. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ γῆς Λωτοφάγων μέγας ὄρχαμος ἦλθε Λυκάων,
Χαλκίδος ἐκ γαίης ἀντιοχευόμενος.

285. ΤΟΥ ΑΥΤΟΥ.

Θηλυφανὲς παράδοξον ἐθαυμάσαμεν πάθος ἄλλο·
ἔκλαιεν κλέπτων, κλεπτομένους ἐλεῶν,
ὃς κλέπτων ἥγνευε, καὶ ἁγνεύων ἀπεσύλα,
μηδὲν ἔχων καθαρόν, μηδὲ τὸ σῶμα ῥύπου.

---

Nr. 282. V. 2. προσδοκίηρ. P. Nr. 283. V. 6. καὶ κλαίων. Plan.

Digitized by Google

286. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδὲν γυναικὸς χεῖρον, οὐδὲ τῆς καλῆς·
δούλου δὲ χεῖρον οὐδέν, οὐδὲ τοῦ καλοῦ·
χρήζεις ὅμως οὖν τῶν ἀναγκαίων κακῶν·
εὔνουν νομίζεις δοῦλον εἶναι δεσπότῃ·
καλὸς δ' ἂν εἴη δοῦλος τὰ σκέλη κλάσας.

287. ΤΟΥ ΑΥΤΟΥ.

Ὁ τὴν γυναῖκα τὴν ἄμορφον δυστυχῶν,
λύχνους ἀνάψας ἑσπέρας, σκότος βλέπει.

288. ΤΟΥ ΑΥΤΟΥ.

Κουρεὺς καὶ ῥαφιδεὺς κατεναντίον ἦλθον ἀγῶνος,
καὶ τάχα νικῶσιν τὸν ξυρὸν αἱ ῥαφίδες.

289. ΤΟΥ ΑΥΤΟΥ.

Ὢ τῆς ταχίστης ἁρπαγῆς τῆς τοῦ βίου·
ἀνὴρ δανειστὴς τῶν χρόνων γλύφων τόκους
τέθνηκεν εὐθὺς ἐν ῥοπῆς καιρῷ βραχεῖ,
ἐν δακτύλοισι τοὺς τόκους σφίγγων ἔτι.

[P] 290. ΤΟΥ ΑΥΤΟΥ.]

Δακτυλικὴν ψῆφόν τις ἔχων πέρι δάκτυλα χειρῶν
ψήφῳ τοῦ θανάτου προὔλαβεν εἰς Ἀΐδην.

---

Nr. 286. V. 5. Fort. δοῦλος ὁ τὰ σκ. Nr. 287. V. 2. λύχνον. P.
Nr. 289. V. 3. ευρωπης. P.

Digitized by Google

ζῇ δ' ἡ ψῆφος νῦν τοῦ ψηφίζοντος ἐρήμη,
ψυχῆς ἁρπαγίμης ἔνθεν ἐλαυνομένης.

### 291. ΤΟΥ ΑΥΤΟΥ.

Τί ὠφέλησας τὴν πόλιν στίχους γράφων,
χρυσὸν τοσοῦτον λαμβάνων βλασφημίας,
πωλῶν ἰάμβους, ὡς ἔλαιον ἔμπορος;

### 292. ΠΑΛΛΑΔΑ.

Ἄντυγος οὐρανίης ὑπερήμενος, ἐς πόθον ἦλθες
ἄντυγος ἀργυρέης· αἶσχος ἀπειρέσιον.
ἦσθά ποτε κρείσσων· αὖθις δ' ἐγένου πολὺ χείρων.
δεῦρ' ἀνάβηθι κάτω· νῦν γὰρ ἄνω κατέβης.

### 293. ΤΟΥ ΑΥΤΟΥ.

Ἵππον ὑποσχόμενός μοι Ὀλύμπιος, ἤγαγεν οὐράν,
ἧς ὀλιγοδρανέων ἵππος ἀπεκρέματο.

### 294. ΛΟΥΚΙΛΛΙΟΥ.

Πλοῦτον μὲν πλουτοῦντος ἔχεις, ψυχὴν δὲ πένητος,
ὦ τοῖς κληρονόμοις πλούσιε, σοὶ δὲ πένης.

---

Nr. 292. V. 3. ἦσθα κάτω κρείσσων, αὖθις δ' ἐγένου πολὺ χείρων. Br.

Digitized by Google

295. ΤΟΥ ΑΥΤΟΥ.

εἰς οἶνον φαῦλον ἀποσταλέντα αὐτῷ.

Εἴ τιν' ἔχεις Διόνυσον ἐνὶ μεγάροισι τεοῖσι,
τὸν κισσὸν ἀφελών, θριδάκων φύλλοις στεφάνωσον.

296. ΤΙΜΩΝΟΣ.

εἰς Κλεάνθην.

Τίς δ' οὗτος κτίλος ὣς ἐπιπωλεῖται στίχας ἀνδρῶν,
μωλύτης, ἐπέων φίλος, Ἄσσιος, ὅλμος ἄτολμος.

297. ΑΔΗΛΟΝ.

εἰς γυναῖκα μεθύστριαν.

α. Πῶς φιλέεις, ὦ μῆτερ, ἐμοῦ πλέον υἱέος οἶνον;
δὸς πιέειν οἴνοιο, ἐπεὶ γάλα τὸ πρὶν ἔδωκας.
β. ὦ παῖ, σὴν μὲν δίψαν ἐμὸν γάλα τὸ πρὶν ἔπαυσε·
νῦν δ' ἴθι, πῖνε ὕδωρ, καὶ παύεο δίψαν ἑοῖο.

298. ΑΛΛΟ.

Δέρκεο, πῶς διψῶν υἱὸς χέρα μητέρι τείνει·
ἡ δὲ γυνή, ἅτε πᾶσα γυνή, κεκρατημένη οἴνῳ,

---

Nr. 295. V. 2. κισσόν γ' ἀφελών. Herm. Nr. 297. V. 2. γάλα μοι τό. P. V. 4. δίψαν αἰεῖο. P. Nr. 298. V. 1. μητέρα. P.

ἐν λαγύνῳ πίνουσα, τόδ' ἔννεπε λοξὸν ἰδοῦσα·
Ἐκ βρόχθου ὀλίγοιο τί σοι δῶ, τέκνον ἐμεῖο;
ξέστας γὰρ τριάκοντα μόνας * λαγύνη τόδε χωρεῖ.

* * *

Μῆτερ, μητρυιῆς χαλεπὸν τρόπον ἀντικρατοῦσα·
ἀμπέλου ἡδυτάτης τάδε δάκρυα δός μοι ἀφύσσειν.

* * *

Μῆτερ ἐμή, δύσμητερ, ἀπηνέα θυμὸν ἔχουσα,
εἰ φιλέεις τὸν υἷα, δίδου μέ τι τυτθὸν ἀφύσσειν.

[?] 299. ΠΑΛΛΑΔΑ.

Ὑβρίζεις· τί τὸ θαῦμα; τί δυςχερές; ἀλλὰ φέρω σε.
τῶν γὰρ ὑβριζόντων ἡ θρασύτης κόλασις.

300. ΤΟΥ ΑΥΤΟΥ.

Πολλὰ λαλεῖς, ἄνθρωπε, χαμαὶ δὲ τίθῃ μετὰ μικρόν.
σίγα, καὶ μελέτα ζῶν ἔτι τὸν θάνατον.

301. ΤΟΥ ΑΥΤΟΥ.

Ἥλιος ἀνθρώποις αὐγῆς θεός. εἰ δὲ καὶ αὐτὸς
ὕβριζεν φαίνων, οὐδὲ τὸ φῶς ἐπόθουν.

---

V. 4. τί σοι δώσω. P. V. 5. λάγυνος ὅδε. Br. V. 7. ἡδύτατα. P. V. 9. Fort. εἰ φιλέεις σὺ τὸν υἷα. — δίδου με τυτθ. P.

302. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἐμέ, τὴν πενίην δὲ καθύβρισας. εἰ δὲ καὶ ὁ Ζεὺς
ἦν ἐπὶ γῆς πτωχός, καὐτὸς ἔπασχεν ὕβριν.

303. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ πένομαι, τί πάθω; τί με μισεῖς οὐκ ἀδικοῦντα;
παῖσμα τόδ' ἐστὶ Τύχης, οὐκ ἀδίκημα τρόπων.

304. ΤΟΥ ΑΥΤΟΥ.

Πάντες μὲν δειλοὶ καὶ ἀλαζόνες εἰσί, καὶ εἴ τι
ἐν τοῖς ἀνθρώποις ἄλλο πέφυκε πάθος.
ἀλλ' ὁ λογισμὸν ἔχων τῷ πλησίον οὐκ ἀναφαίνει,
ἔνδον ἀποκρύπτων τῇ συνέσει τὸ πάθος.
σῆς δὲ θύρα ψυχῆς ἀναπέπταται, οὐδένα λήθεις
οὔτε καταπτήσσων, οὔτε θρασυνόμενος.

305. ΤΟΥ ΑΥΤΟΥ.

Τέκνον ἀναιδείης, ἀμαθέστατε, θρέμμα μορίης,
εἰπέ, τί βρενθύῃ, μηδὲν ἐπιστάμενος;
ἐν μὲν γραμματικοῖς ὁ Πλατωνικός· ἂν δὲ Πλάτωνος
δόγματά τις ζητῇ, γραμματικὸς σὺ πάλιν.
ἐξ ἑτέρου φεύγεις ἐπὶ θάτερον· οὔτε δὲ τέχνην
οἶσθα γραμματικήν, οὔτε Πλατωνικὸς εἶ.

---

Nr. 302. V. 2. καὶ αὐτός. P. Nr. 304. V. 5. οὐδὲν φαίνει. P. Nr. 305. V. 3. σὺ Πλατ. Br. V. 4. ζητεῖ. P.

306. ΤΟΥ ΑΥΤΟΥ.

Ἂν μετ' Ἀλεξάνδρειαν ἐς Ἀντιόχειαν ἀπέλθῃς,
καὶ μετὰ τὴν Συρίην Ἰταλίας ἐπιβῇς,
τῶν δυνατῶν οὐδείς σε γαμήσει· τοῦτο γὰρ αἰεὶ
οἰομένη πηδᾷς εἰς πόλιν ἐκ πόλεως.

307. ΤΟΥ ΑΥΤΟΥ.

Υἱὸν ἔχεις τὸν Ἔρωτα, γυναῖκα δὲ τὴν Ἀφροδίτην·
οὐκ ἀδίκως, χαλκεῦ, τὸν πόδα χωλὸν ἔχεις.

308. ΛΟΥΚΙΛΛΙΟΥ.

Τὸν πόδα τῇ βελόνῃ τρυπῶν Κλεόνικος ὁ λεπτός,
αὐτὸς ἐτρύπησεν τῷ ποδὶ τὴν βελόνην.

309. ΤΟΥ ΑΥΤΟΥ.

Θαρσύμαχε, πλοῦτον πολὺν ὤλεσας ἐξ ἐπιβουλῆς,
εἰς οὐδὲν δ' ἥκεις ἄθλιος ἐξαπίνης,
[P] φεισάμενος, δανίσας, τοκίσας τόκον, ὑδροποτήσας,
πολλάκι μηδὲ φαγών, ὥστε τι πλεῖον ἔχειν.
ἀλλ' εἴ μοι λογίσαιο τὸ πεινῆν, καὶ τότε, καὶ νῦν,
οὐδὲν ἔλαττον ἔχεις ὧν τότ' ἔδοξας ἔχειν.

---

Nr. 308. V. 2. τὸν πόδα τῇ βελόνῃ. P. Nr. 309. V. 3. δανείσας. P. V. 4. πλέον. P.

310. ΤΟΥ ΑΥΤΟΥ.

Ἠγόρασας πλοκάμους, φῦκος, μέλι, κηρόν, ὀδόντας.
τῆς αὐτῆς δαπάνης ὄψιν ἂν ἠγόρασας.

311. ΤΟΥ ΑΥΤΟΥ.

Οὕτως ἔστ᾽ ἀργὸς Πανταίνετος, ὥςτε πυρέξας
μηκέτ᾽ ἀναστῆναι παντὸς ἐδεῖτο θεοῦ.
καὶ νῦν οὐκ ἐθέλων μὲν ἐγείρεται, ἐν δέ οἱ αὐτῷ
κωφὰ θεῶν ἀδίκων οὔατα μεμφόμενος.

312. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδενὸς ἐνθάδε νῦν τεθνηκότος, ὦ παροδῖτα,
Μάρκος ὁ ποιητὴς ᾠκοδόμηκε τάφον,
καὶ γράψας ἐπίγραμμα μονόστιχον, ὧδ᾽ ἐχάραξε·
„Κλαύσατε δωδεκέτη Μάξιμον ἐξ Ἐφέσου."
οὐδὲ γὰρ εἶδον ἐγώ τινα Μάξιμον, εἰς δ᾽ ἐπίδειξιν
ποιητοῦ κλαίειν τοῖς παριοῦσι λέγω.

313. ΤΟΥ ΑΥΤΟΥ.

Ἀργυρέῃ λιμῷ τις, ἐς εἰλαπίνην με καλέσσας,
ἔκτανε, πειναλέους τοὺς πίνακας προφέρων.

---

Nr. 311. V. 1. οὗτω. P. V. 3. ἐγείρεται δ᾽ ἐνιαυτῷ. P. Nr. 313. V. 2. πιναλέους. P.

Digitized by Google

ὀχθήσας δ᾽ ἄρ᾽ ἔειπον ἐν ἀργυροφεγγεῖ λιμῷ·
πού μοι χορτασίη ὀστρακίνων πινάκων;

314. ΤΟΥ ΑΥΤΟΥ.

Ἐζήτουν πινάκων πόθεν οὔνομα τοῦτο καλέσσω,
καὶ παρὰ σοὶ κληθεὶς, εὗρον ὅθεν λέγεται.
πείνης γὰρ μεγάλης μεγάλους πίνακας παρέθηκας,
ὄργανα τοῦ λιμοῦ πειναλέους πίνακας.

315. ΤΟΥ ΑΥΤΟΥ.

Εἴςιδεν Ἀντίοχος τὴν Λυσιμάχου ποτὲ τύλην,
κοὐκέτι τὴν τύλην εἴςιδε Λυσίμαχος.

316. ΑΛΛΟ.

εἰς ἀθλητάς.

Εἰς ἱερόν ποτ᾽ ἀγῶνα Μίλων μόνος ἦλθ᾽ ὁ παλαιστής·
τὸν δ᾽ εὐθὺς στεφανοῦν ἀθλοθέτης ἐκάλει.
προςβαίνων δ᾽ ὤλισθεν ἐπ᾽ ἰσχίον· οἱ δ᾽ ἐβόησαν
τοῦτον μὴ στεφανοῦν, εἰ μόνος ὢν ἔπεσεν.
ἀνστὰς δ᾽ ἐν μέσσοισιν ἀνέκραγεν· οὐχὶ τρί᾽ ἐστίν·
ἓν κεῖμαι, λοιπὸν τἄλλα μέ τις βαλέτω.

---

V. 4. ὀστρακίνων ποῦ μοι χορτασίη πινάκων; Herm. Nr. 314. V. 3. πίνης. P. V. 4. πιναλέους. P. Nr. 316. V. 3. ἐπισκον. P. V. 5. ἀντέκραγεν. P. Fort. ἐν μέσσοις ἀντέκρ. c. Schaef. V. 6. ἐνκειμαι. P.

Digitized by Google

[P] 317. ΠΑΛΛΑΔΑ.

Ἀντίσπαστον ἐμοί τις ὄνον μακρόθυμον ἔδωκεν,
τῶν βασταζομένων ὅρμον ὁδοιπορίης,
υἱὸν τῆς βραδυτῆτος ὄνον, πόνον, ὄκνον, ὄνειρον,
τῶν ἀνακαμπτόντων ὑστάτιον πρότερον.

318. ΦΙΛΟΔΗΜΟΥ.

Ἀντικράτης ᾔδει τὰ σφαιρικὰ μᾶλλον Ἀράτου
πολλῷ, τὴν ἰδίην δ' οὐκ ἐνόει γένεσιν.
διστάζειν γὰρ ἔφη, πότερ' ἐν κριῷ γεγένηται,
ἢ διδύμοις, ἢ τοῖς ἰχθύσιν ἀμφοτέροις.
εὕρηται δὲ σαφῶς ἐν τοῖς τρισί· καὶ γὰρ ὀχευτὴς
καὶ μωρός, μαλακός τ' ἐστί, καὶ ὀψοφάγος.

319. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Ἀνθρακίων δέκα μέτρα φέρων, ἔσο καὶ σὺ πολίτης·
ἢν δὲ καὶ ὗν ἀγάγῃς, αὐτὸς ὁ Τριπτόλεμος.
δεῖ δὲ καὶ Ἡρακλείδῃ ὑφηγητῆρι δοθῆναι
ἢ καυλοὺς κράμβης, ἢ φακόν, ἢ κοχλίας.
ταῦτ' ἔχε, καὶ λέγε σαυτὸν Ἐρεχθέα, Κέκροπα, Κόδρον,
ὅν κ' ἐθέλῃς· οὐδεὶς οὐδὲν ἐπιστρέφεται.

---

Nr. 318. V. 6. μαλακῶς ἐστι. P. Nr. 319. V. 2. αὐτὸς Τρ. P. V. 3. ὑφηγήτορι. P.

### 320. ΑΡΓΕΝΤΑΡΙΟΥ.

Ἀντιγόνην ἔστεργε Φιλόστρατος. ἦν δὲ παλαισταῖς
ὁ τλήμων Ἴρου πέντε πενιχρότερος.
εὗρε δ' ὑπὸ κρυμοῦ γλυκὺ φάρμακον· ἀντία γὰρ σχὼν
γούνατ' ἐκοιμήθη, ξεῖνε, μετ' Ἀντιγόνης.

### 321. ΦΙΛΙΠΠΟΥ.

Γραμματικοὶ Μώμου στυγίου τέκνα, σῆτες ἀπάντων,
τελχῖνες βίβλων, Ζηνοδότου σκύλακες,
Καλλιμάχου στρατιῶται, ὃν ὡς ὅπλον ἐκτανύσαντες,
οὐδ' αὐτοῦ κείνου γλῶσσαν ἀποστρέφετε,
συνδέσμων λυγρῶν θηρήτορες, οἷς τὸ μὶν ἢ σφὶν
εὔαδε, καὶ ζητεῖν, εἰ κύνας εἶχε Κύκλωψ,
τρίβοισθ' εἰς αἰῶνα κατατρύζοντες ἀλιτροὶ
ἄλλων· ἐς δ' ἡμᾶς ἰὸν ἀποσβέσατε.

[P] 

### 322. ΑΝΤΙΦΑΝΟΥΣ.

Γραμματικῶν περίεργα γένη, ῥιζώρυχα μούσης
ἀλλοτρίης, ἀτυχεῖς σῆτες ἀκανθοβάται,
τῶν μεγάλων κηλῖδες, ἐπ' Ἠρίννῃ δὲ κομῶντες,
πικροὶ καὶ ξηροὶ Καλλιμάχου πρόκυνες,
ποιητῶν λῶβαι, παισὶ σκότος ἀρχομένοισιν,
ἔῤῥοιτ' εὐφώνων λαθροδάκναι κόριες.

---

Nr. 321. V. 1. γραμματικοῦ. P. Fort. σῆτες ἀκανθῶν c. Scaligero. V. 6. εἰκόνας εἶχε. P. Nr. 322. V. 1. ῥιζώνυχα. P. V. 5. ποιητῶν ... βαι ποσί. P.

### 323. ΠΑΛΛΑΔΑ.

Ῥῶ καὶ Λάμβδα μόνον κόρακας κολάκων διορίζει·
λοιπὸν ταὐτὸ κόραξ βωμολόχος τε κόλαξ.
τοὔνεκά μοι, βέλτιστε, τόδε ζῶον πεφύλαξο,
εἰδὼς καὶ ζώντων τοὺς κόλακας κόρακας.

### 324. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

α· Δέξαι, Φοῖβε, τὸ δεῖπνον, ὅ σοι φέρω. β· ἤν τις ἐάσῃ,
δέξομαι. α· εἶτα φοβῇ καὶ σύ τι, Λητοΐδη;
β· οὐδένα τῶν ἄλλων, πλὴν Ἄῤῥιον· οὗτος ἔχει γὰρ
ἅρπαγος ἰκτίνου χεῖρα κραταιοτέρην·
ἀκνίσσου βωμοῖο νεωκόρος· ἢν τελέσῃ δὲ
τὴν πομπήν, ἄρας ᾤχεθ' ἅπαντα πάλιν.
ἐν Διὸς ἀμβροσίῃ πολλὴ χάρις· εἷς γὰρ ἂν ὑμέων
ἤμην, εἰ λιμοῦ καὶ θεὸς ᾐσθάνετο.

### 325. ΤΟΥ ΑΥΤΟΥ.

Ἐχθὲς δειπνήσας τράγερν πόδα, καὶ δεκαταῖον
κανναβίνης κράμβης μήλινον ἀσπάραγον,
εἰπεῖν τὸν καλέσαντα φυλάσσομαι· ἔστι γὰρ ὀξύς,
καὶ φόβος οὐχ ὁ τυχών, μή με πάλιν καλέσῃ.

---

Nr. 324. V. 5. ἀκνίσου. P.

Digitized by Google

### 326. *ΤΟΥ ΑΥΤΟΥ.*

*Πώγων, καὶ λάσιαι μηρῶν τρίχες, ὡς ταχὺ πάντα*
*ὁ χρόνος ἀλλάσσει· Κόννιχε, τοῦτ' ἐγένου.*
*οὐκ ἔλεγον· μὴ πάντα βαρὺς θέλε, μηδὲ βάναυσος*
*εἶναι· καὶ κάλλους εἰσί τινες Νεμέσεις;*
*ἦλθες ἔσω μάνδρης, ὑπερήφανε· νῦν ὅτι βούλει*
*οἴδαμεν· ἀλλ' ἐξῆν καὶ τότ' ἔχειν σε φρένας.*

### 327. *ΑΝΤΙΠΑΤΡΟΥ ΘΕΣΣΑΛΟΝΙΚΕΩΣ.*

*Τὴν ξηρὴν ἐπὶ νῶτα Λυκαινίδα, τὴν Ἀφροδίτης*
*λώβην, τὴν ἐλάφου παντὸς ἀπυγοτέρην,*
*αἰπόλος ἢ μεθύων οὐκ ἄν ποτε, φασί, συνῴκει,*
*γοῖ, γοῖ. τοιαῦται Σιδονίων ἄλοχοι.*

### 328. *ΝΙΚΑΡΧΟΥ.*

*Τὴν μίαν Ἑρμογένης κἀγώ ποτε, καὶ Κλεόβουλος*
*ἤγομεν εἰς κοινὴν Κύπριν Ἀριστοδίκην.*
[P] *ἧς ἔλαχον μὲν ἐγὼ πολιὴν ἅλα ναιέμεν αὐτός·*
*εἷς γὰρ ἕν, οὐ πάντες πάντα, διειλόμεθα.*
*Ἑρμογένης δ' ἔλαχε στυγερὸν δόμον εὐρώεντα,*
*ὕστατον, εἰς ἀφανῆ χῶρον ὑπερχόμενος,*
*ἔνθ' ἀκταὶ νεκύων καὶ * ἑρμηναῖοι ἠνεμόεντες*
*δινεῦνται πνοιῇ δυςκελάδων ἀνέμων.*

---

Nr. 326. V. 2. *ἀλάσσει.* P. V. 5. *ὅτε β.* P. Nr. 328. V. 5. *εὐρόεντα.* P. V. 7. *ἐρημίαι ἠερόεσσαι τύπτονται.* Br. Fort. *ἐρημαῖοι ἠερόεντες.*

Ζῆνα δὲ θὲς Κλεόβουλον, ὃς Οὐρανὸν εἰςαναβαίνειν,
τὸ ψολόεν κατέχων ἐν χερὶ πῦρ, ἔλαχεν.
γῆ δ᾽ ἔμενε ξυνὴ πάντων· ψίαθον γὰρ ἐν αὐτῇ
στρώσαντες, τὴν γραῦν ὧδε διειλόμεθα.

## 329. *ΤΟΥ ΑΥΤΟΥ.*

Δημῶναξ, μὴ πάντα κάτω βλέπε, μηδὲ χαρίζου
τῇ γλώσσῃ· δεινὴν χοῖρος ἄκανθαν ἔχει.
καὶ σὺ ζῇς ἡμῖν, ἐν Φοινίκῃ δὲ καθεύδεις,
κοὐκ ὢν ἐκ Σεμέλης μηροτραφὴς γέγονας.

## 330. *ΤΟΥ ΑΥΤΟΥ.*

Ἐκλήθην ἐχθές, Δημήτριε· σήμερον ἦλθον
δειπνεῖν. μὴ μέμψῃ, κλίμακ᾽ ἔχεις μεγάλην.
ἐν ταύτῃ πεποίηκα πολὺν χρόνον· οὐδ᾽ ἂν ἐσώθην
σήμερον, ἀλλ᾽ ἀνέβην κέρκον ὄνου κατέχων.
ἧψαι τῶν ἄστρων. Ζεὺς ἡνίκα τὸν Γανυμήδην
ἥρπασε, τῇδ᾽ αὐτόν, φαίνετ᾽, ἔχων ἀνέβη.
ἔνθεν δ᾽ εἰς Ἀΐδην πότ᾽ ἀφίξεαι; οὐκ ἀφυὴς εἶ·
εὕρηκας τέχνην πῶς ἔσῃ ἀθάνατος.

---

V. 9. δέσθες *Κλ.* P. V. 11. ψιάθων. P. Nr. 329. V. 2. χοιρὰς. P. V. 3. συζῇς. Br. Fort. πίνεις τ᾽, ἐν Φ. V. 4. κουκαν. P. Nr. 330. V. 1. χθές. P. V. 4. κίρκον. P. V. 5. ζεῦ et Γανυμίδην. Ib. V. 6. F. φαίνετ᾽ ἔχων ἀναβάς. V. 7. ἀφίξεται. P. V. 8. πω ἔσῃ. P.

### 331. ΤΟΥ ΑΥΤΟΥ.

Εἶχε Φίλων λέμβον Σωτήριχον· ἀλλ' ἐν ἐκείνῳ
σωθῆν' οὐδὲ Ζεὺς αὐτὸς ἴσως δύναται.
οὔνομα γὰρ μόνον ἦν Σωτήριχος· οἱ δ' ἐπιβάντες
ἔπλεον ἢ παρὰ γῆν, ἢ παρὰ Φερσεφόνην.

### 332. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ πλεῖν, ἀλλ' ἀντλεῖν ἡμᾶς Εὔκανδρος ὁ πρωρεὺς
εἰς τὴν εἰκόσορον φαίνεται ἐμβιβάσας·
οὐκ ὀλίγον γὰρ ἔνεστιν ὕδωρ ἔσω, ἀλλ' ὁ Ποσειδῶν
ἐν ταύτῃ διαπλεῖν φαίνεται εἰς τὸ πέραν·
νῦν πρῶτον ναῦς ὦπται ὑδρωπική, ἀλλά γε [δείδω,]
μὴ σορὸν οὖσαν ἴδῃς τὴν πάλαι εἰκόσορον.

### [P] 333. ΚΑΛΛΙΚΤΗΡΟΣ.

Φαρμακίοισι Ῥόδων λέπραν καὶ χοιράδας αἴρει·
τἄλλα δὲ πάντ' αἴρει καὶ δίχα φαρμακίων.

### 334. ΑΔΕΣΠΟΤΟΝ.

Δαμαγόραν καὶ λοιμὸν ἰσόψηφόν τις ἀκούσας
ἔστησ' ἀμφοτέρων τὸν τρόπον ἐκ κανόνος·
εἰς τὸ μέρος δὲ καθείλκετ' ἀνελκυσθὲν τὸ τάλαντον
Δαμαγόρου, λοιμὸν δ' εὗρεν ἐλαφρότερον.

---

Nr. 332. V. 1. πλωρεύς. P. V. 5. ναῦ πρ. et ὑδροπική. P. δείδω om. Id. Nr. 333. V. 1. Φαρμάκοισι. P. Nr. 334. V. 3. καθεῖλκεν. P.

### 335. ΑΔΕΣΠΟΤΟΝ.

Ὦ τλῆμον Κυνέγειρε, καὶ ἐν ζωοῖς καὶ ἀπελθών,
ὡς αἰεὶ κόπτῃ ῥήμασι καὶ κοπίσιν.
πρόσθε μὲν ἐν πολέμοισι τεὴ πέσε μαρναμένη χείρ·
νῦν δέ σ' ὁ γραμματικὸς καὶ ποδὸς ἐστέρεσεν.

### 336. ΑΔΕΣΠΟΤΟΝ.

Τῆς Ἀσίης τὰ λάφυρα λαβὼν ἔπλευσε Καρῖνος
ἤματι χειμερίῳ, δυομένων ἐρίφων·
εἶδε καὶ Ἀδράστεια τὸ φορτίον· [ὃς δ'] ἐφορώσης
ᾤχετο, καὶ πελάγους δαίμοσιν ἐγγελάσας.

### 337. ΑΔΕΣΠΟΤΟΝ.

Βουλεύεις, Ἀγαθῖνε· τὸ Βῆτα δὲ τοῦτ' ἐπρίω νῦν,
εἰπέ, πόσης τιμῆς; Δέλτα γὰρ ἦν πρότερον.

### 338. ΑΔΕΣΠΟΤΟΝ.

Τὴν φωνὴν ἘΝΟΠΗΝ σε λέγειν ἐδίδαξεν Ὅμηρος·
τὴν γλῶσσαν δ' ἘΝΟΠΗΝ τίς σ' ἐδίδαξεν ἔχειν;

### 339. ΑΔΕΣΠΟΤΟΝ.

Τὴν κεφαλὴν σείεις, καὶ τὴν πυγὴν ἀνασείεις·
ἓν μὲν μαινομένου, ἓν δὲ περαινομένου.

---

Nr. 335. V. 2. κοπίσῃ. P. V. 3. Fort. μαρναμένου. V. 4. ἐστέρισε. P. Nr. 336. V. 3. ὃς δὲ non est in P. ἐφορώσῃ. Chardon.

340. ΠΑΛΛΑΔΑ.

Ὤμοσα μυριάκις ἐπιγράμματα μηκέτι ποιεῖν,
πολλῶν γὰρ μωρῶν ἔχθραν ἐπεσπασάμην.
ἀλλ' ὁπόταν κατίδω τοῦ Παφλαγόνος τὸ πρόσωπον
Πανταγάθου, στέξαι τὴν νόσον οὐ δύναμαι.

341. ΤΟΥ ΑΥΤΟΥ.

Αἰνίζειν μὲν ἄριστον· ὁ δὲ ψόγος ἔχθεος ἀρχή.
ἀλλὰ κακῶς εἰπεῖν, Ἀττικόν ἐστι μέλι.

342. ΑΔΕΣΠΟΤΟΝ.

Κήλην κηλήτου μὴ φαινομένου προτέθεικας.
μή μοι τὴν κήλην· αὐτὸν ἰδεῖν * δύναμαι.

[P] 343. ΑΛΛΟ.

Σιλβανὸς δύο παῖδας ἔχων, Οἶνόν τε καὶ Ὕπνον,
οὐκέτι τὰς Μούσας, οὐδὲ φίλους φιλέει.
ἀλλ' ὁ μὲν ἐκ λεχέων νιν εὔῤῥοος ἐς φρένα θέλγει,
ἄλλος δ' ἐς θαλάμους ῥεγχόμενον κατέχει.

---

Nr. 340. V. 4. δύμαμαι. P. Nr. 342. V. 1. προτέθηκας. P. V. 2. ἰδεῖν ἐθέλω. Plan. Nr. 343. V. 2. φίλον φ. P. V. 4. ἐν θαλάμοις. Pl.

344. ἌΛΛΟ.

*εἰς Μητρόδοτον Βένετον ἔχοντα πρασίνην τράπεζαν.*

Μητρόδοτος στυγέων πρασίνων αἰώνιον ἄχθος,
μνημοσύνην μίσους τήνδε τράπεζαν ἔχει.

345. ἌΛΛΟ.

Μητρόφανες, κύκνοψι, δασύθριξ, δῖε, πελαργέ,
τῇ καὶ τῇ κραδάων κεφαλὴν γεράνοισιν ὁμοίην,
μηκεδανὸν καράκαλλον ὑπὲκ δαπέδοιο κομίζεις.

346. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Μέχρι τίνος, Πολύκαρπε, κενῆς παράσιτε τραπέζης,
λήσῃ κερματίοις χρώμενος ἀλλοτρίοις;
οὐ γὰρ ἔτ' εἰν ἀγορῇ σε βλέπω πολύν, ἀλλ' ὑπο-
κάμπτεις
ἤδη, καὶ ζητεῖς, ποῦ σε φέρωσι πόδες.
πᾶσιν ἐπαγγέλλῃ· κόμισαι τὸ σὸν αὔριον, ἔρχου
καὶ λάβε. κοὐδ' ὀμόσας, οὐκέτι πίστιν ἔχεις.
Κυζικόθεν σε φέρων ἄνεμος Σαμόθραξι πέλασσεν.
τοῦτό σε τοῦ λοιποῦ τέρμα μένει βιότου.

347. ΦΙΛΙΠΠΟΥ.

Χαίροιθ' οἱ περὶ κόσμον ἀεὶ πεπλανηκότες ὄμμα,
οἵ τ' ἀπ' Ἀριστάρχου σῆτες ἀκανθολόγοι.

---

Nr. 345. V. 1. κύκνωψι. P. Nr. 346. V. 7. πέλαζε. P.

ποῖ γὰρ ἐμοὶ ζητεῖν, τίνας ἔδραμεν ἥλιος οἴμους,
καὶ τίνος ἦν Πρωτεύς, καὶ τίς ὁ Πυγμαλίων;
γιγνώσκοιμ᾽ ὅσα λευκὸν ἔχει στίχον· ἡ δὲ μέλαινα
ἱστορίη τήκοι τοὺς Περικαλλιμάχους.

348. ΑΝΤΙΦΑΝΟΥΣ.

Ὦ θηρῶν βροτὲ μᾶλλον ἀνήμερε, πάντα σε μισεῖ,
παντολέτωρ· πάντη δ᾽ ἐκδέχεταί σε μόρος.
ἢν ἐπὶ γῆς φεύγῃς, ἀγχοῦ λύκος· ἢν δὲ πρὸς ὕψος
δενδροβατῇς, ἀσπὶς δεῖμ᾽ ὑπὲρ ἀκρεμόνων.
πειράζεις καὶ Νεῖλον; ὁ δ᾽ ἐν δίναις κροκόδειλον
ἔτρεφεν, εἰς ἀσεβεῖς θῆρα δικαιότατον.

349. ΠΑΛΛΑΔΑ.

Εἰπὲ πόθεν σὺ μετρεῖς κόσμον καὶ πείρατα γαίης,
ἐξ ὀλίγης γαίης σῶμα φέρων ὀλίγον.
[P] σαυτὸν ἀρίθμησον πρότερον, καὶ γνῶθι σεαυτόν,
καὶ τότ᾽ ἀριθμήσεις γαῖαν ἀπειρεσίην.
εἰ δ᾽ ὀλίγον πηλὸν τοῦ σώματος οὐ καταριθμεῖς,
πῶς δύνασαι γνῶναι τῶν ἀμέτρων τὰ μέτρα;

350. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς δικολόγον ἀδικοῦντα.

Νήπιε, πῶς σε λέληθε Δίκης ζυγόν, οὐ νοέεις δὲ
ἀνδράσιν οὐχ ὁσίοις ψῆφον ὀφειλομένην;

Digitized by Google

ῥήτρῃ πιστεύεις πυκινόφρονι, σῇ τε μενοινῇ
ποικίλον αὐδῆσαι μῦθον ἐπισταμένῃ.
ἐλπίζειν ἔξεστι· Θέμιν δ' οὐκ οἶδεν ἀμεῖψαι
τῆς σῆς ἠλεμάτου παίγνια φαντασίης.

### 351. ΠΑΛΛΑΔΑ.

Τῷ πτισάνην πωλοῦντι τὸ κελλίον ἐχθὲς ἔδωκα,
καὶ φοβερὸν πύκτην σήμερον εὗρον ἔσω.
ὡς δ' ἔλεγον, σὺ τίς εἶ; πόθεν ἤλυθες ἡμέτερον δῶ;
πυγμαχίης κατ' ἐμοῦ χεῖρας ἀνέσχεν ἄνω.
ψύττα δ' ἐγὼ κατέτεινα, φοβεύμενος ἄγριον ἄνδρα,
τὸν πτισάναν πύκτην ἐξαπίνης ὁρόων.
ἀλλά σε, πρὸς πύκτου Πολυδεύκεος, ἠδὲ καὶ αὐτοῦ
Κάστορος, ἱκνοῦμαι, καὶ Διὸς ἱκεσίου,
τὸν πύκτην ἀπόκρουσον, ἐμὸν χόλον. οὐ δύναμαι γὰρ
πυκτεύειν καθάπαξ μηνὸς ἐπερχομένου.

### 352. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Τὸν σοφὸν ἐν κιθάρῃ, τὸν μουσικὸν Ἀνδροτίωνα
εἴρετό τις τοίην κρουματικὴν σοφίην·
Δεξιτερὴν ὑπάτην ὁπότε πλήκτροισι δόνησας,
ἡ λαιὴ νήτη πάλλεται αὐτομάτως

Nr. 350. V. 3. ποικινόφρονι. P. V. 6. παίγνιον. P. Nr. 351. V. 6. πτισανᾶν. Br. Fort. τὸν πτιστὴν c. Scaligero. V. 7. ἠὲ καὶ αὐτοις. P.

λεπτὸν ὑποτρύζουσα, καὶ ἀντίτυπον τερέτισμα
πάσχει, τῆς ἰδίης πλησσομένης ὑπάτης·
ὥςτε με θαυμάζειν, πῶς ἄπνοα νεῦρα ταθέντα
ἡ φύσις ἀλλήλοις θήκατο συμπαθέα.
ὃς δὲ τὸν ἐν πλήκτροισιν Ἀριστόξεινον ἀγητὸν
ὤμοσε μὴ γνῶναι τήνδε θεημοσύνην·
ἔστι δ', ἔφη, λύσις ἥδε. τὰ νευρία πάντα τέτυκται
ἐξ ὄϊος χολάδων ἄμμιγα τερσομένων.
[P] τοὔνεκεν εἰσὶν ἀδελφά, καὶ ὡς ξύμφυλα συνηχεῖ,
ξυγγενὲς ἀλλήλων φθέγμα μεριζόμενα.
γνήσια γὰρ τάδε πάντα, μιῆς ἅτε γαστρὸς ἐόντα,
καὶ τῶν ἀντιτύπων κληρονομεῖ πατάγων.
καὶ γὰρ δεξιὸν ὄμμα κακούμενον ὄμματι λαιῷ
πολλάκι τοὺς ἰδίους ἀντιδίδωσι πόνους.

### 353. ΠΑΛΛΑΔΑ.

Ἑρμολύκου θυγάτηρ μεγάλῳ παρέλεκτο πιθήκῳ·
ἡ δ' ἔτεκεν πολλοὺς Ἑρμοπιθηκιάδας.
εἰ δ' Ἑλένην ὁ Ζεὺς καὶ Κάστορα καὶ Πολυδεύκην
ἐκ Λήδης ἔτεκεν, κύκνον ἀμειψάμενος,
Ἑρμιόνῃ γε κόραξ παρελέξατο· ἡ δὲ τάλαινα
φρικτῶν δαιμονίων ἑρμαγέλην ἔτεκεν.

---

Nr. 352. V. 7. ἄπνοια. P. V. 9. οἱ δέ. P. πλήκτοισιν. P.

Digitized by Google

### 354. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

*Ἄλλον Ἀριστοτέλην, Νικόστρατον, ἰσοπλάτωνα,*
*σκινδαλαμοφράστην αἰπυτάτης σοφίης,*
*τοῖα περὶ ψυχῆς τις ἀνείρετο· πῶς θέμις εἰπεῖν*
*τὴν ψυχήν, θνητήν, ἢ πάλιν ἀθάνατον;*
*σῶμα δὲ δεῖ καλέειν, ἢ ἀσώματον; ἐν δὲ νοητοῖς*
*τακτέον, ἢ ληπτοῖς, ἢ τὸ συναμφότερον;*
*αὐτὰρ ὃ τὰς βίβλους ἀνελέξατο τῶν μετεώρων,*
*καὶ τὸ περὶ ψυχῆς ἔργον Ἀριστοτέλους,*
*καὶ παρὰ τῷ Φαίδωνι Πλατωνικὸν ὕψος ἐπιγνοὺς*
*πᾶσαν ἐνησκήθη πάντοθεν ἀτρεκίην.*
*εἶτα περιστέλλων τὸ τριβώνιον, εἶτα γενείου*
*ἄκρα καταψήχων, τὴν λύσιν ἐξέφερεν·*
*εἴπερ ὅλως ἔστι ψυχῆς φύσις, οὐδὲ γὰρ οἶδα,*
*ἢ θνητὴ πάντως ἐστὶν ἢ ἀθάνατος,*
*στεγνοφυὴς ἢ ἄϋλος· ὅταν δ' Ἀχέροντα περήσῃς,*
*κεῖθι τὸ νημερτὲς γνώσεαι, ὡς ὁ Πλάτων.*
*εἰ δ' ἐθέλεις, τὸν παῖδα Κλεόμβροτον Ἀμβρακιώτην*
*μιμοῦ, καὶ τεγέων σὸν δέμας ἐκχάλασον.*
*καί κεν ἐπιγνοίης δίχα σώματος αὐτίκα σαυτόν,*
*μοῦνον ὅπερ ζητεῖς τοῦθ' ὑπολειπόμενος.*

### 355. ΠΑΛΛΑΔΑ.

*Πάντα μὲν οἶδα, λέγεις· ἀτελὴς δ' ἐν πᾶσιν ὑπάρχεις.*
*γευόμενος πάντων οὐδὲν ἔχεις ἴδιον.*

---

Nr. 354. V. 13. ἐστὶ ψυχή. Br.

[P] 356. ΑΔΕΣΠΟΤΟΝ.

Εἰς σὲ καὶ ἀψευδὴς ἐψεύσατο βίβλος Ὁμήρου,
ὁπλοτέρων ἐνέπουσα μετήορα δήνεα φωτῶν.

357. ΠΑΛΛΑΔΑ.

[Υἱὸς καὶ γενετὴρ δῆριν φιλόνεικον ἔθεντο,
τίς πλέον ἐκδαπανῶν κλῆρον ἅπαντα φάγῃ.
καὶ μετὰ τὴν βρῶσιν τὴν χρηματικὴν μάλα πᾶσαν,
ὕστατον ἀλλήλους λοιπὸν ἔχουσι φαγεῖν.]

358. ΑΛΛΟ.

Ῥουφινιανὸς Ῥοῦφος ὢν δισύλλαβος,
συνεξέτεινε τοῖς κακοῖς τὰς συλλαβάς·
οὐ λανθάνει δὲ τὴν δισύλλαβον Δίκην.
κληθήσεται γὰρ καὶ δισύλλαβος πάλιν,
Ῥοῦφος κακοῦργος καὶ γόης, ὡς ἦν ποτέ.

359. ΑΛΛΟ.

Ὦ τῆς ἁπάσης δυνάμεως ὑπέρτατε,
σῶσόν με τὸν δύστηνον ἐκ παντὸς φθόνου·
θέλεις ἀκοῦσαι, βούλομαι κἀγὼ λέγειν·
τὸ γὰρ θέλημα τὴν χάριν τίκτει διπλῆν,

---

Nr. 358. V. 5. ὢν ἦν. P.

Digitized by Google

διπλοῦν τε κάλλος τῷ λόγῳ χαρίζεται,
λέγοντι κόσμος, καὶ κλύοντι σεμνότης·
φωστὴρ γὰρ εἶ σὺ καὶ λόγων καὶ τῶν νόμων,
νόμοις δικάζων καὶ λόγοισιν ἐκπρέπων·

*   *

αἴλουρον εἶδον χρυσίου τὸν πρίσκιπα,
ἢ βδέλλαν ῥώμην, χρυσοκόλλητον χόλον.

### 360. ΑΛΛΟ.

Νῦν ὁ στρατηγὸς Ἑρμανούβης * ἐγένου
κύων, ἀδελφοὺς συλλαβὼν ἑρμὰς δύο,
ἀσημοκλέπτας, συνδεθέντας σχοινίῳ,
ψυχρούς, ἀώρους, Ταρταρίους τε δαίμονας.
οὐκ οἶδα χῶρον τοῦ τρόπου κατήγορον·
τρόπον δὲ χώρου τὸν κατήγορον λέγω.

### 361. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Ἡμίονοι σύγγηροι ἐμὴν κομέουσιν ἀπήνην,
    ταῖσιν Ὁμηρείοις πάντα Λιταῖς ἴκελαι,
χωλαί τε, ῥυσαί τε, παραβλῶπές τ' ὀφθαλμώ,
    Ἡφαίστου πομπή, σκύτινα δαιμόνια,
οὔ ποτε γευσάμεναι, μὰ τὸν Ἥλιον, οὐδ' ἐν ὀνείρῳ
    οὐ θέρεος κριθήν, οὐκ ἔαρος βοτάνην.

---

Nr. 359. V. 9. Fort. πρίγκιπα. V. 10. Fort. ὠμήν, χρ. κόλον. Nr. 360. V. 1. ἐγένετο. Nr. 361. V. 1. κοιμέουσιν. P. V. 3. ὀφθαλμῶν. P.

[P] τοὔνεκ' ἐμεῦ μὲν ἔκητι βίον ζώοιτε κορώνης
[ἢ ἐλάφου], κενεὴν ἠέρα βοσκόμεναι.

## 362. ΚΑΛΛΙΜΑΧΟΥ.

Εὐδαίμων ὅτι τἄλλα μανεὶς ὡρχαῖος Ὀρέστας
* λευκαρεταυμαν οὐκ ἐμάνη μανίην·
οὐδ' ἔλαβ' ἐξέτασιν τῶ Φωκέος, ἅτις ἐλέγχει
τὸν φίλον, ἄλλαν, χ' ἓν δρᾶμ' ἐδίδαξε μόνον.
ἦ τάχα καὶ τὸν ἑταῖρον ἀπώλεσε τοῦτο ποήσας·
κἀγὼ τοὺς πολλοὺς οὐκέτ' ἔχω Πυλάδας.

## 363. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Οὐκέτ' Ἀλεξανδρεῦσι τὰ τίμια, χὠ Πτολεμαίου
μόσχος ἐν ἠϊθέοις λαμπάδι κῦδος ἔχει·
ὁ Πτολεμαίου μόσχος, ἰὼ πόλι· ποῦ δὲ τὰ μητρὸς
αἴσχεα, πανδήμου τ' ἐργασίαι τέγεος;
ποῦ δὲ * * * συφόρβια; τίκτετε, πόρναι,
τίκτετε, τῷ Μόσχου πειθόμεναι στεφάνῳ.

## 364. ΒΙΑΝΟΡΟΣ.

Οὗτος ὁ μηδέν, ὁ λιτός, ὁ καὶ λάτρις, οὗτος, ὁρᾶτε,
ἐστί τινος ψυχῆς κύριος ἀλλοτρίης.

---

V. 8. ἢ ἐλάφου om. P. νέην ἱερά. Ib. Nr. 362. V. 1. ταλαμανεὶς. P V. 2. Fort. λευκαρεταινομανῶν. V. 4. ἀλλαιχ' ἕν. P. V. 5. Fort. τάχα κεν. Nr. 363. V. 4. πάνδημοι. V. 5. ποῦ δὲ κασαίρια, ποῦ δὲ σ. corr. Chard. Nr. 364. V. 1. λειτός. P.

### 365. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

*Καλλιγένης ἀγροῖκος, ὅτε σπόρον ἔμβαλε γαίῃ,*
*οἶκον Ἀριστοφάνους ἤλθεν ἐς ἀστρολόγου,*
*ἤτεε δ' ἐξερέειν, εἴπερ θέρος αἴσιον αὐτῷ*
*ἔσται, καὶ σταχύων ἄφθονος εὐπορίη.*
*ὃς δὲ λαβὼν ψηφῖδας, ὑπὲρ πίνακός τε πυκάζων,*
*δάκτυλά τε γνάμπτων, φθέγξατο Καλλιγένει·*
*εἴπερ ἐπομβρηθῇ τὸ ἀρούριον, ὅσσον ἀπόχρη,*
*μηδέ τιν' ὑλαίην τέξεται ἀνθοσύνην,*
*μηδὲ πάγος ῥήξῃ τὴν αὔλακα, μηδὲ χαλάζη*
*ἄκρον ἀποδρυφθῇ δράγματος ὀρνυμένου,*
[¶] *μηδὲ νεβροὶ κείρωσι τὰ λήϊα, μηδέ τιν' ἄλλην*
*ἠέρος ἢ γαίης ὄψεται ἀμπλακίην,*
*ἐσθλόν σοι τὸ θέρος μαντεύομαι, εὖ δ' ἀποκόψεις*
*τοὺς στάχυας· μούνας δείδιθι τὰς ἀκρίδας.*

### 366. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

*Φειδωλός τις ἀνὴρ ἀφόων θησαυρὸν ὀνείρῳ,*
*ἤθελ' ἀποθνήσκειν, πλούσιον ὕπνον ἔχων·*
*ὡς δ' ἴδε τὴν προτέρην, σκιόεν μετὰ κέρδος ὀνείρου,*
*ἐξ ὕπνου πενίην, ἀντικάθευδε πάλιν.*

---

Nr. 365. V. 8. *ἀντοσύνην*. P. V. 11. *μηδὲ κεμάδες κείρωσι*. P. Fort. *μὴ κεμάδες δὲ κεροῦσι*. V. 12. Fort. *ὄψεαι* cum Scaligero. V. 13. Fort. *μαντεύομαι· εἰ δ' ἀποκόψεις τ. σ., μούνας*... Nr. 366. V. 4. *ἀντεκάθευδε*. Br.

### 367. ΙΟΥΛΙΑΝΟΥ ΑΝΤΙΚΕΝΣΟΡΟΣ.

Ὄψιν ἔχεις στρουθῷ πανομοίϊον. ἦ ῥά σε Κίρκη
ἐς πτηνὴν μετέθηκε φύσιν, κυκεῶνα πιόντα.

### 368. ΤΟΥ ΑΥΤΟΥ.

Ἀμητὸς πολύς ἐστι τεὴν κατὰ δάσκιον ὄψιν·
τῷ σε χρὴ δρεπάνοισι, καὶ οὐ ψαλίδεσσι καρῆναι.

### 369. ΤΟΥ ΑΥΤΟΥ.

Ἀσφαλέως οἴκησον ἐν ἄστεϊ, μή σε κολάψῃ
αἵματι Πυγμαίων ἡδομένη γέρανος.

### 370. ΜΑΚΗΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Οὐ λαλέει τὸ κάτοπτρον· ἐγὼ δέ σε * πάλιν ἐλέγξω
τὴν νοθοκαλλοσύνην φύκεϊ χριομένην.
τοῦτο καὶ ἡδυλύρης ποτὲ Πίνδαρος .... ἐλέγχων,
εἶπεν ἄριστον ὕδωρ, φύκεος ἐχθρότατον.

### 371. ΠΑΛΛΑΔΑ.

Μή με κάλει δίσκων ἐπιΐστορα λιμοφορήων
βρωτύν μοι φορέων τὴν κολοκυνθιάδα.

---

Nr. 367. V. 1. παρομοΐϊον. P. V. 2. μετεθεικε (η superscript). P. Nr. 370. V. 1. σ' ἔπηλυν. Scalig. V. 3. αἶσχος inseruit Br.

ἀργυρέην ὕλην οὐ τρώγομεν, ἣν παραβάλλεις,
λιμῷ κρητίζων τοὺς μελέους πίνακας.
ζήτει νηστεύοντας ἐς ἀργαλέην ἐπίδειξιν,
καὶ τότε θαυμάζου, κοῦφον ἄσημον ἔχων.

### 372. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Σῶμα φέρων σκιοειδές, ἀδερκέϊ σύμπνοον αὔρῃ,
μή ποτε θαρσήσῃς ἄγχι τινὸς πελάσαι,
μή τις ἔσω μυκτῆρος ἀναπνείων σε κομίσσῃ,
ἄσθματος ἠερίου πολλὸν ἀφαυρότερον.
οὐ σὺ μόρον τρομέεις· τότε γὰρ πάλιν οὐδὲν ἀμείψας
ἔσσεαι ὡςαύτως φάσμα, τόπερ τελέθεις.

### 373. ΠΑΛΛΑΔΑ.

εἰς ποιητὴν κυβεύοντα.

Πάντων μουσοπόλων ἡ Καλλιόπη θεός ἐστιν.
ἡ σὴ Καλλιόπη Ταβλιόπη λέγεται.

### 374. ΜΑΚΕΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τῷ ψιμύθῳ μὲν ἀεὶ λιποσαρκέα τεῖνε παρειήν,
Λαοδίκη, λαοῖς ἔνδικα τινυμένη·

---

Nr. 371. V. 5. εἰς ἀργ. Fort. ἀργυρέην cum Scaligero. V. 6. θαυμάζῃ. P. Nr. 372. V. 4. ἐλαφρότερον. Plan. Nr. 374. V. 1. τῷ om. P.

[P] μή ποτε δ' εὐρύνῃς σέο χείλεα· τίς γὰρ ὀδόντων
ὄρχατον ἐμπήξει φαρμακόεντι δόλῳ;
τὴν χάριν ἐξέῤῥευσας ὅσην ἔχες. οὐκ ἀπὸ πηγῆς
ἀγλαΐη μελέων ἕλκεται ἀενάου.
ὡς δὲ ῥόδον θαλέθεσκες ἐν εἴαρι· νῦν δ' ἐμαράνθης,
γήραος αὐχμηρῷ καρφομένη θέρεϊ.

### 375. ΤΟΥ ΑΥΤΟΥ.

Ἔπταρον ἄγχι τάφοιο, καὶ ἤθελον αὐτὸς ἀκοῦσαι
οἷά περ ὠϊσάμην, μοῖραν ἐμῆς ἀλόχου.
ἔπταρον εἰς ἀνέμους· ἄλοχον δέ μοι οὔ τι κιχάνει
λυγρὸν ἐν ἀνθρώποις, οὐ νόσος, οὐ θάνατος.

### 376. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ῥήτορα πρὸς Διόδωρον ἀνὴρ δείλαιος ἀπελθὼν,
εἴρετό μιν τοίης ἀμφὶ δικασπολίης·
ἡμετέρη θεράπαινα φύγεν ποτέ· τὴν δέ τις εὑρὼν,
ἀλλοτρίην τ' εἶναι λάτριν ἐπιστάμενος,
ζεῦξεν ἑῷ θεράποντι· τέκεν δ' ὑπὸ παῖδας ἐκείνῳ·
καὶ τίνι δουλεύειν εἰσὶ δικαιότεροι;
ὃς δ' ὅτε μερμήριξε, καὶ ἔδρακε βίβλον ἑκάστην,
εἶπεν ἐπιστρέψας γυρὸν ἐπισκύνιον·
Ἢ σοὶ, ἢ τῷ ἑλόντι τεὴν θεράπαιναν, ἀνάγκη
δουλεύειν κείνους, ὧν χάριν ἐξερέεις·

---

V. 5. ἀπὸ γαίης. P. Nr. 375. V. 1. Fort. ἀντεσακοῦσαι. V. 4. λύτρον. P. Nr. 376. V. 9. ἢ om. P. V. 10. κείνων. P.

Digitized by Google

δίζεο δ' εὐμενέοντα δικασπόλον, αἶψα δ' ἀποίσεις
ψῆφον ἀρειοτέρην, εἴγε δίκαια λέγεις.

377. ΠΑΛΛΑΔΑ.

Ὄρνεον ἠσθίομεν κεκλημένοι ἄθλιον ἄνδρες,
ἄλλων ὀρνίθων βρώματα γιγνόμενοι.
καὶ τὸν μὲν Τιτυὸν κατὰ γῆς δύο γῦπες ἔδουσιν,
ἡμᾶς δὲ ζῶντας τέσσαρες αἰγυπιοί.

378. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ δύναμαι γαμετῆς καὶ γραμματικῆς ἀνέχεσθαι,
γραμματικῆς ἀπόρου, καὶ γαμετῆς ἀδίκου.
ἀμφοτέρων τὰ πάθη θάνατος καὶ μοῖρα τέτυκται.
τὴν οὖν γραμματικὴν [καὶ] μόλις ἐξέφυγον·
οὐ δύναμαι δ' ἀλόχου τῆς ἀνδρομάχης ἀναχωρεῖν,
εἴργει χάρτης γὰρ καὶ νόμος Αὐσόνιος.

[₱] 379. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Οὔ τις ἀλοιητῆρας ἰδεῖν τέτληκεν ὀδόντας
ὑμετέρους, ἵνα σοῖς ἐν μεγάροις πελάσῃ·
εἰ γὰρ ἀεὶ βούβρωστιν ἔχεις Ἐρυσίχθονος αὐτοῦ,
ναὶ τάχα δαρδάψεις καὶ φίλον ὃν καλέεις.

---

V. 11. ἀποίσῃ. Pl. V. 12. λέγοις. Plan. Nr. 378. V. 2. γαμετῆς μαχίμου. Plan. V. 4. καὶ supped. Plan. Fort. νῦν μόλις. V. 6. Fort. γὰρ χάρτης. Nr. 379. V. 2. σῆς. P. V. 3. ἔχει. P.

ἀλλ' οὐ σεῖο μέλαθρά με δέξεται· οὐ γὰρ ἔγωγε
βήσομαι ὑμετέρῃ γαστρὶ φυλαξόμενος.
εἰ δέ ποτ' ἐς τεὸν οἶκον ἐλεύσομαι, οὐ μέγ' ἄνυσσεν
Λαρτιάδης Σκύλλης χάσμασιν ἀντιάσας·
ἀλλ' ἔσομαι πολύτλας τις ἐγὼ πλέον, εἰ σὲ περήσω,
Κύκλωπος κρυεροῦ μηδὲν ἐλαφρότερον.

380. ΜΑΚΕΔΟΝΙΟΥ ΥΠΑΤ.

Παρθένος εὐπατέρεια Δίκη, πρέσβειρα πολήων,
οὐ τὸν ἐν εὐσεβίῃ χρυσὸν ἀποστρέφεται.
ἀλλὰ καὶ αὐτὰ τάλαντα Διὸς πάγχρυσα τελέσθη,
οἷσι ταλαντεύει πάντα νόμον βιότου·
„καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα,"
εἰ μὴ Ὁμηρείων ἐξελάθου χαρίτων.

381. ΠΑΛΛΑΔΑ.

Πᾶσα γυνὴ χόλος ἐστίν· ἔχει δ' ἀγαθὰς δύω ὥρας,
τὴν μίαν ἐν θαλάμῳ, τὴν μίαν ἐν θανάτῳ.

382. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Κεῖτο μὲν Ἀλκιμένης κεκακωμένος ἐκ πυρετοῖο,
καὶ περὶ λαυκανίην βραγχὰ λαρυγγιόων,

---

V. 5. μέλαθρα δεδέξεται. P. V. 6. βήσομ' ὑφ' ὑμετέρῃ γαστρὶ λαφυξόμενος. Plan. V. 8. λαερτιάδης et χήμασιν. P. Nr. 380. V. 2. αὐτόν. P. Nr. 381. V. 1. δύο. P.

Digitized by Google

νυσσόμενός τε τὸ πλευρὸν ἅτε ξιφέεσσιν ἀμυχθέν,
    καὶ θαμὰ δυςκελάδοις ἄσθμασι πνευστιόων·
ἦλθε δὲ Καλλίγνωτος ὁ Κώϊος, ὁ πλατυλέσχης,
    τῆς παιωνιάδος πληθόμενος σοφίης,
πᾶσαν ἔχων πρόγνωσιν ἐν ἄλγεσιν, οὔ τι περιττὸν
    ἄλλο προαγγέλλων, ἢ τὸ γενησόμενον.
Ἀλκιμένους δ' ἐδόκευεν ἀνάκλισιν, ἔκ τε προσώπου
    φράζετο, καὶ παλάμης ψαῦεν ἐπισταμένως,
καὶ τὸ περὶ κρισίμων φαέων ἐλογίζετο γράμμα,
    πάντ' ἀναπεμπάζων, οὐχ ἑκὰς Ἱπποκράτους.
[P] καὶ τότε τὴν πρόγνωσιν ἐς Ἀλκιμένην ἀνεφώνει
    σεμνοπροσωπήσας καὶ σοβαρευόμενος·
εἴ γε φάρυγξ βομβεῦσα, καὶ ἄγρια τύμματα πλευροῦ,
    καὶ πυρετῷ λήξῃ πνεῦμα δασυνόμενον,
οὐκέτι τεθνήξει πλευρίτιδι· τοῦτο γὰρ ἡμῖν
    σύμβολον ἐσσομένης ἐστὶν ἀπημοσύνης.
θάρσει· τὸν νομικὸν δὲ κάλει, καὶ χρήματα σαυτοῦ
    εὖ διαθείς, βιότου λῆγε μεριμνοτόκου,
καί με τὸν ἰητρόν, προῤῥήσιος εἵνεκεν ἐσθλῆς,
    ἐν τριτάτῃ μοίρῃ κάλλιπε κληρονόμον.

---

Nr. 382. V. 5. καλλίγνωστος. P. V. 9. ἐκ τοῦ πρ. P. V. 16. λήξει. Plan. V. 22. κάλλιπες. P.

Digitized by Google

383. ΠΑΛΛΑΔΑ.

Ἦν ἄρα καὶ κάνθωσι Τύχη χαλεπή τε καὶ ἐσθλή,
καὶ Κρόνος ὡρονομεῖ τετραπόδων γένεσιν.
ἐξότε γὰρ καὶ τοῦτον ὄνον χαλεπὸς χρόνος ἔσχεν,
ἐξ ἀλαβαρχείης γραμματικοῦ γέγονεν.
τλῆθι φέρειν λοιπόν, κανθήλιε· γραμματικοῖς γὰρ
οὐδὲ τέλος κριθή, κρῖ δὲ μόνον λέγεται.

384. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μοναχοί, τί τοσοίδε; τοσοίδε δέ, πῶς πάλι μοῦνοι;
ὦ πληθὺς μοναχῶν ψευσαμένη μονάδα.

385. ΤΟΥ ΑΥΤΟΥ.

Πλαστὸν ἔχεις τὸν ἔρωτα, φόβῳ δὲ φιλεῖς καὶ ἀνάγκῃ,
τοῦ δὲ φιλεῖν οὕτως οὐδὲν ἀπιστότερον.

386. ΤΟΥ ΑΥΤΟΥ.

Στυγνὴν τὴν Νίκην τις ἰδὼν κατὰ τὴν πόλιν ἐχθές,
εἶπε· Θεὰ Νίκη, τίπτε πέπονθας ἄρα;
ἡ δ' ἀποδυρομένη καὶ μεμφομένη κρίσιν, εἶπεν·
οὐκ ἔγνως σὺ μόνος; Πατρικίῳ δέδομαι.

---

Nr. 383. V. 5. κανθήλια. P. V. 6. κριθῇ. P. Fort. οὐ τελέως c. Br. Nr. 384. V. 1. τοσοίδέ γε et πάλιν. P. V. 2. πληθούς. P.

ἣν ἄρα καὶ Νίκη πολυώδυνος, ἣν παρὰ θεσμὸν
Πατρίκιος ναύτης ἥρπασεν ὡς ἄνεμον.

### 387. *ΤΟΥ ΑΥΤΟΥ.*

Πάντες ἅπαξ τρώγουσιν· ὅταν δὲ τρέφῃ Σαλαμῖνος,
οἴκαδ' ἀριστῶμεν δεύτερον ἐρχόμενοι.

### 388. *ΛΟΥΚΙΛΛΙΟΥ.*

Ἄχρις ἂν ᾖς ἄγαμος, Νουμήνιε, πάντα δοκεῖ σοι
ἐν τῷ ζῆν εἶναι τῶν ἀγαθῶν ἀγαθά.
εἶθ' ὅταν εἰςέλθῃ γαμετή, πάλιν εὐθὺ δοκεῖ σοι
ἐν τῷ ζῆν εἶναι πάντα κακῶν τὰ κακά.
ἀλλὰ χάριν τεκνίων; ἕξεις, Νουμήνιε, τέκνα,
χαλκὸν ἔχων· πτωχὸς δ' οὐδὲ τὰ τέκνα φιλεῖ.

### [P] 389. *ΤΟΥ ΑΥΤΟΥ.*

Εἰ μὲν ζῇς ἐλάφου ταναὸν χρόνον, ἠὲ κορώνης,
συγγνώμη πλεῖστον πλοῦτον ἀγειρομένῳ.
εἰ δέ τις ἐσσὶ βροτῶν, οὓς αὐτίκα γῆρας ἰάπτει,
μή σέ γ' ἀπειρεσίων οἶστρος ἕλῃ κτεάνων·
μὴ σὺ μὲν ἀτλήτοισιν ἐν ἄλγεσι θυμὸν ὀλέσσῃς,
χρήσωνται δ' ἄλλοι σοῖς ἀγαθοῖς ἀπόνως.

---

Nr. 386. V. 5. καὶ δίκη. P. Nr. 388. V. 2. τἀγαθὰ τῶν ἀγαθῶν. Plan. V. 6. οὐδὲ τέκνα. P, Nr. 389. V. 6. χρήσονται. P.

### 390. *ΤΟΥ ΑΥΤΟΥ.*

*Εἴ με φιλεῖς, ἔργῳ με φίλει, καὶ μή μ' ἀδικήσῃς,*
*ἀρχὴν τοῦ βλάπτειν τὴν φιλίαν θέμενος.*
*πᾶσι γὰρ ἀνθρώποισιν ἐγὼ πολὺ κρέσσονα φημὶ*
*τὴν φανερὰν ἔχθραν τῆς δολερῆς φιλίας.*
*φασὶ δὲ καὶ νήεσσιν ἁλιπλανέεσσι χερείους*
*τὰς ὑφάλους πέτρας τῶν φανερῶν σπιλάδων.*

### 391. *ΤΟΥ ΑΥΤΟΥ.*

*Μῦν Ἀσκληπιάδης ὁ φιλάργυρος εἶδεν ἐν οἴκῳ,*
*καί, τί ποιεῖς, φησίν, φίλτατε μῦ παρ' ἐμοί;*
*ἡδὺ δ' ὁ μῦς γελάσας, μηδέν, φίλε, φησί, φοβηθῇς,*
*οὐχὶ τροφῆς παρὰ σοὶ χρῄζομεν, ἀλλὰ μονῆς.*

### 392. *ΤΟΥ ΑΥΤΟΥ.*

*Μύρμηκος πτερόεντος ὑπὲρ νώτοιο καθεσθεὶς*
*Ἄδραστος ῥήτωρ τοῖον ἔλεξεν ἔπος·*
*Ἵπτασο, τὸν σὸν ἔχεις, ὦ Πήγασε, Βελλεροφόντην,*
*φέρτατον ἡρώων, ἡμιθανῆ σκελετόν.*

### 393. *ΤΟΥ ΑΥΤΟΥ.*

*Οὐκ ἔστιν θυγατρὸς μεῖζον βάρος· εἰ δὲ δοκεῖ σοι,*
*Εὐκτήμων, εἶναι κοῦφον, ἄκουσον ἐμοῦ.*
*ἔστιν σοὶ κήλη, κἀμοὶ θυγάτηρ· λάβε ταύτην,*
*καὶ δός μοι κήλας ἀντὶ μιᾶς ἑκατόν.*

Digitized by Google

394. ΑΛΛΟ.

Ποιητὴς πανάριστος ἀληθῶς ἐστιν ἐκεῖνος,
ὅςτις δειπνίζει τοὺς ἀκροασαμένους.
ἢν δ᾽ ἀναγιγνώσκῃ, καὶ νήστιας οἴκαδε πέμπῃ,
εἰς αὐτὸν τρεπέτω τὴν ἰδίαν μανίην.

395. ΝΙΚΑΡΧΟΥ.

Πορδὴ ἀποκτέννει πολλοὺς ἀδιέξοδος οὖσα·
πορδὴ καὶ σώζει τραυλὸν ἰεῖσα μέλος.
οὐκοῦν εἰ σώζει, καὶ ἀποκτέννει πάλι πορδή,
τοῖς βασιλεῦσιν ἴσην πορδὴ ἔχει δύναμιν.

[ꟼ] 396. ΛΟΥΚΙΑΝΟΥ.

Πολλάκις οἶνον ἔπεμψας [ἐμοί], καὶ πολλάκις ἔγνων
σοὶ χάριν, ἡδυπότῳ νέκταρι τερπόμενος.
νῦν δ᾽ εἴπερ με φιλεῖς, μὴ πέμψῃς· οὐ δέομαι γὰρ
οἴνου τοιούτου, μηκέτ᾽ ἔχων θρίδακας.

397. ΤΟΥ ΑΥΤΟΥ.

Πολλὰς μυριάδας ψηφίζων Ἀρτεμίδωρος,
καὶ μηδὲν δαπανῶν, ζῇ βίον ἡμιόνων,
πολλάκις αἳ χρυσοῦ τιμαλφέα φόρτον ἔχουσαι
πολλὸν ὑπὲρ νώτου, χόρτον ἔδουσι μόνον.

---

Nr. 394. V. 3. πέμπει. P. Nr. 395. V. 3. οὐκοῦν καί. P. πάλιν. Ib. Nr. 396. V. 1. ἐμοί. om. P.

### 398. ΝΙΚΙΟΥ.

Τὴν κεφαλὴν βάπτων τις ἀπώλεσε τὰς τρίχας αὐτάς,
καὶ δασὺς ὢν λίαν, ᾠὸν ἅπας γέγονεν.
τοῦτο βαφεὺς ἐπόησε, τὸ μηκέτι κουρέα τέμνειν
μήτε κόμην λευκήν, μήτε μελαινομένην.

### 399. ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Γραμματικός ποτ' ὄνῳ ἐποχούμενος ἐξεκυλίσθη,
καὶ τῆς γραμματικῆς, ὡς λόγος, ἐξέπεσεν·
εἶθ' ἑξῆς ἐβίου κοινὸν βίον, ὡς ἰδιώτης,
ὧν ἐδίδασκεν ἀεὶ μηδὲν ἐπιστάμενος.
ἀλλὰ Γλύκων ἔπαθεν τοὐναντίον· ὢν γὰρ ἄπειρος
καὶ κοινῆς γλώττης, οὐχ ὅτι γραμματικῆς,
νῦν Λιβυκοὺς κάνθωνας ὀχούμενος, εἶτ' ἀποπίπτων
πολλάκις, ἐξαίφνης γραμματικὸς γέγονεν.

### 400. ΛΟΥΚΙΑΝΟΥ.

Ἵλαθι Γραμματικὴ φυσίζοε, ἵλαθι λιμοῦ
φάρμακον εὑρομένη „Μῆνιν ἄειδε θεά.“
νηὸν ἐχρῆν καὶ σοὶ περικαλλέα δωμήσασθαι,
καὶ βωμὸν θυέων μή ποτε δευόμενον.
καὶ γάρ σου μεσταὶ μὲν ὁδοί, μεστὴ δὲ θάλασσα
καὶ λιμένες, πάντων δέκτρια Γραμματική.

---

Nr. 398. V. 3. ἐβόησε. P. Nr. 400. V. 1. ἵλαθι μοῦσα. P. V. 2 εὑρομένα. P. V. 6. λέκτρια. P.

Digitized by Google

401. ΤΟΥ ΑΥΤΟΥ.

Ἰητήρ τις ἐμοὶ τὸν ἑὸν φίλον υἱὸν ἔπεμψεν,
ὥςτε μαθεῖν παρ' ἐμοὶ ταῦτα τὰ γραμματικά.
ὡς δὲ τὸ „Μῆνιν ἄειδε“ καὶ „ἄλγεα μυρί᾽ ἔθηκεν“
ἔγνω, καὶ τὸ τρίτον τοῖςδ' ἀκόλουθον ἔπος,
„πολλὰς δ' ἰφθίμους ψυχὰς ἄϊδι προΐαψεν,“
οὐκέτι μιν πέμπει πρός με μαθησόμενον.
ἀλλά μ' ἰδὼν ὁ πατήρ, σοὶ μὲν χάρις, εἶπεν, ἑταῖρε·
αὐτὰρ ὁ παῖς παρ' ἐμοὶ ταῦτα μαθεῖν δύναται.
καὶ γὰρ ἐγὼ πολλὰς ψυχὰς Ἄϊδι προϊάπτω,
καὶ πρὸς τοῦτ' οὐδὲν γραμματικοῦ δέομαι.

[P] 402. ΤΟΥ ΑΥΤΟΥ.

Μηδείς μοι ταύτην, Ἐρασίστρατε, τὴν σπατάλην σου
ποιήσειε θεῶν, ἣ σὺ κατασπαταλᾷς,
ἔσθων ἐκτραπέλως στομάχων κακά, χείρονα λιμοῦ,
οἷα φάγοιεν ἐμῶν ἀντιδίκων τεκνία.
πεινάσαιμι γὰρ αὖθις ἔτι πλέον, ἢ πρὶν ἐπείνων,
ἢ χορτασθείην τῆς παρὰ σοὶ σπατάλης.

---

Nr. 401. V. 1. τὸν νἱον. P. Nr. 402. V. 6. εἰ χ. Br.

### 403. ΤΟΥ ΑΥΤΟΥ.

*εἰς ποδάγραν.*

*Μισόπτωχε θεά, μούνη πλούτου δαμάτειρα,*
*ἡ τὸ καλῶς ζῆσαι πάντοτ' ἐπισταμένη,*
*εἰ δὲ καὶ ἀλλοτρίοις ἐπιϊζομένη ποσὶ χαίρεις,*
*ὁπλοφορεῖν τ' οἶδας, καὶ μύρα σοι μέλεται·*
*τέρπει καὶ στέφανός σε, καὶ Αὐσονίου πόμα Βάκχου·*
*ταῦτα παρὰ πτωχοῖς γίγνεται οὐδέποτε.*
*τοὔνεκά νυν φεύγεις πενίης τὸν ἀχάλκεον οὐδόν,*
*τέρπῃ δ' αὖ πλούτου πρὸς πόδας ἐρχομένη.*

### 404. ΤΟΥ ΑΥΤΟΥ.

*Οὐδέποτ' εἰς πορθμεῖον ὁ κηλήτης Διόφαντος*
*ἐμβαίνει μέλλων εἰς τὸ πέραν ἀπίναι.*
*τῆς κήλης δ' ἐπάνωθι τὰ φορτία [πάντα] τεθεικὼς*
*καὶ τὸν ὄνον, διαπλεῖ σινδόν' ἐπαράμενος.*
*ὥστε μάτην Τρίτωνες ἐν ὕδασι δόξαν ἔχουσιν,*
*εἰ καὶ κηλήτης ταὐτὸ ποιεῖν δύναται.*

### 405. ΤΟΥ ΑΥΤΟΥ.

*Ὁ γρυπὸς Νίκων ὀσφραίνεται οἴνου ἄριστα,*
*οὐ δύναται δ' εἰπεῖν οἷος ἂν ᾖ ταχέως.*

---

Nr. 403. V. 4. Fort. *πιλοφορεῖν.* — *καὶ μοῖρα.* P. V. 8. *ἀντι πλουτου.* P. Nr. 404. V. 1. *πορθμίον.* P. V. 3. *ἐπάνωθε.* P. *πάντ* om. Id. V. 4. *σίνδονα ἐπ.* P.

Digitized by Google

ἐν τρισὶν ὥραις γὰρ θεριναῖς μόλις 'αἰσθάνετ' αὐτός,
ὡς ἂν ἔχων πηχῶν ῥῖνα διακοσίων.
ὢ μεγάλου μυκτῆρος· ὅταν ποταμὸν διαβαίνῃ,
θηρεύει τούτῳ πολλάκις ἰχθύδια.

### 406. ΝΙΚΑΡΧΟΥ.

Τοῦ γρυποῦ Νίκωνος ὁρῶ τὴν ῥῖνα, Μένιππε·
αὐτὸς δ' οὐ μακρὰν φαίνεται εἶναι ἔτι.
πλὴν ἥξει, μείνωμεν ὅμως· εἰ γὰρ πολύ, πέντε
τῆς ῥινὸς σταδίους, οἴομαι, οὐκ ἀπέχει.
[P] ἀλλ' αὐτὴ μέν, ὁρᾷς προπορεύεται· ἢν δ' ἐπὶ βουνὸν
ὑψηλὸν στῶμεν, καὐτὸν ἐσοψόμεθα.

### 407. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν λεπτὸν θακεῦντα Μενέστρατον εἴαρος ὥρῃ
μύρμηξ ἐξελθὼν εἵλκυσεν εἰς ῥαγάδα·
μυῖα δ' ἐπιπτᾶσ' αὐτὸν ἀνήρπασεν, ὡς Γανυμήδην
αἰετὸς εἰς θαλάμους οὐρανίους Κρονίδεω·
πίπτε δὲ * χειρῶν μυίης, κοὐδ' ὣς θίγε γαίης,
ἐκ δ' ἀράχνης ἱστοῦ τῶν βλεφάρων κρέμαται.

### 408. ΛΟΥΚΙΑΝΟΥ.

Τὴν κεφαλὴν βάπτεις, τὸ δὲ γῆρας οὔποτε βάψεις,
οὐδὲ παρειάων ἐκτανύσεις ῥυτίδας.

---

Nr. 405. V. 3. Fort. *ἐν τρισὶ γὰρ θεριναῖς ὥραις.* V. 6. *τούτου.* P. Nr. 407. V. 4. *κρονίδαο.* P. V. 5. Fort. *πίπτε δέ τ' ἐκ χ.* Nr. 408. V. 1. Fort. *τὸ δὲ γήραος.* V. 2. *ῥυτίδας ἐκτανύσεις.* P.

Digitized by Google

μὴ τοίνυν τὸ πρόσωπον ἅπαν ψιμύθῳ κατάπλαττε,
ὥςτε προσωπεῖον, κοὐχὶ πρόσωπον ἔχειν.
οὐδὲν γὰρ πλέον ἐστί. τί μαίνεαι; οὔποτε φῦκος
καὶ ψίμυθος τεύξει τὴν Ἑκάβην Ἑλένην.

### 409. ΓΑΙΤΟΥΛΙΚΟΥ.

Τετράκις ἀμφορέως περὶ χείλεσι χείλεα θεῖσα
Σειληνὶς πάσας ἐξεῤῥόφησε τρύγας.
εὐχαῖτα Διόνυσε, σὲ δ' ὕδασιν οὐκ ἐμίηνεν·
ἀλλ' οἷος πρώτης ἦλθες ἀπ' οἰνοπέδης,
τοῖόν σε προὔπινεν, ἀειφλεγὲς ἄλγος ἔχουσα,
εἰςότε καὶ νεκύων ἦλθεν ἐπὶ ψάμαθον.

### 410. ΛΟΥΚΙΑΝΟΥ.

Τοῦ πωγωνοφόρου Κυνικοῦ, τοῦ βακτροπροςαίτου,
εἴδομεν ἐν δείπνῳ τὴν μεγάλην σοφίαν.
θέρμων μὲν γὰρ πρῶτον ἀπέσχετο καὶ ῥαφανίδων,
μὴ δεῖν δουλεύειν γαστρὶ λέγων ἀρετήν.
εὖτε δ' ἐν ὀφθαλμοῖσιν ἴδεν χιονώδεα βόλβαν
στρυφνήν, ἣ πινυτὸν ἤδη ἔκλεπτε νόον,
ᾔτησεν παρὰ προςδοκίαν, καὶ ἔτρωγεν ἀληθῶς,
κοὐδὲν ἔφη βόλβαν τὴν ἀρετὴν ἀδικεῖν.

---

V. 3. ψημιθίῳ. P. V. 4. ἢ οὐχί. P. Nr. 409. V. 2. σηληνίς. P. ἐξεφόρησε. Ib. V. 4. οἴης. P. V. 5. ἀφειδεὲς ἄγγος. P. V. 6. ἦλθ' ἐπὶ συμμορίην. Plan. Nr. 410. V. 1. πωγωνοτρόφου. Br. V. 2. εἴδωμεν. P. V. 6. στρυφνὴν πινυτόν. P. δή οἱ ἔκλ. corr. Herm.

### 411. ΑΔΕΣΠΟΤΟΝ.

εἰς βαλανεῖον ἔκπυρον.

Τοῦτο πυρὰν μᾶλλον κλῄζειν δεῖ, κοὐ βαλανεῖον,
ἣν ποθ' ὁ Πηλείδης ἧψε Μενοιτιάδῃ,
ἢ τὸν Μηδείης στέφανον, τὸν * γείτονα Ἐριννὺς
ἐν θαλάμοις Γλαύκης εἵνεκεν Αἰσονίδου.
[☛] φεῖσαί μου, βαλανεῦ, πρὸς τοῦ Διός· εἰμὶ γὰρ ἀνὴρ
πάντα γράφων τὰ βροτῶν ἔργα καὶ ἀθανάτων.
εἰ δὲ πρόκειταί σοι πολλοὺς ζῶντας κατακαίειν,
ἅπτε πυρὰν ξυλίνην, δήμιε, μὴ λιθίνην.

### 412. ΑΝΤΙΟΧΟΥ.

Ψυχὴν μὲν γράψαι χαλεπόν· μορφὴν δὲ χαράξαι
ῥάδιον· ἀλλ' ἐπὶ σοὶ τοὔμπαλιν ἀμφότερον.
τῆς μὲν γὰρ ψυχῆς τὸ διάστροφον ἔξω ἄγουσα
ἐν τοῖς φαινομένοις ἡ Φύσις εἰργάσατο·
τὸν δ' ἐπὶ τῆς μορφῆς θόρυβον, καὶ σώματος ὕβριν
πῶς ἄν τις γράψαι, μηδ' ἐςιδεῖν ἐθέλων;

### 413. ΑΜΜΙΑΝΟΥ.

Ὡς κῆπον τεθυκώς, δεῖπνον παρέθηκεν Ἀπελλῆς,
οἰόμενος βόσκειν ἀντὶ φίλων πρόβατα.

---

Nr. 411. V. 3. Fort. τόν γ' εἶρεν Ἐρ. Nr. 412. V. 3. ἄκουσα. P.

ἦν ῥαφανίς, σέρις ἦν, τῆλις, θρίδακες, πράσα, βολβοί,
ὤκιμον, ἡδύοσμον, πήγανον, ἀσπάραγος.
δείσας δ' ἐκ τούτων μὴ καὶ χόρτον παραθῇ μοι,
δειπνήσας θέρμους ἡμιβρεχεῖς ἔφυγον.

414. ΗΔΥΛΟΥ.

Λυσιμελοῦς Βάκχου, καὶ λυσιμελοῦς Ἀφροδίτης
γεννᾶται θυγάτηρ λυσιμελὴς ποδάγρα.

415. ΑΝΤΙΠΑΤΡΟΥ ἢ ΝΙΚΑΡΧΟΥ.

Τίς σου, Μεντορίδη, προφανῶς οὕτως μετέθηκεν
τὴν πυγήν, οὗπερ τὸ στόμ' ἔκειτο πρὸ τοῦ;
βδεῖς γάρ, κοὐκ ἀναπνεῖς· φθέγγῃ δ' ἐκ τῶν καταγείων.
θαῦμά μ' ἔχει τὰ κάτω πῶς σου ἄνω γέγονεν.

416. ΑΔΗΛΟΝ.

Χρήματα καὶ πόρναις παραγίγνεται· οὐκ ἀλεγίζω.
μισείτω με τάλας Χρυσὸς ὁ πορνοφίλας.

417. ΑΔΗΛΟΝ.

ἐπὶ γυναικὶ πρεσβυτέρᾳ νέῳ ἐνοχλήσαντι.

Ἄλλην δρῦν βαλάνιζε, Μενέσθιον· οὐ γὰρ ἔγωγε
ἔκκαιρον μήλων προσδέχομαι ῥυτίδα·

---

Nr. 413. V. 3. σέρις τῆλις. P. Nr. 415. V. 3. κατογείων. P.
Nr. 417. V. 2. μῆλον. P.

ἀλλ' αἰεὶ πεπόθηκα συνακμάζουσαν ὀπώρην.
ὥςτε τί πειράζεις λευκὸν ἰδεῖν κόρακα;

418. ΤΡΑΙΑΝΟΥ ΒΑΣΙΛΕΩΣ.

Ἀντίον ἠελίου στήσας ῥῖνα καὶ στόμα χάσκον,
δείξεις τὰς ὥρας πᾶσι παρερχομένοις.

419. ΦΙΛΩΝΟΣ.

Αἱ πολιαὶ σὺν νῷ γεραρώτεραι· αἱ γὰρ ἄτερ νοῦ
μᾶλλον τῶν πολλῶν εἰσὶν ὄνειδος ἐτῶν.

[P] 420. ΑΛΛΟ.

Αἱ τρίχες, ἢν σιγᾷς, εἰσὶ φρένες· ἢν δὲ λαλήσῃς,
ὡς αἱ τῆς ἥβης, οὐ φρένες, ἀλλὰ τρίχες.

421. ΑΠΟΛΛΙΝΑΡΙΟΥ.

Ἂν μὲν ἀπόντα λέγῃς με κακῶς, οὐδέν μ' ἀδικεῖς σύ·
ἂν δὲ παρόντα καλῶς, ἴσθι κακῶς με λέγων.

422. ΑΝΤΙΟΧΟΥ.

εἴς ἀπαίδευτον ἐπιδειξάμενον.

Βῆσας, εἰ φρένας εἶχεν, ἀπήγχετο· νῦν δ' ὑπ' ἀνοίας
καὶ ζῇ, καὶ πλουτεῖ, καὶ μετὰ τὴν πάροδον.

---

V. 4. ἰδών. P. Nr. 418. V. 1. ῥῖνα. P. χάσκων. Plan. Nr. 421. V. 1. οὐδὲν ἀδικεῖς. P. οὐδὲν ἀδικεῖς με. Pl.

Digitized by Google

423. ΕΛΛΑΔΙΟΥ.

*Βάπτων πάντα, βαφεῦ, καὶ χρωματίοις μεταβάλλων,*
*καὶ πενίην βάψας, πλούσιος ἐξεφάνης.*

424. ΠΙΣΩΝΟΣ.

*Γαίης ἐκ Γαλατῶν μηδ' ἄνθεα, ἧς ἀπὸ κόλπων*
*ἀνθρώπους ὀλέτειραι Ἐριννύες ἐβλάστησαν.*

425. ΑΔΗΛΟΝ.

*Γιγνώσκειν σε θέλω, Πλακιανέ, σαφῶς, ὅτι πᾶσα*
*ἔγχαλκος γραῖα πλουσία ἐστὶ σορός.*

426. ΑΛΛΟ.

*εἰς Ὀπιανὸν ἡγεμόνα πότην.*

*Γράμμα περισσὸν ἔχεις τὸ προκείμενον. ἦν αφέλῃ τις*
*τοῦτό σοι, οἰκεῖον κτήσῃ ἁπλῶς ὄνομα.*

427. ΛΟΥΚΙΑΝΟΥ.

*Δαίμονα πολλὰ λαλῶν ὀζόστομος ἐξορκιστὴς*
*ἐξέβαλ', οὐχ ὅρκων, ἀλλὰ κόπρων δυνάμει.*

---

Nr. 424. V. 1. Fort. *τῆς ἀπὸ κ.* Nr. 426. V. 1. *ἂν ἀφ.* P. V. 2. *ἀκριβῶς ὄνομα.* P.

Digitized by Google

428. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς τί μάτην νίπτεις δέμας Ἰνδικόν; ἴσχεο τέχνης,
οὐ δύνασαι δνοφερὴν νύκτα καθηλιάσαι.

429. ΤΟΥ ΑΥΤΟΥ.

Ἐν πᾶσιν μεθύουσιν Ἀκίνδυνος ἤθελε νήφειν,
τοὔνεκα καὶ μεθύειν αὐτὸς ἔδοξε μόνος.

430. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ τὸ τρέφειν πώγωνα δοκεῖ σοφίαν περιποιεῖν,
καὶ τράγος εὐπώγων εὔστοχός ἐστι Πλάτων.

431. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ ταχὺς εἰς τὸ φαγεῖν, καὶ πρὸς δρόμον ἀμβλὺς ὑπάρχεις,
τοῖς ποσί σου τρῶγε, καὶ τρέχε τῷ στόματι.

432. ΤΟΥ ΑΥΤΟΥ.

Ἔσβεσε τὸν λύχνον μῶρος, ψυλλῶν ὑπὸ πολλῶν
δακνόμενος, λέξας· οὐκέτι με βλέπετε.

---

Nr. 429. V. 2. αὐτὸς ἤθελε. P. Nr. 430. V. 1. δοκεῖς. P. V. 2. αἰπόλος ἐστι. P. Fort. αἰμύλος.

Digitized by Google

433. ΤΟΥ ΑΥΤΟΥ.

*Ζωγράφε, τὰς μορφὰς κλέπτεις μόνον· οὐ δύνασαι δὲ*
*φωνὴν συλῆσαι χρώματι πειθόμενος.*

434. ΤΟΥ ΑΥΤΟΥ.

*Ἢν ἐςίδῃς κεφαλὴν μαδαράν, καὶ στέρνα, καὶ ὤμους,*
*μηδὲν ἐρωτήσῃς, μῶρον ὁρᾷς φαλακρόν.*

435. ΤΟΥ ΑΥΤΟΥ.

*Θαυμάζειν μοι ἔπεισιν, ὅπως Βύτος ἐστὶ σοφιστής,*
*οὔτε λόγον κοινόν, οὔτε λογισμὸν ἔχων.*

[¶] 436. ΤΟΥ ΑΥΤΟΥ.

*Θᾶττον ἔην λευκοὺς κόρακας, πτηνάς τε χελώνας*
*εὑρεῖν, ἢ δόκιμον ῥήτορα Καππαδόκην.*

437. ΑΡΑΤΟΥ.

*Αἰάζω Διότιμον, ὃς ἐν πέτραισι κάθηται*
*Γαργαρέων παισὶν Βῆτα καὶ Ἄλφα λέγων.*

438. ΜΕΝΑΝΔΡΟΥ.

*Κορινθίῳ πίστευε, καὶ μὴ χρῶ φίλῳ.*

---

Nr. 433. V. 2. *πειθομένην.* Plan. Nr. 435. V. 1. *Βίτος.* Br. V. 2. *μήτε .. μήτε.* Plan. Nr. 436. V. 1. *θᾶττον ἦν.* P. Fort. *ἂν ἦν.* Nr. 437. V. 2. *παισί.* P.

Digitized by Google

439. *ΔΙΦΙΛΟΥ.*

*Τὸ μὲν Ἄργος ἵππος, οἱ δ' ἐνοικοῦντες λύκοι.*

440. *ΠΙΤΤΑΚΟΥ.*

*Μεγαρεῖς δὲ φεῦγε πάντας· εἰσὶ γὰρ πικροί.*

441. *ΦΙΛΙΣΚΟΥ.*

*Ὁ Πειραιεὺς κάρυον μέγ' ἐστὶ καὶ κενόν.*

442. *ΑΔΕΣΠΟΤΟΝ.*

*Τρίς με τυραννήσαντα τοσαυτάκις ἐξεδίωξεν*
*δῆμος Ἐρεχθῆος, καὶ τρὶς ἐπηγάγετο,*
*τὸν μέγαν ἐν βουλῇ Πεισίστρατον, ὃς τὸν Ὅμηρον*
*ἤθροισα, σποράδην τὸ πρὶν ἀειδόμενον·*
*ἡμέτερος γὰρ κεῖνος ὁ χρύσεος ἦν πολιήτης,*
*εἴπερ Ἀθηναῖοι Σμύρναν ἀπῳκίσαμεν.*

Digitized by Google

# XII.

## ΣΤΡΑΤΩΝΟΣ

# ΜΟΥΣΑ ΠΑΙΔΙΚΗ.

Digitized by Google

Digitized by Google

# XII.

## ΣΤΡΑΤΩΝΟΣ

## ΜΟΥΣΑ ΠΑΙΔΙΚΗ.

### 1. ΣΤΡΑΤΩΝΟΣ.

Ἐκ Διὸς ἀρχώμεσθα, καθὼς εἴρηκεν Ἄρατος·
ὑμῖν δ᾽, ὦ Μοῦσαι, σήμερον οὐκ ἐνοχλῶ.
εἰ γὰρ ἐγὼ παῖδάς τε φιλῶ, καὶ παισὶν ὁμιλῶ,
τοῦτο τί πρὸς Μούσας τὰς Ἑλικωνιάδας;

### 2. ΤΟΥ ΑΥΤΟΥ.

Μὴ ζήτει δέλτοισιν ἐμαῖς Πρίαμον παρὰ βωμοῖς,
μηδὲ τὰ Μηδείης πένθεα καὶ Νιόβης,
μηδ᾽ Ἴτυν ἐν θαλάμοις, καὶ ἀηδόνας ἐν πετάλοισιν·
ταῦτα γὰρ οἱ πρότεροι πάντα χύδην ἔγραφον·
ἀλλ᾽ ἱλαραῖς Χαρίτεσσι μεμιγμένον ἡδὺν Ἔρωτα,
καὶ Βρόμιον· τούτοις δ᾽ ὀφρύες οὐκ ἔπρεπον.



Digitized by Google

### 3. ΤΟΥ ΑΥΤΟΥ.

Τῶν παίδων, Διόδωρε, τὰ προςθέματ᾽ εἰς τρία π
σχήματα, καὶ τούτων μάνθαν᾽ ἐπωνυμίας.
τὴν ἔτι μὲν γὰρ ἄθικτον ἀκμὴν * λάλου, ὀνόμα
* κωκωτὴν φυσᾶν ἄρτι καταρχομένην·
τὴν δ᾽ ἤδη πρὸς χεῖρα σαλευομένην, [λέγε] σαῦ
τὴν δὲ τελειοτέρην, οἶδας ἃ χρή σε καλεῖν.

### 4. ΤΟΥ ΑΥΤΟΥ.

Ἀκμῇ δωδεκέτους ἐπιτέρπομαι· ἔστι δὲ τούτου
χὠ τριςκαιδεκέτης πουλὺ ποθεινότερος.
χὠ τὰ δὶς ἑπτὰ νέμων, γλυκερώτερον ἄνθος Ἐρ
τερπνότερος δ᾽ ὁ τρίτης πεντάδος ἀρχόμενο
ἑξεπικαιδέκατον δὲ θεῶν ἔτος· ἑβδόματον δὲ
καὶ δέκατον ζητεῖν οὐκ ἐμόν, ἀλλὰ Διός.
εἰ δ᾽ ἐπὶ πρεσβυτέρους τις ἔχει πόθον, οὐκέτι π
ἀλλ᾽ ἤδη ζητεῖ „τὸν δ᾽ ἀπαμειβόμενος.

### 5. ΤΟΥ ΑΥΤΟΥ.

Τοὺς λευκοὺς ἀγαπῶ, φιλέω δ᾽ ἅμα τοὺς μελιχρ
καὶ ξανθούς, στέργω δ᾽ ἔμπαλι τοὺς μέλανα
οὐδὲ κόρας ξανθὰς παραπέμπομαι· ἀλλὰ περισσο
τοὺς μελανοφθάλμους αἰγλοφανεῖς τε φιλῶ.

---

Nr. 3. V. 3. Fort. ἀταλοῦ ὀνόμαζε Κωκώ, τὴν φ. — φῦσι
V. 5. λέγε. om. P. V. 6. ἀχρῆσε.

[P] 6. ΤΟΥ ΑΥΤΟΥ.

Πρωκτὸς καὶ χρυσὸς τὴν αὐτὴν ψῆφον ἔχουσιν·
ψηφίζων δ' ἀφελῶς τοῦτό ποθ' εὗρον ἐγώ.

7. ΤΟΥ ΑΥΤΟΥ.

Σφιγκτὴρ οὐκ ἔστιν παρὰ παρθένῳ, οὐδὲ φίλημα
ἁπλοῦν, οὐ φυσικὴ χρωτὸς ἐϋπνοΐη,
οὐ λόγος ἡδὺς ἐκεῖνος ὁ πορνικός, οὐδ' ἀκάκητον
βλέμμα, διδασκομένη δ' ἐστὶ κακιοτέρα.
ψυχροῦνται δ' ὄπιθεν πᾶσαι· τὸ δὲ μεῖζον ἐκεῖνο,
οὐκ ἔστιν ποῦ θῇς τὴν χέρα πλαζομένην.

8. ΤΟΥ ΑΥΤΟΥ.

Εἶδον ἐγώ τινα παῖδα ἐπανθοπλοκοῦντα κόρυμβον,
ἀντιπαρερχόμενος τὰ στεφανηπλόκια.
οὐδ' ἄτρωτα παρῆλθον· ἐπιστὰς δ' ἥσυχος αὐτῷ
φημί, πόσου πωλεῖς τὸν σὸν ἐμοὶ στέφανον;
μᾶλλον τῶν καλύκων δ' ἐρυθαίνετο, καὶ κατακύψας
φησί· μακρὰν χώρει, μή σε πατὴρ ἐςίδῃ.
ὠνοῦμαι προφάσει στεφάνους, καὶ οἴκαδ' ἀπελθὼν
ἐστεφάνωσα θεούς, κεῖνον ἐπευξάμενος.

---

Nr. 7. V. 3. οὐδ' ἀκαι .... P. V. 4. κακειοτερα. P. V. 5. ὄπισθεν. P. Nr. 8. V. 1. Fort. παῖδά ποτ' ἀνθ. V. 5. Fort. ἐρυθήνατο.

9. ΤΟΥ ΑΥΤΟΥ.

Ἄρτι καλός, Διόδωρε, σὺ καὶ φιλέουσι πέπειρος·
ἀλλὰ καὶ ἢν γήμῃς, οὐκ ἀπολειψόμεθα.

10. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ καί σοι τριχόφοιτος ἐπεσκίρτησεν ἴουλος,
καὶ τρυφεραὶ κροτάφων ξανθοφυεῖς ἕλικες,
οὐδ' οὕτω φεύγω τὸν ἐρώμενον· ἀλλὰ τὸ κάλλος
τούτου, κἂν πώγων, κἂν τρίχες, ἡμέτερον.

11. ΤΟΥ ΑΥΤΟΥ.

Ἐχθὲς ἔχων ἀνὰ νύκτα Φιλόστρατον, οὐκ ἐδυνήθην,
κείνου, πῶς εἴπω, πάντα παρασχομένου.
ἀλλ' ἐμὲ μηκέτ' ἔχοιτε φίλοι φίλον, ἀλλ' ἀπὸ πύργου
ῥίψατ', ἐπεὶ λίην Ἀστυάναξ γέγονα.

12. ΦΛΑΚΚΟΥ.

Ἄρτι γενειάζων ὁ καλὸς καὶ στεῤῥὸς ἐρασταῖς
παιδὸς ἐρᾷ Λάδων. σύντομος ἡ Νέμεσις.

13. ΣΤΡΑΤΩΝΟΣ.

Ἰητροὺς εὗρόν ποτ' ἐγὼ λείους δυςέρωτας,
τρίβοντας φυσικῆς φάρμακον ἀντιδότου.

---

Nr. 10. V. 4. Fort. τοῦτό γε, κἂν...

*οἱ δέ γε φωραθέντες, ἔχ' ἡσυχίην, ἐδέοντο·*
*κἀγὼ ἔφην, σιγῶ, καὶ θεραπεύσατέ με.*

[¶] 14. *ΔΙΟΣΚΟΡΙΔΟΥ.*

*Δημόφιλος τοιοῖςδε φιλήμασιν εἰ πρὸς ἐραστὰς*
*χρήσεται ἀκμαίην, Κύπρι, καθ' ἡλικίην,*
*ὡς ἐμὲ νῦν ἐφίλησεν ὁ νήπιος, οὐκέτι νύκτωρ*
*ἥσυχα τῇ κείνου μητρὶ μενεῖ πρόθυρα.*

15. *ΣΤΡΑΤΩΝΟΣ.*

*Εἰ Γραφικοῦ πυγὴν * σανὶς δέδακ' ἐν βαλανείῳ,*
*ἄνθρωπος τί πάθω; καὶ ξύλον αἰσθάνεται.*

16. *ΤΟΥ ΑΥΤΟΥ.*

*Μὴ κρύπτης τὸν ἔρωτα, Φιλόκρατες· αὐτὸς ὁ δαίμων*
*λακτίζειν κραδίην ἡμετέρην ἱκανός.*
*ἀλλ' ἱλαροῦ μετάδος τι φιλήματος. ἔσθ' ὅτε καὶ σὺ*
*αἰτήσεις τοιάνδ' ἐξ ἑτέρων χάριτα.*

17. *ΑΔΗΛΟΝ.*

*Οὔ μοι θῆλυς ἔρως ἐγκάρδιος, ἀλλά με πυρσοὶ*
*ἄρσενες ἀσβέστῳ θῆκαν ὑπ' ἀνθρακίῃ.*

---

Nr. 14. V. 2. *κύπριν.* P. Nr. 15. V. 1. *γραφυκοῦ.* P. Fort. *σανίδες δάκον.* aut *δέδακεν σανίς.* Nr. 16. V. 1. F. *μὴ κρύψῃς.* V. 4. *χαρίτων.* P. Nr. 17. V. 2. *ἄρσενος.* P. *ἐπ' ἀνθρ.* Br.

Digitized by Google

πλειότερον τόδε θάλπος. ὅσον δυνατώτερος ἄρσην
θηλυτέρης, τόσσον χὠ πόθος ὀξύτερος.

## 18. ΑΛΦΕΙΟΥ ΜΙΤΥΛΗΝΑΙΟΥ.

Τλήμονες, οἷς ἀνέραστος ἔφυ βίος, οὔτε γὰρ ἔρξαι
εὐμαρὲς, οὔτ' εἰπεῖν ἐστί τι νόσφι πόθων.
καὶ γὰρ ἐγὼ νῦν εἰμὶ λίην βραδύς· εἰ δ' ἐςίδοιμι
Ξεινόφιλον, στεροπῆς πτήσομαι ὀξύτερος.
τοὔνεκεν οὐ φεύγειν γλυκὺν ἵμερον, ἀλλὰ διώκειν,
πᾶσι λέγω. „Ψυχῆς ἐστὶν Ἔρως ἀκόνη."

## 19. ΑΔΗΛΟΝ.

Οὐ δύναμαί σε θέλων θέσθαι φίλον· οὔτε γὰρ αἰτεῖς,
οὔτ' αἰτοῦντι δίδως, οὔθ' ἃ δίδωμι δέχῃ.

## 19ª. ΜΕΛΕΑΓΡΟΥ.

Λίσσομ', Ἔρως, τὸν ἄγρυπνον ἐμοὶ πόθον Ἡλιοδώρου
κοίμισον, αἰδεσθεὶς Μοῦσαν ἐμὰν ἱκέτιν.
ναὶ γὰρ δὴ τὰ σὰ τόξα τὰ μὴ δεδιδαγμένα βάλλειν
ἄλλον, ἀεὶ δ' ἐπ' ἐμοὶ πτηνὰ χέοντα βέλη·
εἰ καὶ ἐμὲ κτείναις, λείψω φωνεῦντ' ἐπὶ τύμβῳ
γράμματ'· Ἔρωτος ὅρα, ξεῖνε, μιαιφονίην.

---

V. 4. τόσσωχ' ὁ. P. Nr. 19a. V. 2. οἰκέτιν. P.

Digitized by Google

### 20. ΙΟΥΛΙΟΥ ΛΕΩΝΙΔΑ.

Ὁ Ζεὺς Αἰθιόπων πάλι τέρπεται εἰλαπίναισιν,
 ἢ χρυσὸς Δανάης εἴρπυσεν εἰς θαλάμους·
θαῦμα γάρ, εἰ Περίανδρον ἰδὼν οὐχ ἥρπασε γαίης
 τὸν καλόν· ἢ φιλόπαις οὐκέτι νῦν ὁ θεός.

### [¶] 21. ΣΤΡΑΤΩΝΟΣ.

Κλέψομεν ἄχρι τίνος τὰ φιλήματα, καὶ τὰ λαθραῖα
 νεύσομεν ἀλλήλοις ὄμμασι φειδομένοις;
μέχρι τίνος δ' ἀτέλεστα λαλήσομεν, ἀμβολίαισι
 ζευγνύντες κενεὰς ἔμπαλιν ἀμβολίας;
μέλλοντες τὸ καλὸν δαπανήσομεν· ἀλλὰ πρὶν ἐλθεῖν
 τὰς φθονεράς, Φείδων, θῶμεν ἐπ' ἔργα λόγοις.

### 22. ΣΚΥΘΙΟΥ.

Ἦλθέν μοι μέγα πῆμα, μέγας πόλεμος, μέγα μοι πῦρ,
 Ἤλισσος πλήρης τῶν ἐς ἔρωτ' ἐτέων,
αὐτὰ τὰ καίρι' ἔχων ἑκκαίδεκα, καὶ μετὰ τούτων
 πάσας καὶ μικρὰς καὶ μεγάλας χάριτας,
καὶ πρὸς ἀναγνῶναι, φωνὴν μέλι, καὶ τὸ φιλῆσαι,
 χείλεα, καὶ τὸ λαβεῖν ἔνδον, ἀμεμπτότατον.
καὶ τί πάθω; φασὶν γὰρ ὁρᾶν μόνον· ἦ ῥ' ἀγρυπνήσω
 πολλάκι, τῇ κενεῇ Κύπριδι χειρομαχῶν.

---

Nr. 20. V. 1. πάλιν. P. V. 4. ἢ φ. P. ἦ. Br. Nr. 21. V. 6. λόγους. Br. Nr. 22. V. 2. Ἰλισσός. corr. Br.

### 23. *ΜΕΛΕΑΓΡΟΥ.*

*Ἠγρεύθην ὁ πρόσθεν ἐγώ ποτε τοῖς δυσέρωσι*
*κώμοις ἠϊθέων πολλάκις ἐγγελάσας.*
*καί μ' ἐπὶ σοῖς ὁ πτανὸς Ἔρως προθύροισι, Μυΐσκε,*
*στῆσεν ἐπιγράψας· Σκῦλ' ἀπὸ Σωφροσύνης.*

### 24. *ΛΑΥΡΕΑ.*

*Εἴ μοι χαρτὸς ἐμὸς Πολέμων καὶ σῶος ἀνέλθοι,*
*. . . . . οιοσα . . κοίρανε, πεμπόμενος,*
*ῥέξειν, οὐκ ἀπόφημι, τὸν ὀρθροβόην παρὰ βωμοῖς*
*ὄρνιν ἐν εὐχωλαῖς ὡμολόγησα τεοῖς·*
*εἰ δέ τι τῶν ὄντων τότε οἱ πλέον, ἢ καὶ ἔλασσον*
*ἔλθοι ἔχων, λέλυται τοὐμὸν ὑποσχέσιον.*
*ἦλθε δὲ σὺν πώγωνι· τὸ δ' εἰ φίλον αὐτὸς ἑαυτῷ*
*εὔξατο, τὴν θυσίην πρᾶσσε τὸν εὐξάμενον.*

### 25. *ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.*

*Σῶόν μοι Πολέμωνα μολεῖν, ὅτ' ἔπεμπον, Ἀπόλλω*
*ἠτούμην, θυσίην ὄρνιν ὑποσχόμενος.*
*ἦλθε δέ μοι Πολέμων λάσιος γένυν. οὐ μά σε, Φοῖβε,*
*ἦλθεν ἐμοί· πικρῷ δ' ἐξέφυγέν με τάχει.*
*οὐκέτι σοι θύω τὸν ἀλέκτορα· μή με σοφίζου,*
*κωφήν μοι σταχύων ἀντιδιδοὺς καλάμην.*

---

Nr. 23. V. 1. *ὁ* deest iu P. Nr. 24. V. 2. *οἷος ἔην ὑπ' ἐμοῦ.* Br. Fort. *οἴκαδ', ὁποῖος ἔην, κοίρ. πέμπ.* V. 4. *ὃν εὐχ.* et *τεαῖς.* P. V. 5. *τότε πλίον.* P. V. 8. *πρόσσὲ τόν.* P.

### 26. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ μοι σωζόμενος Πολέμων ὃν ἔπεμπον ἀνέλθοι
* * * * *
[P] νῦν δ' αὐτῷ Πολέμων ἀνασώζεται — οὐκ ἀπαφήσεις,
Φοῖβε, — δασὺς δ' ἥκων οὐκέτι σῶος ἐμοί.
αὐτὸς ἴσως σκιάσαι γένυν εὔξατο· θυέτω αὐτός,
ἀντία ταῖσιν ἐμαῖς ἐλπίσιν εὐξάμενος.

### 27. ΤΟΥ ΑΥΤΟΥ.

Σαῖς ἴκελον προὔπεμπον ἐγὼ Πολέμωνα παρειαῖς,
ἢν ἔλθῃ, θύσειν ὄρνιν ὑποσχόμενος·
ὃν δέχομαι φθονεροῖς, Παιάν, φρίσσοντα γενείοις,
οὐ τούτου τλήμων εἵνεκεν εὐξάμενος.
οὐδὲ μάτην τίλλεσθαι ἀναίτιον ὄρνιν ἔοικεν,
ἢ συντιλλέσθω, Δήλιε, καὶ Πολέμων.

### 28. ΝΟΥΜΗΝΙΟΥ ΤΑΡΣΕΩΣ.

Κῦρος κύριός ἐστι· τί μοι μέλει, εἰ παρὰ γράμμα;
οὐκ ἀναγιγνώσκω τὸν καλόν, ἀλλὰ βλέπω.

---

Nr. 26. V. 2. οὐκ ἔτ' ἀφῆσαι. P. V. 5. κιασαι. Nr. 27. V. 3. ονδεμοχαι. P. V. 4. οὐ τοιούτου. P. Nr. 28. V. 1. ἔστιν μοι μέλλει. P. V. 2. τὸν κάλαμον. P.

Digitized by Google

29. ΑΛΚΑΙΟΥ.

Πρώταρχος καλός ἐστι, καὶ οὐ θέλει· ἀλλὰ θελήσι
ὕστερον· ἡ δ' ὥρη λαμπάδ' ἔχουσα τρέχει.

30. ΤΟΥ ΑΥΤΟΥ.

Ἡ κνήμη, Νίκανδρε, δασύνεται· ἀλλὰ φύλαξαι,
μή σε καὶ ἡ πυγὴ ταὐτὸ παθοῦσα λάθῃ·
καὶ γνώσῃ φιλέοντος ὅση σπάνις. ἀλλ' ἔτι καὶ νῦν
τῆς ἀμεταβλήτου φρόντισον ἡλικίης.

31. ΦΑΝΙΟΥ.

Ναὶ Θέμιν, ἀκρήτου καὶ τὸ σκύφος, ᾧ σεσάλευμαι
Πάμφιλε, βαιὸς ἔχει τὸν σὸν ἔρωτα χρόνος.
ἤδη γὰρ καὶ μηρὸς ὑπὸ τρίχα, καὶ γένυς ἡβᾷ,
καὶ Πόθος εἰς ἑτέρην λοιπὸν ἄγει μανίην.
ἀλλ' ὅτε * σπινθῆρος ἔτ' ἴχνια βαιὰ λέλειπται,
φειδωλὴν ἀπόθου· Καιρὸς ἔρωτι φίλος.

32. ΘΥΜΟΚΛΕΟΥΣ.

Μέμνῃ που, μέμνῃ, ὅτε τοι ἔπος ἱερὸν εἶπον·
Ὥρη κάλλιστον, χ' ὥρη ἐλαφρότατον.
ὥρην οὐδ' ὁ τάχιστος ἐν αἰθέρι παρθύσει ὄρνις·
νῦν ἴδε, πάντ' ἐπὶ γῆς ἄνθεα σεῦ κέχυται.

---

Nr. 30. V. 3. Fort. ἀλλά τι καί. V. 4. ἀμετακλήτου. corr. [
her. Nr. 31. Φαινίου. P. V. 5. ὅτε δή. Br. Fort. ὅτε σοι c. Sch
Nr. 32. V. 1. ἱερός. P. V. 3. ὥρη. P. Fort. παρφθάσει cum Dorvi

Digitized by Google

### 33. ΜΕΛΕΑΓΡΟΥ.

Ἦν καλὸς Ἡράκλειτος, ὅτ' ἦν ποτέ· νῦν δὲ παρ' ἥβην
κηρύσσει πόλεμον δέῤῥις ὀπισθοβάταις·
ἀλλά, Πολυξενίδη, τάδ' ὁρῶν, μὴ γαῦρα φρυάσσου.
ἔστι καὶ ἐν γλουτοῖς φυομένη Νέμεσις.

### 34. ΑΥΤΟΜΕΔΟΝΤΟΣ.

Πρὸς τὸν παιδοτρίβην Δημήτριον ἐχθὲς ἐδείπνουν,
πάντων ἀνθρώπων τὸν μακαριστότατον.
[P] εἷς αὐτοῦ κατέκειθ' ὑποκόλπιος, εἷς ὑπὲρ ὦμον,
εἷς ἔφερεν τὸ φαγεῖν, εἷς δὲ πιεῖν ἐδίδου·
ἡ τετρὰς ἡ περίβλεπτος. ἐγὼ παίζων δὲ πρὸς αὐτὸν
φημί· σὺ καὶ νύκτωρ, φίλτατε, παιδοτριβεῖς;

### 35. ΔΙΟΚΛΕΟΥΣ.

Χαῖρε ποτ' οὐκ εἰπόντα προσεῖπέ τις· „ἀλλ' ὁ περισσὸς
„κάλλεϊ νῦν Δάμων οὐδὲ τὸ χαῖρε λέγει;
„ἥξει τις τούτου χρόνος ἔκδικος· εἶτα δασυνθεὶς
„ἄρξῃ χαῖρε λέγειν οὐκ ἀποκρινομένοις."

---

Nr. 34. V. 3. εἷς αὐτῷ. Pauw. V. 4. Fort. ἔφερέν τι c. Schaefero. Nr. 35. V. 4. ἄρχῃ. P.

### 36. ΑΣΚΛΗΠΙΑΔΟΥ ΑΔΡΑΜΥΤΤΗΝΟ

*Νῦν αἰτεῖς, ὅτε λεπτὸς ὑπὸ κροτάφοισιν ἴουλος*
*ἕρπει, καὶ μηροῖς ὀξὺς ἔπεστι χνόος·*
*εἶτα λέγεις· ἥδιον ἐμοὶ τόδε. καί τις ἂν εἴποι*
*κρείσσονας αὐχμηρὰς ἀσταχύων καλάμας;*

### 37. ΔΙΟΣΚΟΡΙΔΟΥ.

*Πυγὴν Σωσάρχοιο διέπλασεν Ἀμφιπολίτεω*
*μυελίνην παίζων ὁ βροτολοιγὸς Ἔρως,*
*Ζῆνα θέλων ἐρεθίξαι, ὅθ' οὕνεκα τῶν Γανυμήδοι*
*μηρῶν οἱ τούτου πουλὺ μελιχρότεροι.*

### 38. ΡΙΑΝΟΥ.

*Ὧραί σοι Χάριτές τε κατὰ γλυκὺ χεῦαν ἔλαιον,*
*ὦ πυγά· κνώσσειν δ' οὐδὲ γέροντας ἐᾷς.*
*λέξον μοι, τίνος ἐσσὶ μάκαιρα τύ, καὶ τίνα παίδ*
*κοσμεῖς; ἁ πυγὰ δ' εἶπε· Μενεκράτεος.*

### 39. ΑΔΗΛΟΝ.

*Ἐσβέσθη Νίκανδρος, ἀπέπτατο πᾶν ἀπὸ χροιῆς*
*ἄνθος, καὶ χαρίτων λοιπὸν ἔτ' οὐδ' ὄνομα,*
*ὃν πρὶν ἐν ἀθανάτοις ἐνομίζομεν. ἀλλὰ φρονεῖτε*
*μηδὲν ὑπὲρ θνητούς, ὦ νέοι· εἰσὶ τρίχες.*

---

Nr. 36. V. 2. *χρόος.* P. V. 3. *ἥδειον.* P. Nr. 37. V. 1. *ἀ ποντίτεω.* P.

### 40. *ΑΔΗΛΟΝ.*

*Μὴ 'κδύσῃς, ἄνθρωπε, τὸ χλαίνιον, ἀλλὰ θεώρει*
*οὕτως ἀκρολίθου κἀμὲ τρόπον ξοάνου.*
*γυμνὴν δ' Ἀντιφίλου ζητῶν χάριν, ὡς ἐπ' ἀκάνθαις*
*εὑρήσεις ῥοδέαν φυομένην κάλυκα.*

### 41. *ΜΕΛΕΑΓΡΟΥ.*

*Οὐκέτι μοι Θήρων γράφεται καλός· οὐδ' ὁ πυραυγὴς*
*πρίν ποτε, νῦν δ' ἤδη δαλός, Ἀπολλόδοτος.*
*στέργω θῆλυν ἔρωτα· δασυτρώγλων δὲ πίεσμα*
*λασταύρων μελέτω ποιμέσιν αἰγοβάταις.*

### [¶] 42. *ΔΙΟΣΚΟΡΙΔΟΥ.*

*Βλέψον ἐς Ἑρμογένην πλήρει χερί, καὶ τάχα πρήξεις*
*παιδοκόραξ ἃν σοι θυμὸς ὀνειροπολῇ,*
*καὶ στυγνὴν ὀφρύων λύσεις τάσιν· ἢν δ' ἁλιεύῃς*
*ὀρφανὸν ἀγκίστρου κύματι δοὺς κάλαμον,*
*ἕλξεις ἐκ λιμένος πολλὴν δρόσον· οὐδὲ γὰρ αἰδὼς*
*οὐδ' ἔλεος δαπάνῳ κόλλοπι συντρέφεται.*

---

Nr. 40. V. 3. *γυμνὴν Ἀντ.* P. Nr. 41. V. 1. *οὐδὲ πυρ.* P. V. 4. *αἰγοβύταις* corr. Passow. Nr. 42. V. 1. *πλήρη.* P. V. 2. *ὧν σοι* et *ὀνειροπολεῖ.* P. V. 3. *ἁλιθύῃ.* P. V. 5. *ἐκ λίμνης πολλὸν μνίον.* corr. Br.

Digitized by Google

## 43. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἐχθαίρω τὸ ποίημα τὸ κυκλικὸν, οὐδὲ κελεύθῳ
χαίρω, τὶς πολλοὺς ὧδε καὶ ὧδε φέρει·
μισῶ καὶ περίφοιτον ἐρώμενον, οὔτ᾽ ἀπὸ κρήνης
πίνω· σικχαίνω πάντα τὰ δημόσια.
Λυσανίη, σὺ δὲ ναίχι καλὸς καλός· ἀλλὰ πρὶν ει
τοῦτο σαφῶς, ἠχὼ φησί τις· ἄλλος ἔχει.

## 44. ΓΛΑΥΚΟΥ.

Ἦν ὅτε παῖδας ἔπειθε πάλαι ποτὲ δῶρα φιλεῦντο
ὄρτυξ, καὶ ῥαπτὴ σφαῖρα, καὶ ἀστράγαλοι·
νῦν δὲ λοπὰς καὶ κέρμα· τὰ παίγνια δ᾽ οὐδὲν ἐκε
ἰσχύει. ζητεῖτ᾽ ἄλλο τι, παιδοφίλαι.

## 45. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Ναὶ ναὶ βάλλετ᾽ Ἔρωτες· ἐγὼ σκοπὸς εἷς ἅμα πολλ
κεῖμαι. μὴ φείσησθ᾽ ἄφρονες· ἢν γὰρ ἐμὲ
νικήσητ᾽, ὀνομαστοὶ ἐν ἀθανάτοισιν ἔσεσθε
τοξόται, ὡς μεγάλης δεσπόται ἰοδόκης.

## 46. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Οὐκ εἴμ᾽ οὐδ᾽ ἐτέων δύο κ᾽ εἴκοσι, καὶ κοπιῶ ζῶν.
ὤρωτες, τί κακὸν τοῦτο; τί με φλέγετε;

---

Nr. 43. V. 2. Fort. χαίρων, ἢ π. V. 4. σικχάνω. P. V. 5. Λυσανίας. Nr. 45. V. 1. ἅμα βάλλοις. P.]

Digitized by Google

ἢν γὰρ ἐγώ τι πάθω, τί ποιήσετε; δῆλον, Ἔρωτες,
ὡς τὸ πάρος παίξεσθ' ἄφρονες ἀστραγάλοις.

47. ΜΕΛΕΑΓΡΟΥ.

Ματρὸς ἔτ' ἐν κόλποισιν ὁ νήπιος ὀρθρινὰ παίζων
ἀστραγάλοις, τοὐμὸν πνεῦμ' ἐκύβευσεν Ἔρως.

48. ΤΟΥ ΑΥΤΟΥ.

Κεῖμαι. λὰξ ἐπίβαινε κατ' αὐχένος, ἄγριε Δαῖμον.
οἶδά σε, ναὶ μὰ θεοὺς, καὶ βαρὺν ὄντα φέρειν.
οἶδα καὶ ἔμπυρα τόξα. βαλὼν δ' ἐπ' ἐμὴν φρένα πυρσούς,
οὐ φλέξεις ἤδη· πᾶσα γάρ ἐστι τέφρη.

49. ΤΟΥ ΑΥΤΟΥ.

Ζωροπότει δύσερως, καὶ σοῦ φλόγα τὰν φιλόπαιδα
κοιμάσει λάθας δωροδότας Βρόμιος.
ζωροπότει, καὶ πλῆρες ἀφυσσάμενος σκύφος οἴνας
ἔκκρουσον στυγερὰν ἐκ κραδίας ὀδύναν.

[❡] 50. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Πῖν' Ἀσκληπιάδη· τί τὰ δάκρυα ταῦτα; τί πάσχεις;
οὐ σὲ μόνον χαλεπὴ Κύπρις ἐληΐσατο,

---

Nr. 47. V. 1. ὄρθρια. Graef. Nr. 49. V. 1. ζωγροπότει. P.

Digitized by Google

οὐδ' ἐπὶ σοὶ μούνῳ κατεθήκατο τόξα καὶ ἰοὺς
πικρὸς Ἔρως. τί ζῶν ἐν σποδιῇ τίθεσαι;
πίνωμεν Βάκχου ζωρὸν πόμα. δάκτυλος ἀώς.
ἢ πάλι κοιμιστὰν λύχνον ἰδεῖν μένομεν;
πίνομεν οὖν γαλερῶς· μετά τοι χρόνον οὐκέτι πο
σχέτλιε, τὴν μακρὰν νύκτ' ἀναπαυσόμεθα.

51. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἔγχει, καὶ πάλιν εἰπέ, Διοκλέος· οὐδ' Ἀχελῷος
κείνου τῶν ἱερῶν αἰσθάνεται κυάθων.
καλὸς ὁ παῖς, Ἀχελῷε, λίην καλός· εἰ δέ τις οὐ
φησίν, ἐπισταίμην μοῦνος ἐγὼ τὰ καλά.

52. ΜΕΛΕΑΓΡΟΥ.

Οὔριος ἐμπνεύσας ναύταις Νότος, ὦ δυςέρωτες,
ἥμισύ μευ ψυχᾶς ἅρπασεν Ἀνδράγαθον.
τριςμάκαρες νᾶες, τρὶς δ' ὄλβια κύματα πόντου,
τετράκι δ' εὐδαίμων παιδοφορῶν ἄνεμος.
εἴθ' εἴην δελφίς, ἵν' ἐμοῖς βαστακτὸς ἐπ' ὤμοις
πορθμευθεὶς ἐςίδῃ τὰν γλυκύπαιδα Ῥόδον.

53. ΤΟΥ ΑΥΤΟΥ.

Εὔφορτοι νᾶες πελαγίτιδες, αἳ πόρον Ἕλλης
πλεῖτε, καλὸν κόλποις δεξάμεναι Βορέην,

---

Nr. 50. V. 7. πίνομεν οὐ γὰρ ἔρως. P. Nr. 51. V. 1. Διόκλει
Nr. 53. V. 1. πελαγείτιδες. P.

Digitized by Google

ἤν που ἐπ' ἠϊόνων Κῴαν κατὰ νᾶσον ἴδητε
Φανίον εἰς χαροπὸν δερκομέναν πέλαγος,
τοῦτ' ἔπος ἀγγεῖλαι· καλὴ νυὲ, σός με κομίζει
ἵμερος οὐ ναύταν, ποσσὶ δὲ πεζοπόρον.
εἰ γὰρ τοῦτ' εἴποιτ', εὖ * τέλοι αὐτίκα καὶ Ζεὺς
οὔριος ὑμετέρας πνεύσεται εἰς ὀθόνας.

54. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρνεῖται τὸν Ἔρωτα τεκεῖν ἡ Κύπρις, ἰδοῦσα
ἄλλον ἐν ἠϊθέοις Ἵμερον Ἀντίοχον.
ἀλλὰ νέοι στέργοιτε νέον Πόθον· ἦ γὰρ ὁ κοῦρος
εὕρηται κρείσσων οὗτος Ἔρωτος Ἔρως.

55. ΑΔΗΛΟΝ, οἱ δὲ ΑΡΤΕΜΩΝΟΣ.

Λητοΐδη, σὺ μὲν ἔσχες ἁλίῤῥυτον αὐχένα Δήλου,
κοῦρε Διὸς μεγάλου, θέσφατα πᾶσι λέγων·
Κεκροπίαν δ' Ἐχέδημος, ὁ δεύτερος Ἀτθίδι Φοῖβος,
ᾧ καλὸν ἁβροκόμης ἄνθος ἔλαμψεν Ἔρως.
[P] ἡ δ' ἀνὰ κῦμ' ἄρξασα, καὶ ἐν χθονὶ πατρὶς Ἀθήνη,
νῦν κάλλει δούλην Ἑλλάδ' ὑπηγάγετο.

V. 5. ἀγγεῖλατε καλὴ νοῖς ὡς μεῖ P. V. 6. παιζοπόρον. P. V. 7. Fort. εἴποιτ', ἀεὶ εὖ πέλοι. Nr. 54. V. 3. στέργοιτε ἐόν. P. V. 4. εἴρηται. P. Nr. 55. V. 6. ὑπαιγάγετο. P.

### 56. ΜΕΛΕΑΓΡΟΥ.

Εἰκόνα μὲν Παρίην ζωογλύφος ἄνυσ' Ἔρωτος
 Πραξιτέλης, Κύπριδος παῖδα τυπωσάμενο
νῦν δ' ὁ θεῶν κάλλιστος Ἔρως ἔμψυχον ἄγαλ
 αὐτὸν ἀπεικονίσας, ἔπλασε Πραξιτέλην·
ὄφρ' ὁ μὲν ἐν θνατοῖς, ὁ δ' ἐν αἰθέρι φίλτρ
 βεύῃ,
γῆς θ' ἅμα καὶ μακάρων σκηπτροφορῶσι
ὀλβίστη Μερόπων ἱερὰ πόλις, ἃ θεόπαιδα
 καινὸν Ἔρωτα νέων θρέψεν ὑφαγεμόνα.

### 57. ΤΟΥ ΑΥΤΟΥ.

Πραξιτέλης ὁ πάλαι ζωογλύφος ἁβρὸν ἄγαλμα
 ἄψυχον, μορφᾶς κωφὸν ἔτευξε τύπον,
πέτρον ἐνειδοφορῶν· ὁ δὲ νῦν, ἔμψυχα μαγεύ
 τὸν τριπανοῦργον Ἔρωτ' ἔπλασεν ἐν κραι
ἦ τάχα τοὔνομ' ἔχει ταὐτὸν μόνον, ἔργα δὲ κ
 οὐ λίθον, ἀλλὰ φρενῶν πνεῦμα μεταῤῥυ
Ἵλαος πλάσσοι τὸν ἐμὸν τρόπον, ὄφρα τυπώσα
 ἐντὸς ἐμὴν ψυχὴν ναὸν Ἔρωτος ἔχῃ.

---

Nr. 56. V. 1. ζωγλύφος. P. V. 4. αὐτόματ' εἰκον. P. V
ἐθνατοις. P. βραβεύει. Ib. V 8. νέον. P. Nr. 57. V. 3. ἐν
ρων. P. V. 4. ἔρως. P. V. 5. κρέσσω. P. V. 6. μεταρυθμ
V. 8. ναὸς ἔ. ἔχει. P.

Digitized by Google

58. ΡΙΑΝΟΥ.

Ἡ Τροιζὴν ἀγαθὴ κουροτρόφος· οὐκ ἂν ἁμάρτοις
* δονήσας παίδων οὐδὲ τὸν ὑστάτιον.
τόσσον δ᾽ Ἐμπεδοκλῆς φανερώτερος, ὅσσον ἐν ἄλλοις
ἄνθεσιν εἰαρινοῖς καλὸν ἔλαμψε ῥόδον.

59. ΜΕΛΕΑΓΡΟΥ.

Ἁβρούς, ναὶ τὸν Ἔρωτα, τρέφει Τύρος· ἀλλὰ Μυΐσκος
ἔσβεσεν ἐκλάμψας ἀστέρας ἠέλιος.

60. ΤΟΥ ΑΥΤΟΥ.

Ἢν ἐςίδω Θήρωνα, τὰ πάνθ᾽ ὁρῶ· ἢν δὲ τὰ πάντα
βλέψω, τόνδε δὲ μή, τἄμπαλιν οὐδὲν ὁρῶ.

61. ΑΔΗΛΟΝ.

Ἄθρει μοι διὰ παντός· ὅλαν κατέτηκ᾽ Ἀρίβαζος
τὰν Κνίδον· ἁ πέτρα θρυπτομένα θέρεται.

62. ΑΛΛΟ.

Ματέρες αἱ Περσῶν, καλὰ μὲν καλὰ τέκνα τέκεσθε·
ἀλλ᾽ Ἀρίβαζος ἐμοὶ κάλλιον ἢ τὸ καλόν.

---

Nr. 58. V. 1. αἰνήσας. Br. Nr. 61. V. 1. Fort. ἀνθρακιῇ διὰ παντός. — Ἀρίβαζε. P. V. 2. φέρεται. P.

Digitized by Google

63. ΜΕΛΕΑΓΡΟΥ.

Σιγῶν Ἡράκλειτος ἐν ὄμμασι τοῦτ' ἔπος αὐδᾷ·
Καὶ Ζηνὸς φλέξω πῦρ τὸ κεραυνοβόλον.
[Ρ] ναὶ μὴν καὶ Διόδωρος ἐνὶ στέρνοις τόδε φωνεῖ·
Καὶ πέτρον τήκω χρωτὶ χλιαινόμενον.
δύστανος, παίδων ὃς ἐδέξατο τοῦ μὲν ἀπ' ὄσσων
λαμπάδα, τοῦ δὲ πόθοις τυφόμενον γλυκὺ πῦρ.

64. ΑΛΚΑΙΟΥ.

Ζεὺς Πίσης μεδέων, Πειθήνορα, δεύτερον υἷα
Κύπριδος, αἰπεινᾷ στέψον ὑπὸ Κρονίᾳ·
μηδέ μοι οἰνοχόον κυλίκων σέθεν αἰετὸς ἀρθεὶς
μάρψαις ἀντὶ καλοῦ, κοίρανε, Δαρδανίδου.
εἰ δέ τι Μουσάων τοι ἐγὼ φίλον ὤπασα δῶρον,
νεύσαις μοι θείου παιδὸς ὁμοφροσύνην.

65. ΜΕΛΕΑΓΡΟΥ.

Εἰ Ζεὺς κεῖνος ἔτ' ἐστίν, ὃ καὶ Γανυμήδεος ἀκμὴν
ἁρπάξας, ἵν' ἔχῃ νέκταρος οἰνοχόον,
κἠμοὶ τὸν καλόν ἐστι * σπλάγχνοισι Μυΐσκον
κρύπτειν, μή με λάθῃ παιδὶ βαλὼν πτέρυγας.

---

Nr. 63. V. 3. στέρνοισθ' ὃ δ' ἐφώνει. P. Nr. 64. V. 2. αἰπινῇ στ. P. V. 3. οἰνοχόων. et ἀετός. P. V. 5. εἰ δ' ἔτι. P. Nr. 65. V. 3. ὑπὸ σπλ. Br. Fort. ἐστι θέμις. V. 4. μὴ καὶ λ. P.

Digitized by Google

### 66. ΑΔΗΛΟΝ.

*Κρίνατ' Ἔρωτες, ὁ παῖς τίνος ἄξιος. εἰ μὲν ἀληθῶς*
*ἀθανάτων, ἐχέτω· Ζανὶ γὰρ οὐ μάχομαι.*
*εἰ δέ τι καὶ θνατοῖς ὑπολείπεται, εἴπατ' Ἔρωτες,*
*Δωρόθεος τίνος ἦν, καὶ τίνι νῦν δέδοται.*
*ἐν φανερῷ φωνεῦσιν· ἐμὴ χάρις. ἀλλ' ἀποχωρεῖ.*
*μηκέτι πρὸς τὸ καλὸν καὶ σὺ μάταια φέρῃ.*

### 67. ΑΔΗΛΟΝ.

*Τὸν καλὸν οὐχ ὁρόω Διονύσιον. ἆρά γ' ἀναρθεὶς,*
*Ζεῦ πάτερ, [ἀθανάτοις] δεύτερος οἰνοχοεῖ;*
*αἰετέ, τὸν χαρίεντα, ποτὶ πτερὰ πυκνὰ τινάξας,*
*πῶς ἔφερες; μή που κνίσματ' ὄνυξιν ἔχει;*

### 68. ΜΕΛΕΑΓΡΟΥ.

*Οὐκ ἐθέλω Χαρίδαμον· ὁ γὰρ καλὸς εἰς Δία λεύσσει,*
*ὡς ἤδη νέκταρ τῷ θεῷ οἰνοχοῶν.*
*οὐκ ἐθέλω· τί δέ μοι τὸν ἐπουρανίων βασιλῆα*
*ἄντᾳθλον νίκης τῆς ἐν ἔρωτι λαβεῖν;*
*αἱροῦμαι δ', ἢν μοῦνον ὁ παῖς ἀνιὼν ἐς Ὄλυμπον,*
*ἐκ γῆς νίπτρα ποδῶν δάκρυα τἀμὰ λάβῃ,*

---

Nr. 66. V. 5. *φονεῦσιν* et *ἀποχώρει*. P. V. 6. *μημέτι*. P. Fort. *θυμέ, μάταια φέρου*. Nr. 67. V. 1. *ἀρ' ἀγ' ἀν*. Fort. *ἢ ῥά γ' ἀν*. Nr. 68. V. 1. *ὃς γάρ*. P. V. 2. *ἤδη τῷ θῷ νέκταρ*. P. V. 3. *τίς δε*. P. *τῶν ἐπ*. Ib. V. 5. *δή*. P. Fort. *ἀρκοῦμαι δ', ἤν*.

μναμόσυνον στοργῆς· γλυκὺ δ' ὄμμασι νεῦμα διΰγρον
δοίη, καί τι φίλημ' ἁρπάσαι ἀκροθιγές.
[P.] τἄλλα δὲ πάντ' ἐχέτω Ζεύς, ὡς θέμις. εἰ δ' ἐθελήσει,
ἦ τάχα που κἠγὼ γεύσομαι ἀμβροσίας.

69. ΑΔΗΛΟΝ.

Ζεῦ, προτέρῳ τέρπου Γανυμήδεϊ· τὸν δ' ἐμόν, ὦναξ,
Δέξανδρον δέρκευ τηλόθεν, οὐ φθονέω.
εἰ δὲ βίῃ τὸν καλὸν ἀποίσεαι, οὐκέτ' ἀνεκτῶς
δεσπόζεις· ἀπίτω καὶ τὸ βιοῦν ἐπὶ σοῦ.

70. ΜΕΛΕΑΓΡΟΥ.

Στήσομ' ἐγὼ καὶ Ζηνὸς ἐναντίον, εἴ σε, Μυΐσκε,
ἁρπάζειν ἐθέλοι νέκταρος οἰνοχόον.
καίτοι πολλάκις αὐτὸς ἐμοὶ τάδ' ἔλεξε· τί ταρβεῖς;
οὔ σε βαλῶ ζήλοις· οἶδα παθὼν ἐλεεῖν.
χὢ μὲν δὴ τάδε φησίν· ἐγὼ δ', ἢν μυῖα παραπτῇ,
ταρβῶ, μὴ ψεύστης Ζεὺς ἐπ' ἐμοὶ γέγονεν.

71. ΚΑΛΛΙΜΑΧΟΥ.

Θεσσαλικὲ Κλεόνικε τάλαν, τάλαν· οὐ μὰ τὸν ὀξὺν
ἥλιον, οὐκ ἔγνων· σχέτλιε, ποῦ γέγονας;

---

V. 9. δὲ θελήσοι. P. Nr. 69. V. 3. ἀπαίσεται. P. V. 4. καὶ βιοῦν. P. Nr. 70. V. 1. εἰς ἐμέ. P. V. 5. παράπτηι. P. Nr. 71. V. 2. οὐκ ἔγνω. P.

Digitized by Google

ὀστέα σοι καὶ μοῦνον ἔτι τρίχες. ἦ ῥά σε δαίμων
    αὑμὸς ἔχει, χαλεπῇ δ' ἤντεο θευμορίῃ;
ἔγνων, Εὐξίθεός σε συνήρπασε· καὶ σὺ γὰρ ἐλθὼν
    τὸν καλόν, ὦ μόχθηρ', ἔβλεπες ἀμφοτέροις.

## 72. ΜΕΛΕΑΓΡΟΥ.

Ἤδη μὲν γλυκὺς ὄρθρος· ὁ δ' ἐν προθύροισιν ἄϋπνος
    Δᾶμις ἀποψύχει πνεῦμα τὸ λειφθὲν ἔτι,
σχέτλιος Ἡράκλειτον ἰδών· ἔστη γὰρ ὑπ' αὐγὰς
    ὀφθαλμῶν, βληθεὶς κηρὸς ἐς ἀνθρακιήν.
ἀλλά μοι ἔγρεο, Δᾶμι δυσάμμορε· καὐτὸς Ἔρωτος
    ἕλκος ἔχων ἐπὶ σοῖς δάκρυσι δακρυχέω.

## 73. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἥμισύ μευ ψυχῆς ἔτι τὸ πνέον, ἥμισυ δ' οὐκ οἶδ'
    εἴτ' Ἔρος, εἴτ' Ἀΐδης ἥρπασε· πλὴν ἀφανές.
ἦ ῥά τιν' ἐς παίδων πάλιν ᾤχετο. καὶ μὲν ἀπεῖπον
    πολλάκι· τὴν δρῆστιν μὴ ὑπόδεχθε, νέοι.
* οὐκισυνιφησον· ἐκεῖσε γὰρ ἡ λιθόλευστος
    κείνη καὶ δύσερως οἶδ' ὅτ' ἐπιστρέφεται.

V. 5. με συνηρ. P. Nr. 72. V. 6. δακρυχέων. P. Nr. 73. V. 2. ἔρις. P. V. 4. ὑπεχέσθε. P. V. 5. Fort. οὔ κίς νῦν δίφησον. V. 6. ὅτι που στρ. P.

Digitized by Google

74. ΜΕΛΕΑΓΡΟΥ.

Ἤν τι πάθω, Κλεόβουλε, (τί γὰρ πλέον; ἐν πυρὶ παίδων
βαλλόμενος κεῖμαι λείψανον ἐν σποδιῇ·)
λίσσομαι, ἀκρήτῳ μέθυσον, πρὶν ὑπὸ χθόνα θέσθαι,
κάλπιν, ἐπιγράψας· Δῶρον Ἔρως Ἀΐδῃ.

[P] 75. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Εἰ πτερά σοι προσέκειτο, καὶ ἐν χερὶ τόξα καὶ ἰοί,
οὐκ ἂν Ἔρως ἐγράφη Κύπριδος, ἀλλὰ σύ, παῖς.

76. ΜΕΛΕΑΓΡΟΥ.

Εἰ μὴ τόξον Ἔρως, μηδὲ πτερά, μηδὲ φαρέτραν,
μηδὲ πυριβλήτους εἶχε Πόθων ἀκίδας,
οὐκ, αὐτὸν τὸν πτανὸν ἐπόμνυμαι, οὔποτ' ἂν ἔγνως
ἐκ μορφᾶς, τίς ἔφυ Ζωΐλος, ἢ τίς Ἔρως.

77. ΑΣΚΛΗΠΙΑΔΟΥ ἢ ΠΟΣΕΙΔΙΠΠΟΥ.

Εἰ καθύπερθε λάβοις χρύσεα πτερά, καί σευ ἀπ' ὤμων
τείνοιτ' ἀργυρέων ἰοδόκος φαρέτρη,
καὶ σταίης παρ' Ἔρωτα, φιλάγλαον οὐ μὰ τὸν Ἑρμῆν,
οὐδ' αὐτὴ Κύπρις γνώσεται ὃν τέτοκεν.

---

Nr. 74. V. 1. τὸ γάρ. P. Nr. 75. V. 2. καί. Br. Nr. 76. V. 3. ἐπομνύμαι. P. Nr. 77. V. 2. Fort. ἀργυφέων.

Digitized by Google

78. ΜΕΛΕΑΓΡΟΥ.

Εἰ χλαμύδ' εἶχεν Ἔρως, καὶ μὴ πτερά, μηδ' ἐπὶ νώτων
τόξα τε καὶ φαρέτραν, ἀλλ' ἐφόρει πέτασον,
ναὶ μὰ τὸν ἁβρὸν ἔφηβον ἐπόμνυμαι, Ἀντίοχος μὲν
ἦν ἂν Ἔρως, ὁ δ' Ἔρως τἄμπαλιν Ἀντίοχος.

79. ΑΔΗΛΟΝ.

Ἀντίπατρός μ' ἐφίλησ' ἤδη λήγοντος ἔρωτος,
καὶ πάλιν ἐκ ψυχρῆς πῦρ ἀνέκαυσε τέφρης.
δὶς δὲ μιῆς ἄκων ἔτυχον φλογός. ὦ δυςέρωτες
φεύγετε, μὴ πρήσω τοὺς πέλας ἁψάμενος.

80. ΜΕΛΕΑΓΡΟΥ.

Ψυχὴ δυςδάκρυτε, τί σοι τὸ πεπανθὲν Ἔρωτος
τραῦμα διὰ σπλάγχνων αὖθις ἀναφλέγεται;
μή, μή, πρός σε Διός, μή, πρὸς Διός, ὦ φιλάβουλε,
κινήσῃς τέφρῃ πῦρ ὑπολαμπόμενον.
αὐτίκα γάρ, λήθαργε κακῶν, πάλιν εἴ σε φυγοῦσαν
λήψετ' Ἔρως, εὑρὼν δραπέτιν, αἰκίσεται.

---

Nr. 78. V. 1. ἔρως εἶχεν. P. V. 3. ναὶ τόν. P. V. 4. ἦν ἄρ'. P. Nr. 79. V. 3. δίς με. P. Nr. 80. V. 4. ὑποθαλπόμενον. Br. V. 5. εἰσσέ. P.

Digitized by Google

### 81. ΤΟΥ ΑΥΤΟΥ.

Ψυχαπάται δυσέρωτες, ὅσοι φλόγα τὴν φιλόπαιδα
οἴδατε, τοῦ πικροῦ γευσάμενοι μέλιτος,
ψυχρὸν ὕδωρ νιφάδος, ψυχρόν, τάχος, ἄρτι τακείσης
ἐκ χιόνος τῇ 'μῇ χεῖτε περὶ κραδίῃ.
ἦ γὰρ ἰδεῖν ἔτλην Διονύσιον. ἀλλ' ὁμόδουλοι,
πρὶν ψαῦσαι σπλάγχνων, πῦρ ἀπ' ἐμεῦ σβέσατε.

### 82. ΤΟΥ ΑΥΤΟΥ.

Ἔσπευδον τὸν Ἔρωτα φυγεῖν. ὁ δὲ βαιὸν ἀνάψας
φανίον ἐκ τέφρης, εὗρέ με κρυπτόμενον.
[¶] κυκλώσας δ' οὐ τόξα, χερὸς δ' ἀκρώνυχα δισσά,
κνίσμα πυρὸς θραύσας, εἴς με λαθὼν ἔβαλεν.
ἐκ δὲ φλόγες πάντη μοι ἐπέδραμον. ὦ βαρὺ φέγγος
λάμψαν ἐμοί, μέγα πῦρ Φανίον ἐν κραδίᾳ.

### 83. ΤΟΥ ΑΥΤΟΥ.

Οὔ μ' ἔτρωσεν Ἔρως τόξοις, οὐ λαμπάδ' ἀνάψας,
ὡς πάρος, αἰθομέναν θῆκεν ὑπὸ κραδίᾳ.
σύγκωμον δὲ Πόθοισι φέρων Κύπριδος μυροφεγγὲς
φανίον, ἄκρον ἐμοῖς ὄμμασι πῦρ ἔβαλεν.

---

Nr. 81. V. 1. ψυχροπόται. Br. ψυχαπάτην V. D. corr. τὰν φ. Ib. V. 3. ὕδωρ νίψαι. P. V. 4. χεῖται. P. V. 5. εἰ γάρ. P. Nr. 82. V. 3. Fort. ἀκρώνυχα δισσόν. V. 5. φλογὸς et ἐπέδραμεν. P. Fort. βαρυφεγγὲς λ. ἐμοὶ μέγα πῦρ, Φάνιον, ἐν κρ. cum Graefio.

ἐκ δέ με φέγγος ἔτηξε. τὸ δὲ βραχὺ φανίον ὤφθη
    πῦρ ψυχῆς τῇ 'μῇ καιόμενον κραδίᾳ.

### 84. ΤΟΥ ΑΥΤΟΥ.

Ὤνθρωποι βωθεῖτε. τὸν ἐκ πελάγους ἐπὶ γαῖαν
    ἄρτι με πρωτόπλουν ἴχνος ἐρειδόμενον
ἕλκει τῇδ' ὁ βίαιος Ἔρως· φλόγα δ' οἷα προφαίνων
    παιδὸς * ἀπεστέπτει κάλλος ἐραστὸν ἰδεῖν.
βαίνω δ' ἴχνος ἐπ' ἴχνος, ἐν ἀέρι δ' ἡδὺ τυπωθὲν
    εἶδος ἀφαρπάζων χείλεσιν ἡδυφιλῶ.
ἆρά γε τὴν πικρὰν προφυγὼν ἅλα, πουλύ τι κείνης
    πικρότερον χέρσῳ κῦμα περῶ Κύπριδος;

### 85. ΤΟΥ ΑΥΤΟΥ.

Οἰνοπόται δέξασθε τὸν ἐκ πελάγους ἅμα πόντον
    καὶ κλῶπας προφυγόντ', ἐν χθονὶ δ' ὀλλύμενον.
ἄρτι γὰρ ἐκ νηός με μόνον πόδα θέντ' ἐπὶ γαῖαν
    ἀγρεύσας ἕλκει τῇδ' ὁ βίαιος Ἔρως,
ἐνθάδ' ὅπου τὸν παῖδα διαστείχοντ' ἐνόησα.
    αὐτομάτοις δ' ἄκων ποσσὶ ταχὺς φέρομαι.
κωμάζω δ' οὐκ οἶνον ὑπὸ φρένα, πῦρ δὲ γεμισθείς,
    ἀλλὰ φίλῳ, ξεῖνοι, βαιὸν ἐπαρκέσατε.

---

Nr. 84. V. 4. ἀπάστραπται. Br. Fort. ἀποσπεύδει. aut ἀποστείχει. V. 5. τύπωσεν. P. V. 6. ἡδὺ φίλωι. P. V. 7. Fort. ἦ ῥά γε, deleto signo interrogandi. Nr. 85. V. 5. διαστίχοντ'. P. V. 6. αὐτόματος. P. V. 8. φίλωι ξείνω.

ἀρκέσατ', ὦ ξεῖνοι, κἀμὲ Ξενίου πρὸς Ἔρωτος
δέξασθ' ὀλλύμενον τὸν φιλίας ἱκέτην.

86. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ Κύπρις θήλεια γυναικομανῆ φλόγα βάλλει·
ἄρσενα δ' αὐτὸς Ἔρως ἵμερον ἁνιοχεῖ.
ποῖ ῥέψω; ποτὶ παῖδ' ἢ ματέρα; φαμὶ δὲ καὐτὰν
Κύπριν ἐρεῖν· νικᾷ τὸ θρασὺ παιδάριον.

87. ΑΔΗΛΟΝ.

Τλῆμον Ἔρως, οὐ θῆλυν ἐμοὶ πόθον, ἀλλά τιν' αἰεὶ
δινεύεις στεροπὴν καύματος ἀρσενικοῦ.
[‽] ἄλλοτε γὰρ Δήμωνι πυρούμενος, ἄλλοτε λεύσσων
Ἰσμηνόν, δολιχοὺς αἰὲν ἔχω καμάτους.
οὐ μούνοις δ' ἐπὶ τοῖσι δεδόρκαμεν· ἀλλ' ἐπὶ πάντων
ἄρκυσι πουλυμανῆ κανθὸν ἐφελκόμεθα.

88. ΑΔΗΛΟΝ.

Δισσοί με τρύχουσι καταιγίζοντες ἔρωτες,
Εὔμαχε, καὶ δισσαῖς ἐνδέδεμαι μανίαις.
ᾗ μὲν ἐπ' Ἀσάνδρου κλίνω δέμας, ᾗ δὲ πάλιν μοι
ὀφθαλμὸς νεύει Τηλέφου ὀξύτερος.
τμήξατ', ἐμοὶ τοῦθ' ἡδύ, καὶ εἰς πλάστιγγα δικαίην
νειμάμενοι, κλήρῳ τἀμὰ φέρεσθε μέλη.

---

V. 9. ἀρκεσάτω ξ. P. Nr. 86. V. 3. παῖδα τῇ. P. Nr. 87. V. 2. δινεύει. P. κύματος. Ib. V. 6. δάκρυσι πολ. Nr. 88. V. 5. τμήξατέ μου. P.

89. ΑΔΗΛΟΝ.

Κύπρι, τί μοι τρισσοὺς ἐφ' ἕνα σκοπὸν ἤλασας ἰούς,
    ἐν δὲ μιῇ ψυχῇ τρισσὰ πέπηγε βέλη;
καὶ τῇ μὲν φλέγομαι, τῇ δ' ἕλκομαι· ᾗ δ' ἀπονεύσω,
    διστάζω. λάβρῳ δ' ἐν πυρὶ πᾶς φλέγομαι.

90. ΑΔΗΛΟΝ.

Οὐκέτ' ἐρῶ. πεπάλαικα πόθοις τρισίν. εἷς μὲν ἑταίρης,
    εἷς δέ με παρθενικῆς, εἷς δέ μ' ἔκαυσε νέου.
καὶ κατὰ πᾶν ἤλγηκα. γεγύμνασμαι μέν, ἑταίρης
    πείθων τὰς ἐχθρὰς οὐδὲν ἔχοντι θύρας.
ἔστρωμαι δὲ κόρης ἐπὶ παστάδος αἰὲν ἄϋπνος,
    ἕν, τὸ ποθεινότατον, παιδὶ φίλημα διδούς.
οἴ μοι, πῶς εἴπω πῦρ τὸ τρίτον; ἐκ γὰρ ἐκείνου
    βλέμματα καὶ κενεὰς ἐλπίδας οἶδα μόνον.

91. ΠΟΛΥΣΤΡΑΤΟΥ.

Δισσὸς Ἔρως αἴθει ψυχὴν μίαν. ὦ τὰ περισσὰ
    ὀφθαλμοὶ πάντη πάντα κατοσσόμενοι,
εἴδετε τὸν χρυσέαισι περίσκεπτον Χαρίτεσσιν
    Ἀντίοχον, λιπαρῶν ἄνθεμον ἠϊθέων.
ἀρκείτω. τί τὸν ἡδὺν ἐπηυγάσσασθε καὶ ἁβρὸν
    Στασικράτη, Παφίης ἔρνος ἰοστεφάνου;

---

Nr. 89. V. 3. ἢν δ' ἀπανεύσω. P. Nr. 90. V. 3. ἤλγηκα. bis. P. V. 5. ἐπίσταδος. P. V. 6. ἀντιποθ'. P.

καίεσθε, τρύχεσθε, καταφλέχθητε ποτ' ἤδη·
οἱ δύο γὰρ ψυχὴν οὐκ ἂν ἕλοιτε μίαν.

92. ΜΕΛΕΑΓΡΟΥ.

Ὦ προδόται ψυχῆς, παίδων κύνες, αἰὲν ἐν ἰξῷ
Κύπριδος ὀφθαλμοὶ βλέμματα χριόμενοι,
[¶] ἡρπάσατ' ἄλλον Ἔρωτ', ἄρνες λύκον, οἷα κορώνη
σκορπίον, ὡς τέφρη πῦρ ὑποθαλπόμενον.
δρᾶθ' ὅ τι καὶ βούλεσθε. τί μοι νενοτισμένα χεῖτε
δάκρυα· πρὸς δ' ἱκέτην αὐτομολεῖτε τάχος;
ὀπτᾶσθ' ἐν κάλλει, τύφεσθ' ὑποκαόμενοι νῦν,
ἄκρος ἐπεὶ ψυχῆς ἐστὶ μάγειρος Ἔρως.

93. ΡΙΑΝΟΥ.

Οἱ παῖδες λαβύρινθος ἀνέξοδος· ᾗ γὰρ ἂν ὄμμα
ῥίψῃς, ὡς ἰξῷ τοῦτο προσαμπέχεται.
τῇ μὲν γὰρ Θεόδωρος ἄγει ποτὶ πίονα σαρκὸς
ἀκμήν, καὶ γυίων ἄνθος ἀκηράσιον·
τῇ δὲ Φιλοκλῆος χρύσεον ῥέθος, ὅςτε καθ' ὕψος
οὐ μέγας, οὐρανίη δ' ἀμφιτέθηλε χάρις.
ἢν δ' ἐπὶ Λεπτίνεω στρέψῃς δέμας, οὐκέτι γυῖα
κινήσεις, ἀλύτῳ δ' ὡς ἀδάμαντι μένεις,

Nr. 91. V. 8. ἔλητε. P. Nr. 92. V. 1. αἰὲν ἴξῳ. P. V. 6. εἱρκτήν. Br. Fort. πρὸς δὲ πέδην. V. 7. ὄπτασεν κ. P. Nr. 93. V. 2. ῥίψας ἴξῳ. P. V. 5. ὅς τό. P. V. 6. οὐρανίης. P. V. 7. ἐπὶ λεπτήνετω. P.

ἴχνια κολληθείς· τοῖον σέλας ὄμμασιν αἴθει
κοῦρος, καὶ νεάτους ἐκ κορυφῆς ὄνυχας.
χαίρετε καλοὶ παῖδες, ἐς ἀκμαίην δὲ μολεῖτε
ἥβην, καὶ λευκὴν ἀμφιέσασθε κόμην.

## 94. ΜΕΛΕΑΓΡΟΥ.

Τερπνὸς μὲν Διόδωρος, ἐν ὄμμασι δ' Ἡράκλειτος,
ἡδυεπὴς δὲ Δίων, ὀσφύϊ δ' Οὐδιάδης.
ἀλλὰ σὺ μὲν ψαύοις ἁπαλόχροος, ᾧ δέ, Φιλόκλεις,
ἔμβλεπε, τῷ δὲ λάλει, τὸν δέ ... τὸ λειπόμενον·
ὡς γνῷς, οἷος ἐμὸς νόος ἄφθονος· ἢν δὲ Μυΐσκῳ
λίχνος ἐνιβλέψῃς, μηκέτ' ἴδοις τὸ καλόν.

## 95. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ σε Πόθοι στέργουσι, Φιλοκλέες, ἥ τε μυρόπνους
Πειθώ, καὶ κάλλευς ἀνθολόγοι Χάριτες,
ἀγκὰς ἔχοις Διόδωρον, ὁ δὲ γλυκὺς ἀντίος * ἤδη
Δωρόθεος, κείσθω δ' εἰς γόνυ Καλλικράτης,
ἰαίνοι δὲ Δίων τόδ' εὔστοχον ἐν χερὶ τείνων
σὸν κέρας, Οὐδιάδης δ' αὐτὸ περισκυθίσαι,
δοίη δ' ἡδὺ φίλημα Φίλων, Θήρων δὲ λαλῆσαι,
θλίβοις δ' Εὐδήμου τιτθὸν ὑπὸ χλαμύδι.

---

V. 11. *μόλοιτε.* Schaefer. V. 12. *ἀμφιέσεσθε.* P. Nr. 94. V. 1. *Στέργοις μέν.* Graef. Fort. *Τερπνὸς ἀκμήν.* V. 6. *ἐων βλ.* P. Nr. 95. V. 5. Fort. *ἴλλοι* cum Graefio. V. 8. *τυτθόν.* Br.

εἰ γάρ σοι τάδε τερπνὰ πόροι θεός, ὦ μάκαρ, οἵαν
ἀρτύσεις παίδων Ῥωμαϊκὴν λοπάδα.

[▼] 96. ΑΔΗΛΟΝ.

Οὔτι μάταν θνατοῖσι φάτις τοιάδε βοᾶται,
ὡς „οὐ πάντα θεοὶ πᾶσιν ἔδωκαν ἔχειν.“
εἶδος μὲν γὰρ ἄμωμον, ἐπ᾽ ὄμμασι δ᾽ ἁ περίσαμος
αἰδώς, καὶ στέρνοις ἀμφιτέθαλε χάρις,
οἷσι καὶ ἠϊθέους ἐπιδάμνασαι· ἀλλ᾽ ἐπὶ ποσσὶν
οὐκέτι τὰν αὐτὰν δῶκαν ἔχειν σε χάριν.
πλὴν κρηπὶς κρύψει ποδὸς ἴχνιον, ὦ ᾽γαθὲ Πύῤῥε,
κάλλεϊ δὲ σφετέρῳ τέρψει ἀγαλλόμενον.

97. ΑΝΤΙΠΑΤΡΟΥ.

Εὐπάλαμος ξανθὸν μὲν ἐρεύθεται, ἶσον Ἔρωτι,
μέσφ᾽ ἐπὶ τὸν Κρητῶν ποιμένα Μηριόνην·
ἐκ δέ νυ Μηριόνεω Ποδαλείριον, οὐκέτ᾽ ἐς Ἠῶ
νεῖται· ἴδ᾽ ὡς φθονερὰ παγγενέτειρα φύσις.
εἰ γὰρ τῷ τά τ᾽ ἔνερθε, τά θ᾽ ὑψόθεν ἶσα πέλοιτο,
ἦν ἂν Ἀχιλλῆος φέρτερος Αἰακίδεω.

---

V. 10. λωπάδα. P. Nr. 96. V. 1. βοᾶτε. P. V. 8. ἀγαλλόμενος. P. Nr. 97. V. 1. εἶσον. P. V. 2. μέσφ᾽ ἀπὸ Κρ. P. V. 3. Ποδαλείριος cum Toupio. V. 6. αἰακίδαο. P. Αἰακίδα. Br.

Digitized by Google

98. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Τὸν Μουσῶν τέττιγα Πόθος δήσας ἐπ' ἀκάνθαις
κοιμίζειν ἐθέλει, πῦρ ὑπὸ πλευρὰ βαλών·
ἡ δὲ πρὶν ἐν βίβλοις πεπονημένη ἄλλ' ἀθερίζει
ψυχή, ἀνιηρῷ δαίμονι μεμφομένη.

99. ΑΔΗΛΟΝ.

Ἠγρεύθην ὑπ' Ἔρωτος, ὁ μηδ' ὄναρ οὐδὲ μαθών περ
ἄρσενα ποιμαίνειν θεσμὸν ὑπὸ κραδίας.
ἠγρεύθην. ἀλλ' οὔ με κακῶν πόθος, ἀλλ' ἀκέραιον
σύντροφον αἰσχύνη βλέμμα κατηνθράκισεν.
τηκέσθω Μουσέων ὁ πολὺς πόνος· ἐν πυρὶ γὰρ νοῦς
βέβληται, γλυκερῆς ἄχθος ἔχων ὀδύνης.

100. ΑΔΗΛΟΝ.

Εἰς οἵων με πόθων λιμένα ξένον, ὦ Κύπρι, θεῖσα
οὐκ ἐλεεῖς, καὐτὴ πεῖραν ἔχουσα πόνων;
ἦ μ' ἐθέλεις ἄτλητα παθεῖν καὶ τοῦτ' ἔπος εἰπεῖν·
τὸν σοφὸν ἐν Μούσαις Κύπρις ἔτρωσε μόνη;

101. ΜΕΛΕΑΓΡΟΥ.

Τόν με Πόθοις ἄτρωτον ὑπὸ στέρνοισι Μυΐσκος
ὄμμασι τοξεύσας, τοῦτ' ἐβόησεν ἔπος·

---

Nr. 98. V. 1. τῶν μ. P. V. 3. βύβλοις. P. Nr. 99. V. 1. μύθον. P. V. 2. θερμόν. P. Nr. 100. V. 1. Fort. λιμέν' ἄξενον.



Digitized by Google

τὸν θρασὺν εἷλον ἐγώ· τὸ δ' ἐπ' ὀφρύσι κεῖνο φρύαγμα
σκηπτροφόρου σοφίας ἤνιδε ποσσὶ πατῶ.
τῷ δ', ὅσον ἀμπνεύσας, τόδ' ἔφην· Φίλε κοῦρε, τί θαμβεῖς;
καὐτὸν ἀπ' Οὐλύμπου Ζῆνα καθεῖλεν Ἔρως.

[?] 102. ΚΑΛΛΙΜΑΧΟΥ.

Ὡγρευτής, Ἐπίκυδες, ἐν οὔρεσι πάντα λαγωὸν
διφᾷ, καὶ πάσης ἴχνια δορκαλίδος,
στίβῃ καὶ νιφετῷ κεχρημένος. ἢν δέ τις εἴπῃ,
τῇ, τόδε βέβληται θηρίον· οὐκ ἔλαβεν.
χοὐμὸς ἔρως τοιόςδε· τὰ μὲν φεύγοντα διώκειν
οἶδε, τὰ δ' ἐν μέσσῳ κείμενα παρπέταται.

103. ΑΔΗΛΟΝ.

Οἶδα φιλεῖν φιλέοντας· ἐπίσταμαι, ἤν μ' ἀδικῇ τις,
μισεῖν· ἀμφοτέρων εἰμὶ γὰρ οὐκ ἀδαής.

104. ΑΔΗΛΟΝ.

Οὑμὸς ἔρως παρ' ἐμοὶ μενέτω μόνον· ἢν δὲ πρὸς ἄλλους
φοιτήσῃ, μισῶ κοινὸν ἔρωτα, Κύπρι.

---

Nr. 101. V. 5. ἐμπνεύσας. P. V. 6. ἀπολύμπου. P. Nr. 102. V. 3. στείβῃ. P. V. 6. παρπέταται et προφέρεται. P. Nr. 103. V. 1. κην μ' ἀδικεῖ. P.

### 105. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Μικρὸς Ἔρως ἐκ μητρὸς ἔτ' εὐθήρατος ἀποπτὰς,
ἐξ οἴκων * ὑψοῦ Δάμιδος οὐ πέταμαι.
ἀλλ' αὐτὸν φιλέω τε, καὶ ἄζηλωτα φιληθεὶς,
οὐ πολλοῖς εὐκρὰς, εἷς ἑνὶ συμφέρομαι.

### 106. ΜΕΛΕΑΓΡΟΥ.

Ἓν καλὸν οἶδα τὸ πᾶν. ἕν μοι μόνον οἶδε τὸ λίχνον
ὄμμα, Μυΐσκον ὁρᾷν· τἄλλα δὲ τυφλὸς ἐγώ.
πάντα δ' ἐκεῖνος ἐμοὶ φαντάζεται· ἆρ' ἐσορῶσιν
ὀφθαλμοὶ ψυχῇ πρὸς χάριν, οἱ κόλακες;

### 107. ΑΔΗΛΟΝ.

Τὸν καλὸν, ὦ Χάριτες, Διονύσιον, εἰ μὲν ἕλοιτο
τἀμά, καὶ εἰς ὥρας αὖθις ἄγοιτε καλόν·
εἰ δ' ἕτερον στέρξειε, παρεὶς ἐμὲ, μύρτον ἕωλον
ἐῤῥίφθω ξηροῖς φυρόμενον σκυβάλοις.

### 108. ΔΙΟΝΥΣΙΟΥ.

Εἰ μὲν ἐμὲ στέρξεις, εἴης ἰσόμοιρος, Ἄκρατε,
Χίῳ, καὶ Χίου πουλὺ μελιχρότερος·

---

Nr. 105. V. 2. φησίν. Br. τρυφεροῦ Apogr. quaedam. V. 3. αὐτοῦ. P. V. 4. διοσενι. P. Nr. 106. V. 4. ψυχή. P. Nr. 107. V. 1. ἔχοιτε. P. V. 2. κεισωρας. P. V. 4. φυόμενον. P. Nr. 108. V. 1. ἄκραιτε. P. V. 2. χείω καὶ χείου. P.

εἰ δ' ἕτερον κρίναις ἐμέθεν πλέον, ἀμφὶ σὲ βαίη
κώνωψ ὀξηρῷ φυόμενος κεράμῳ.

109. ΜΕΛΕΑΓΡΟΥ.

Ὁ τρυφερὸς Διόδωρος ἐς ἠϊθέους φλόγα βάλλων
ἤγρευται λαμυροῖς ὄμμασι Τιμαρίου,
τὸ γλυκύπικρον Ἔρωτος ἔχων βέλος. ἦ τόδε καινὸν
θάμβος ὁρῶ· φλέγεται πῦρ πυρὶ καιόμενον.

[P] 110. ΤΟΥ ΑΥΤΟΥ.

Ἤστραψε γλυκὺ κάλλος· ἰδοὺ φλόγας ὄμμασι βάλλει.
ἆρα κεραυνομάχαν παῖδ' ἀνέδειξεν Ἔρως;
χαῖρε Πόθων ἀκτῖνα φέρων θνατοῖσι, Μυΐσκε,
καὶ λάμποις ἐπὶ γᾷ πυρσὸς ἐμοὶ φίλιος.

111. ΑΔΗΛΟΝ.

Πτανὸς Ἔρως, σὺ δὲ ποσσὶ ταχύς· τὸ δὲ κάλλος ὁμοῖον.
ἀμφοτέρων τόξοις, Εὔβιε, λειπόμεθα.

112. ΑΔΗΛΟΝ.

Εὐφαμεῖτε νέοι· τὸν Ἔρωτ' ἄγει Ἀρκεσίλαος,
πορφυρέῃ δήσας Κύπριδος ἁρπεδόνῃ.

---

V. 4. τυφόμενος. P. Nr. 112. V. 1. Ἔρωτα λέγει. P.

113. ΜΕΛΕΑΓΡΟΥ.

Καὐτὸς Ἔρως ὁ πτανὸς ἐν αἰθέρι δέσμιος ἥλω,
ἀγρευθεὶς τοῖς σοῖς ὄμμασι, Τιμάριον.

114. ΤΟΥ ΑΥΤΟΥ.

Ἠοῦς ἄγγελε χαῖρε Φαεσφόρε, καὶ ταχὺς ἔλθοις
Ἕσπερος, ἣν ἀπάγεις, λάθριος αὖθις ἄγων.

115. ΑΔΗΛΟΝ.

Ἄκρητον μανίην ἔπιον. μεθύων μέγα μύθοις
ὥπλισμαι πολλὴν εἰς ὁδὸν ἀφροσύναν.
κωμάσομαι, (τί δέ μοι βροντέων μέλει, ἢ τί κεραυ-
νῶν;)
ἢν βάλλῃ, τὸν ἔρωθ' ὅπλον ἄτρωτον ἔχων.

116. ΑΔΗΛΟΝ.

Κωμάσομαι· μεθύω γὰρ ὅλος μέγα. παῖ, λάβε τοῦτον
τὸν στέφανον, τὸν ἐμοῖς δάκρυσι λουόμενον.
μακρὴν δ' οὐχὶ μάτην ὁδὸν ἵξομαι· ἔστι δ' ἀωρὶ
καὶ σκότος· ἀλλὰ μέγας φανὸς ἐμοὶ Θεμίσων.

117. ΜΕΛΕΑΓΡΟΥ.

Βεβλήσθω κύβος· ἅπτε, πορεύσομαι. ἠνίδε, τόλμα,
οἰνοβαρές, τίν' ἔχεις φροντίδα; κωμάσομαι.

---

Nr. 115. V. 4. ἔχω. Br. Nr. 116. V. 1. ὅλως. P. Nr. 117. V. 2. τὸν ἔχεις. P.

κωμάσομαι; πῆ θυμὲ τρέπῃ; τί δ᾽ ἔρωτι λογισμός;
ἅπτε τάχος. ποῦ δ᾽ ἡ πρόσθε λόγων μελέτη;
ἐῤῥίφθω σοφίας ὁ πολὺς πόνος· ἓν μόνον οἶδα
τοῦθ᾽, ὅτι καὶ Ζηνὸς λῆμα καθεῖλεν Ἔρως.

## 118. ΚΑΛΛΙΜΑΧΟΥ.

Εἰ μὲν ἑκών, Ἀρχῖν᾽, ἐπεκώμασα, μυρία μέμφου·
εἰ δ᾽ ἄκων ἥκω, τὴν προπέτειαν ὅρα.
ἄκρητος καὶ Ἔρως μ᾽ ἠνάγκασεν, ὧν ὁ μὲν αὐτῶν
εἷλκεν, ὁ δ᾽ οὐκ εἴα σώφρονα θυμὸν ἔχειν.
ἐλθὼν δ᾽ οὐκ ἐκόησα, τίς ἢ τίνος, ἀλλ᾽ ἐφίλησα
τὴν φλιήν· εἰ τοῦτ᾽ ἔστ᾽ ἀδίκημ᾽, ἀδικῶ.

## [587] 119. ΜΕΛΕΑΓΡΟΥ.

Οἴσω, ναὶ μὰ σέ, Βάκχε, τὸ σὸν θράσος· ἁγέο, κώμων
ἄρχε· θεὸς θνατὰν ἀνιοχεῖ κραδίαν·
ἐν πυρὶ γενναθεὶς στέργεις φλόγα τὰν ἐν Ἔρωτι,
καί με πάλιν δήσας τὸν σὸν ἄγεις ἱκέτην.
ἦ προδότας κἄπιστος ἔφυς, τεὰ δ᾽ ὄργια κρύπτειν
αὐδῶν, ἐκφαίνειν τἀμὰ σὺ νῦν ἐθέλεις.

---

V. 4. τάχος σπουδῇ. P. Nr. 118. V. 1. ἀρχεῖν᾽. P. V. 3. με ἀνάγκασεν. P. V. 5. ἐβόησα. P. V. 6. τὴν ἱαρήν. P. τὴν δειρήν. Bentl. Nr. 119. V. 5. καὶ πιστός. P.

Digitized by Google

### 120. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Εὐοπλῶ, καὶ πρὸς σὲ μαχήσομαι, οὐδ' ἀπεροῦμαι
θνητὸς ἐών· σὺ δ', Ἔρως, μηκέτι μοι πρόσαγε.
ἤν με λάβῃς μεθύοντ', ἄπαγ' ἔκδοτον· ἄχρι δὲ νήφω,
τὸν παραταξάμενον πρὸς σὲ λογισμὸν ἔχω.

### 121. ΡΙΑΝΟΥ.

Ἦ ῥά νύ τοι, Κλεόνικε, δι' ἀτραπιτοῖο κιόντι
στεινῆς ἠντήσανθ' αἱ λιπαραὶ Χάριτες·
καί σε ποτὶ ῥοδέαισιν ἐπηχύναντο χέρεσσιν,
κοῦρε· πεποίησαι δ' ἡλίκος ἐσσὶ χάρις·
τηλόθι μοι μάλα χαῖρε· πυρὸς δ' οὐκ ἀσφαλὲς ἆσσον
ἕρπειν αὐηρήν, ὦ φίλος, ἀνθερίκαν.

### 122. ΜΕΛΕΑΓΡΟΥ.

Ὦ Χάριτες, τὸν καλὸν Ἀρισταγόρην ἐςιδοῦσαι
ἀντίον, εἰς τρυφερὰς ἠγκαλίσασθε χέρας,
οὕνεκα καὶ μορφᾷ βάλλει φλόγα, καὶ γλυκυμυθεῖ
καίρια, καὶ σιγῶν ὄμμασι τερπνὰ λαλεῖ.
τηλόθι μοι πλάζοιτο. τί δὲ πλέον; ὡς γὰρ Ὀλύμπου
Ζεύς, νέον οἶδεν ὁ παῖς μακρὰ κεραυνοβολεῖν.

---

Nr. 120. V. 1. εὐόπλω. P. Nr. 121. V. 2. ηραυυπο. P. V. 3. ῥοδόεσσιν. P. V. 6. ἀθερικαν. P. Fort. ἀνθέρικα.

### 123. ΑΔΗΛΟΝ.

Πυγμῇ νικήσαντα τὸν Ἀντικλέους Μενέχαρμον
    λημνίσκοις μαλακοῖς ἐστεφάνωσα δέκα,
καὶ τρισσῶς ἐφίλησα πεφυρμένον αἵματι πολλῷ·
    ἀλλ' ἐμοὶ ἦν σμύρνης κεῖνα μελιχρότερον.

### 124. ΑΔΗΛΟΝ, οἱ δὲ ΑΡΤΕΜΩΝΟΣ.

Λάθρῃ παπταίνοντα παρὰ φλιὴν Ἐχέδημον
    λάθριος ἀκρήβην τὸν χαρίεντ' ἔκυσα·
δειμαίνων· καὶ γάρ μοι ἐνύπνιος ἦλθε φαρέτρη,
    ἀνταίρων, καὶ δοὺς ᾤχετ' ἀλεκτρυόνας,
ἄλλοτε μειδιόων, ὁτὲ δ' οὐ φίλος· ἦ ῥα μελισσέων
    ἑσμοῦ, καὶ κνίδης, καὶ πυρὸς ἡψάμεθα.

### 125. ΜΕΛΕΑΓΡΟΥ.

Ἡδύ τί μοι διὰ νυκτὸς ἐνύπνιον ἁβρὰ γελῶντος
    ὀκτωκαιδεκέτους παιδὸς ἔτ' ἐν χλαμύδι
[P] ἤγαγ' Ἔρως ὑπὸ χλαῖναν. ἐγὼ δ' ἁπαλῷ περὶ χρωτὶ
    στέρνα βαλὼν κενεὰς ἐλπίδας ἐδρεπόμαν.
καί μεν νῦν θάλπει μνήμης πόθος· ὄμμασι δ' ὕπνον
    ἀγρευτὴν πτηνοῦ φάσματος αἰὲν ἔχω.

---

Nr. 123. V. 1. πυγῆι. P. Nr. 124. V. 1. φαιήν. P. V. 3. φαρέτρη. P. V. 4. αιταιων. P. εἴχετ' ἀλ'. Ib. V. 5. ἀναμελ. P. Nr. 125. V. 4. ἐτρεπόμαν. P. V. 5. μνήμην. Br. Fort. καί μ' ἔτι νῦν. sive cum Schaefero: καί μ' ευ νῦν.

*ὦ δύςερως ψυχή, παῦσαί ποτε καὶ δι᾽ ὀνείρων*
*εἰδώλοις κάλλευς κωφὰ χλιαινομένη.*

### 126. ΤΟΥ ΑΥΤΟΥ.

*Ἦρκταί μευ κραδίας ψαύειν πόνος· ἢ γὰρ ἀλύων*
*ἀκρονυχῆ ταύταν ἔκνισ᾽ ὁ θερμὸς Ἔρως.*
*εἶπε δὲ μειδήσας· ἕξεις πάλι τὸ γλυκὺ τραῦμα,*
*ὦ δύςερως, λάβρῳ καιόμενος μέλιτι.*
*ἐξ οὗ δὴ νέον ἔρνος ἐν ἠϊθέοις Διόφαντον*
*λεύσσων, οὔτε φυγεῖν, οὔτε μένειν δύναμαι.*

### 127. ΤΟΥ ΑΥΤΟΥ.

*Εἰνόδιον στείχοντα μεσαμβρινὸν εἶδον Ἄλεξιν,*
*ἄρτι κόμαν καρπῶν κειρομένου θέρεος.*
*διπλαῖ δ᾽ ἀκτῖνές με κατέφλεγον· αἱ μὲν Ἔρωτος,*
*παιδὸς ἀπ᾽ ὀφθαλμῶν, αἱ δὲ παρ᾽ ἠελίου.*
*ἀλλ᾽ ἃς μὲν νὺξ αὖθις ἐκοίμισεν· ἃς δ᾽ ἐν ὀνείροις*
*εἴδωλον μορφῆς μᾶλλον ἀνεφλόγισεν.*
*λυσίπονος δ᾽ ἑτέροις ἐπ᾽ ἐμοὶ πόνον ὕπνος ἔτευξεν,*
*ἔμπνουν πῦρ, ψυχῇ κάλλος ἀπεικονίσας.*

### 128. ΤΟΥ ΑΥΤΟΥ.

*Αἰπολικαὶ σύριγγες ἐν οὔρεσι μηκέτι Δάφνιν*
*φωνεῖτ᾽, αἰγιβάτῃ Πανὶ χαριζόμεναι.*

---

Nr. 126. V. 1. *ἤρηται.* P. V. 3. *γράμμα.* P. *κρᾶμα.* Br.
Nr. 127. V. 1. *μεσεμβρινόν.* P.

μηδὲ σὺ τὸν στεφθέντα, λύρη, Φοίβοιο προφῆτι,
 δάφνη παρθενίη μέλφ' Ὑάκινθον ἔτι.
ἦν γὰρ ὅτ' ἦν Δάφνις μὲν ἐν οὔρεσι, σοὶ δ' Ὑάκινθος
 τερπνός· νῦν δὲ Πόθων σκῆπτρα Δίων ἐχέτω.

## 129. ΑΡΑΤΟΥ.

Ἀργεῖος Φιλοκλῆς Ἄργει καλός· αἱ δὲ Κορίνθου
 στῆλαι, καὶ Μεγαρέων ταῦτα βοῶσι τάφοι·
γέγραπται καὶ μέχρι λοετρῶν Ἀμφιαράου,
 ὡς καλός. ἀλλ' ὀλίγοις γράμμασι λειπόμεθα.
τῷδ' οὐ γὰρ πέτραι ἐπιμάρτυρες, ἀλλὰ Πριηνεὺς
 αὐτὸς ἰδών· ἑτέρου δ' ἐστὶ περισσότερος.

## [P] 130. ΑΔΗΛΟΝ.

Εἶπα, καὶ αὖ πάλιν εἶπα· καλός, καλός. ἀλλ' ἔτι φήσω,
 ὡς καλός, ὡς χαρίεις ὄμμασι Δωσίθεος.
οὐ δρυός, οὐδ' ἐλάτης ἐχαράξαμεν, οὐδ' ἐπὶ τοίχου
 τοῦτ' ἔπος· ἀλλ' ἐν ἐμῇ ἴσχετ' ἔρως κραδίᾳ.
εἰ δέ τις οὐ φήσει, μὴ πείθεο. ναὶ μὰ σέ, δαῖμον,
 ψεύδετ'· ἐγὼ δ' ὁ λέγων τὠτρεκὲς οἶδα μόνος.

---

Nr. 128. V. 3. στερχθέντα. P. V. 4. δάφνι. P. Nr. 129. V. 2. ταὐτά. Br. V. 4. ὀλίγοι. P. Fort. πειθόμεθα. V. 5. Fort. τῷδε δ' ἄρ' οὐ πέτραι. Nr. 130. V. 1. καὶ πάλιν. P. V. 6. ἀτρεκές. P.

### 131. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Ἁ Κύπρον, ἅ τε Κύθηρα, καὶ ἃ Μίλητον ἐποιχνεῖς,
καὶ τὸ καλὸν Συρίης ἱπποκρότου δάπεδον,
ἔλθοις ἵλαος Καλλιστίῳ, ἣ τὸν ἐραστὴν
οὐδέ ποτ᾽ οἰκείων ὦσεν ἀπὸ προθύρων.

### 132. ΜΕΛΕΑΓΡΟΥ.

Οὔ σοι ταῦτ᾽ ἐβόων, ψυχή, ναὶ Κύπριν, ἁλώσει,
ὦ δύςερως, ἰξῷ πυκνὰ προςιπταμένη;
οὐκ ἐβόων; εἷλέν σε πάγη. τί μάτην ἐνὶ δεσμοῖς
σπαίρεις; αὐτὸς Ἔρως τὰ πτερά σου δέδεκεν,
καί σ᾽ ἐπὶ πῦρ ἔστησε, μύροις δ᾽ ἔῤῥανε λιπόπνουν,
δῶκε δὲ διψώσῃ δάκρυα θερμὰ πιεῖν.
ἁ ψυχὴ βαρύμοχθε, σὺ δ᾽ ἄρτι μὲν ἐκ πυρὸς αἴθῃ,
ἄρτι δ᾽ ἀναψύχεις, πνεῦμ᾽ ἀναλεξαμένη.
τί κλαίεις; τὸν ἄτεγκτον ὅτ᾽ ἐν κόλποισιν Ἔρωτα
ἔτρεφες, οὐκ ᾔδεις, ὡς ἐπὶ σοὶ τρέφετο;
οὐκ ᾔδεις; νῦν γνῶθι καλῶν ἄλλαγμα τροφείων,
πῦρ ἅμα καὶ ψυχρὰν δεξαμένη χιόνα.
αὐτὴ ταῦθ᾽ εἵλου· φέρε τὸν πόνον. ἄξια πάσχεις
ὧν ἔδρας, ὀπτῷ καιομένη μέλιτι.

---

Nr. 131. V. 2. καὶ καλόν. P. Fort. Συρίας. V. 3. Fort. ἃ τόν.
Nr. 132. V. 2. προςηπταμένη. P. V. 5. ἔρανεν λειπόπνουν. P. V. 9. ἄτεκνον. P. V. 10. τρέφεται. P. V. 14. ἔδρασας. P.

Digitized by Google

## 133. ΤΟΥ ΑΥΤΟΥ.

*Διψῶν ὡς ἐφίλησα θέρευς ἁπαλόχροα παῖδα,*
*εἶπα τότ' αὐχμηρὰν δίψαν ἀποπροφυγών·*
*Ζεῦ πάτερ, ἆρα φίλημα τὸ νεκτάρεον Γανυμήδευς*
*πίνεις, καὶ τόδε σοι χείλεσιν οἰνοχοεῖ;*
*καὶ γὰρ ἐγὼ τὸν καλὸν ἐν ἠϊθέοισι φιλήσας*
*Ἀντίοχον, ψυχῆς ἡδὺ πέπωκα μέλι.*

## 134. ΚΑΛΛΙΜΑΧΟΥ.

*Ἕλκος ἔχων ὁ ξεῖνος ἐλάνθανεν· ὡς ἀνιηρὸν*
*πνεῦμα διὰ στηθέων εἶδες ἀνηγάγετο;*
*τὸ τρίτον ἡνίδ' ἔπινε· τὰ δὲ ῥόδα φυλλοβολεῦντα*
*τὠνδρὸς ἀπὸ στομάτων πάντ' ἐγένοντο χαμαί.*
[P] *ὤπτηται μέγα δή τι· μὰ δαίμονας, οὐκ ἀπὸ ῥυσμοῦ*
*εἰκάζω· φωρὸς δ' ἴχνια φὼρ ἔμαθον.*

## 135. ΑΣΚΛΗΠΙΑΔΟΥ.

*Οἶνος ἔρωτος ἔλεγχος· ἐρᾶν ἀρνεύμενον ἡμῖν*
*ἤτασεν ἐν πολλῇ Νικαγόρην προπόσει.*
*καὶ γὰρ ἐδάκρυσεν καὶ ἐνύστασε, καί τι κατηφὲς*
*ἔβλεπε, χὠ σφιγχθεὶς οὐκ ἔμενε στέφανος.*

---

Nr. 134. V. 3. *ἠγκέπινε.* P. V. 4. *ἀπὸ στεφάνων.* Athen. *ἐχέοντο.* Br. V. 5. *ὤπτημαι μεγαλη τί.* P. Nr. 135. V. 2. *ἤτησαν ἐν πολλαῖς νικασόρην πρόποσις.* P. V. 3. *ἐνύσταξε κητι.* P. V. 4. *σφιχθείς.* Ib.

Digitized by Google

### 136. ΑΔΗΛΟΝ.

Ὄρνιθες ψίθυροι, τί κεκράγατε; μή μ' ἀνιᾶτε,
τὸν τρυφερῇ παιδὸς σαρκὶ χλιαινόμενον,
ἑζόμεναι πετάλοισιν ἀηδόνες. εἰ δὲ λάληθρον
θῆλυ γένος, δέομαι, μείνατ' ἐφ' ἡσυχίης.

### 137. ΜΕΛΕΑΓΡΟΥ.

Ὀρθροβόας δυσέρωτι κακάγγελε, νῦν τρισάλαστε,
ἐννύχιος κράζεις πλευροτυπῆ κέλαδον,
γαῦρος ὑπὲρ κοίτας, ὅτι μοι βραχὺ τοῦτ' ἔτι νυκτὸς
παιδοφιλεῖν, ἐπ' ἐμαῖς δ' ἁδὺ γελᾷς ὀδύναις.
ἅδε φίλα θρεπτῆρι χάρις; ναὶ τὸν βαθὺν ὄρθρον
ἔσχατα γηρύσει ταῦτα τὰ πικρὰ μέλη.

### 138. ΜΝΑΣΑΛΚΟΥ.

Ἄμπελε, μήποτε φύλλα χαμαὶ σπεύδουσα βαλέσθαι
δείδιας ἑσπέριον Πλειάδα δυομέναν;
μεῖνον ἐπ' Ἀντιλέοντι πεσεῖν ὑπὸ τὸν γλυκὺν ὕπνον,
ἔσθ' ὅτε τοῖς καλοῖς πάντα χαριζομένα.

### 139. ΚΑΛΛΙΜΑΧΟΥ.

Ἔστι τι, ναὶ τὸν Πᾶνα, κεκρυμμένον, ἔστι τι ταύτῃ,
ναὶ μὰ Διώνυσον, πῦρ ὑπὸ τῇ σποδιῇ·

---

Nr. 137. V. 4. καὶ τὸ φιλεῖν. P. V. 5. θρέπτειρα. P. V. 6. ἔχατα. P. γαρύεις. Br. Nr. 138. V. 4. εστοτε. P. Nr. 139. V. 2. διόνυσον. P.

οὐ θαρσέω. μὴ δή με περίπλεκε. πολλάκι λήθει
τοῖχον ὑποτρώγων ἥσυχιος ποταμός.
τῷ καὶ νῦν δείδοικα, Μενέξενε, μή με παρειςδὺς
οὗτος ὁ σιγέρπης εἰς τὸν ἔρωτα βάλῃ.

### 140. ΑΔΗΛΟΝ.

Τὸν καλὸν ὡς ἰδόμαν Ἀρχέστρατον, οὐ μὰ τὸν Ἑρμᾶν,
οὐ καλὸν αὐτὸν ἔφαν· οὐ γὰρ ἄγαν ἐδόκει.
εἶπα, καὶ ἁ Νέμεσίς με συνάρπασε, κεὐθὺς ἐκείμαν
ἐν πυρὶ πᾶς, ὁ δέ μ' ὡς Ζεὺς ἐκεραυνοβόλει.
τὸν παῖδ' ἱλασόμεσθ', ἢ τὰν θεόν; ἀλλὰ θεοῦ μοι
ἔστιν ὁ παῖς κρέσσων· χαιρέτω ἁ Νέμεσις.

### [P] 141. ΜΕΛΕΑΓΡΟΥ.

Ἐφθέγξω, ναὶ Κύπριν, ἃ μὴ θεός, ὦ μέγα τολμᾶν
θυμὲ μαθών· Θήρων σοὶ καλὸς οὐκ ἐφάνη·
σοὶ καλὸς οὐκ ἐφάνη Θήρων· ἀλλ' αὐτὸς ὑπέστης
οὐδὲ Διὸς πτήξεις πῦρ τὸ κεραυνοβόλον.
τοιγάρ, ἰδού, τὸν πρόσθε λάλον προὔθηκεν ἰδέσθαι
δεῖγμα θρασυστομίης ἡ βαρύφρων Νέμεσις.

---

V. 6. σειγαρνης et βάλλῃ. P. Na. 140. V. 4. πᾶς δ' ἐν ἐμοί V. 5. ἱλασσούμεσθ'. P. Ζεύς. P. Nr. 141. V. 1. μὴ θέμις. Br. V. 2. συμε. P. V. 5. τὸ πρόσθε. P.

Digitized by Google

142. ΡΙΑΝΟΥ.

Ἰξῷ Δεξιόνικος ὑπὸ χλωρῇ πλατανίστῳ
κόσσυφον ἀγρεύσας, εἷλε κατὰ πτερύγων·
χὼ μὲν ἀναστενάχων ἀπεκώκυεν ἱερὸς ὄρνις.
ἀλλ' ἐγώ, ὦ φίλ' Ἔρως, καὶ θαλεραὶ Χάριτες,
εἴην καὶ κίχλη καὶ κόσσυφος, ὡς ἂν ἐκείνου
ἐν χερὶ καὶ φθογγὴν καὶ γλυκὺ δάκρυ βάλω.

143. ΑΔΗΛΟΝ.

* Ἑρμῇ τοξευθεὶς ἐξέσπασε πικρὸν ἔφηβω·
κἠγὼ τὴν αὐτήν, ξεῖνε, λέλογχα τύχην.
ἀλλά μ' Ἀπολλοφάνους τρύχει πόθος. ὦ φιλάεθλε,
ἔφθασας· εἰς ἓν πῦρ οἱ δύ' ἐνηλάμεθα.

144. ΜΕΛΕΑΓΡΟΥ.

Τί κλαίεις, φρενοληστά, τί δ' ἄγρια τόξα καὶ ἰοὺς
ἔρριψας, διφυῆ ταρσὸν ἀνεὶς πτερύγων;
ἦ ῥά γε καὶ σὲ Μυΐσκος ὁ δύςμαχος ὄμμασιν αἴθει·
ὡς μόλις οἷ' ἔδρας πρόσθε παθὼν ἔμαθες.

145. ΑΔΗΛΟΝ.

Παύετε, παιδοφίλαι, κενεὸν πόνον· ἴσχετε μόχθων,
δύςφρονες. ἀπρήκτοις ἐλπίσι μαινόμεθα.

---

Nr. 142. V. 4. ὁ φίλερως. P. Nr. 143. V. 1. Ἑρμῆς τοξευθεὶς οὐκ ἔσπασε πικρὸν ἔφηβον. Br. V. 3. ἀλλ ἀμ'. P. Nr. 144. V. 1. ἀχρεῖα. P. Nr. 145. V. 1. ἴαχε. P.

ἶσον ἐπὶ ψαφαρὴν ἀντλεῖν ἅλα, κἀπὸ Λιβύσσης
ψάμμου ἀριθμητὴν ἀρτιάσαι ψεκάδα,
ἶσον καὶ παίδων στέργειν πόθον, οἷς τὸ κεναυχὲς
κάλλος ἐνὶ χθονίοις ἡδύ τε κἀθανάτοις.
δέρκεσθ' εἰς ἐμὲ πάντες· ὁ γὰρ πάρος εἰς κενὸν ἡμῶν
μόχθος ἐπὶ ξηροῖς ἐκκέχυτ' αἰγιαλοῖς.

146. ΡΙΑΝΟΥ.

Ἀγρεύσας τὸν νεβρὸν ἀπώλεσα, χὠ μὲν ἀνατλὰς
μυρία, καὶ στήσας δίκτυα καὶ στάλικας,
σὺν κενεαῖς χείρεσσιν ἀπέρχομαι· οἱ δ' ἀμογητὶ
τἀμὰ φέρουσιν, Ἔρως, οἷς σὺ γένοιο βαρύς.

[P] 147. ΜΕΛΕΑΓΡΟΥ.

Ἅρπασται· τίς τόσσον ἐναιχμάσαι ἄγριος * εἶναι;
τίς τόσος ἀντᾶραι καὶ πρὸς Ἔρωτα μάχην;
ἅπτε τάχος πεύκας· καίτοι κτύπος· Ἡλιοδώρας.
βαῖνε πάλιν στέρνων ἐντὸς ἐμῶν, κραδίη.

148. ΚΑΛΛΙΜΑΧΟΥ.

Οἶδ' ὅτι μοι πλούτου κενεαὶ χέρες· ἀλλά, Μένιππε,
μὴ λέγε, πρὸς Χαρίτων, τοὐμὸν ὄνειρον ἐμοί.

---

V. 5. Fort. ὧν τό. V. 6. ἡδύ τε ἀκαμάτοις. P. V. 7. κενὸν ἡμαρ. P. V. 8. ἐκκέχυται αἰγ. et μόχθοις. P. Nr. 146. V. 3. ἀμογητοι. P. Nr. 147. V. 1. ἐναιχμᾶσσαι. P. εἴη. Br. V. 3. τίς κτύπος. Br.

ἀλγέω τὴν διὰ παντὸς ἔπος τόδε πικρὸν ἀκούων·
    ναί, φίλε, τῶν παρὰ σοῦ τοῦτ' ἀνεραστότατον.

### 149. ΤΟΥ ΑΥΤΟΥ.

Ληφθήσῃ, περίφευγε, Μενέκρατες· εἶπα Πανήμου
    εἰκάδι, καὶ Λώου — τῇ τίνι; τῇ δεκάτῃ
ἦλθεν ὁ βοῦς ὑπ' ἄροτρον ἑκούσιος. εὖγ' ἐμὸς Ἑρμᾶς,
    εὖγ' ἐμός. οὐ παρὰ τὰς εἴκοσι μεμφόμεθα.

### 150. ΤΟΥ ΑΥΤΟΥ.

Ὡς ἀγαθὰν Πολύφαμος ἀνεύρατο τὰν ἐπαοιδὰν
    τῷ 'ραμένῳ γ' ἀνιᾶν, ἴκκα φίλας' ὁ Κύκλωψ.
αἱ Μοῖσαι τὸν ἔρωτα κατισχναίνοντι, Φίλιππε·
    ἦ πανακὲς πάντων φάρμακον ἁ σοφία.
τοῦτο, δοκέω, χἀ λιμὸς ἔχει μόνον ἐς τὰ πονηρὰ
    τὠγαθόν· ἐκκόπτει τὰν φιλόπαιδα νόσον.
ἔσθ' ἁμῖν τάδ' ἀκέσματ' ἀφειδέα πρὸς τὸν Ἔρωτα.
    ταῦτ' ἐπικείρει σευ τὰ πτερά, παιδάριον·
οὐδ' ὅσον ἀττάραγόν σε δεδοίκαμες· αἱ γὰρ ἐπῳδαὶ
    οἴκοι τῶ χαλεπῶ τραύματος ἀμφότεραι.

---

Nr. 148. V. 3. Fort. *ἀλγέω τοι.* V. 4. *τὸν παρά.* P. Nr. 149. V. 1. *ληφθήσει.* P. Nr. 150. V. 2. *τωρραμενωναιγαν ουκαθηματ ὁ Κ.* P. V. 4. *ἢ πανές.* P. V. 5. *τοῦ δοκέω.* P. V. 7. *χακασταο' ἀφ.* P. V. 8. *τουτι παικειρευ.* P. V. 10. *οἴκω.* P.

### 151. ΑΔΗΛΟΝ.

Εἴ τινά που παίδων ἐρατώτατον ἄνθος ἔχοντα
εἶδες, ἀδιστάκτως εἶδες Ἀπολλόδοτον.
εἰ δ' ἐσιδών, ὦ ξεῖνε, πυριφλέκτοισι πόθοισιν
οὐκ ἐδάμης, πάντως ἢ θεός, ἢ λίθος εἶ.

### 152. ΑΔΗΛΟΝ.

Μάγνης Ἡράκλειτος, ἐμὸς πόθος, οὔτι σίδηρον
πέτρῳ, πνεῦμα δ' ἐμὸν κάλλει ἐφελκόμενος.

### 153. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Πρόσθε μοι Ἀρχεάδης ἐθλίβετο· νῦν δὲ τάλαιναν
οὐδ' ὅσσον παίζων εἰς ἔμ' ἐπιστρέφεται.
οὐδ' ὁ μελιχρὸς Ἔρως αἰεὶ γλυκύς· ἀλλ' ἀνιήσας
πολλάκις ἡδίων γίγνετ' ἐρῶσι θεός.

### 154. ΜΕΛΕΑΓΡΟΥ.

Ἡδὺς ὁ παῖς, καὶ τοὔνομ' ἐμοὶ γλυκύς ἐστι Μυΐσκος
καὶ χαρίεις, ἵν' ἔχω μὴ οὐχὶ φιλεῖν πρόφασιν.
[?] καλὸς γάρ, ναὶ Κύπριν, ὅλος καλός· εἰ δ' ἀνιηρός,
οἶδε τὸ πικρὸν Ἔρως συγκεράσαι μέλιτι.

---

Nr. 152. V. 1. ἐμοί. P. Nr. 153. V. 1. τάλαινα. P. V. 3. μελιχρως et ἀεί. P. V. 4. ἡδείων. P. Nr. 154. V. 2. χαρηεστιν. P.

155. ΑΔΗΛΟΝ.

α. Μή μ' εἴπῃς πάλιν ὧδε. β. τί δ' αἴτιος; αὐτὸς ἔπεμψε.
α. δεύτερον οὖν φήσεις; β. δεύτερον· εἶπεν, ἴθι.
ἀλλ' ἔρχευ, μὴ μέλλε· μένουσί σε. α. πρῶτον ἐκεῖνον εὑρήσω, χἥξω· τὸ τρίτον οἶδα πάλαι.

156. ΑΔΗΛΟΝ.

Εἰαρινῷ χειμῶνι πανείκελος, ὦ Διόδωρε,
ούμὸς ἔρως, ἀσαφεῖ κρινόμενος πελάγει.
καὶ ποτὲ μὲν φαίνεις πολὺν ὑετόν, ἄλλοτε δ' αὖτε
εὔδιος, ἁβρὰ γελῶν δ' ὄμμασιν ἐκκέχυσαι.
τυφλὰ δ', ὅπως ναυηγὸς ἐν οἴδματι, κύματα μετρῶν
δινεῦμαι, μεγάλῳ χείματι πλαζόμενος.
ἀλλά μοι ἢ φιλίης ἔκθες σκοπόν, ἢ πάλι μίσευς,
ὡς εἰδῶ, ποτέρῳ κύματι νηχόμεθα.

157. ΜΕΛΕΑΓΡΟΥ.

Κύπρις ἐμοὶ ναύκληρος, Ἔρως δ' οἴακα φυλάσσει
ἄκρον ἔχων ψυχῆς ἐν χερὶ πηδάλιον.
χειμαίνει δ' ὁ βαρὺς πνεύσας Πόθος, οὕνεκα δὴ νῦν
παμφύλῳ παίδων νήχομαι ἐν πελάγει.

---

Nr. 155. V. 3. ἐκείνου. P. Nr. 156. V. 4. εὔδεις. P. V. 6. κύματι. P. V. 7. πάλιν. P. Nr. 157. V. 3. βαρύ. Br.

158. ΤΟΥ ΑΥΤΟΥ.

Σοί με Πόθων δέσποινα θεὴ πόρε, σοί με, Θεόκλεις,
ἁβροπέδιλος Ἔρως γυμνὸν ὑπεστόρεσεν,
ξεῖνον ἐπὶ ξείνης, δαμάσας ἀλύτοισι χαλινοῖς·
ἱμείρω δὲ τυχεῖν ἀκλινέος φιλίας.
ἀλλὰ σὺ τὸν στέργοντ' ἀπαναίνεαι, οὐδέ σε θέλγει
οὐ χρόνος, οὐ ξυνῆς σύμβολα σωφροσύνης.
ἵλαθ', ἄναξ, ἵληθι· σὲ γὰρ θεὸν ὥρισε Δαίμων·
ἐν σοί μοι ζωῆς πείρατα καὶ θανάτου.

159. ΤΟΥ ΑΥΤΟΥ.

Ἐν σοὶ τἀμά, Μυΐσκε, βίου πρυμνήσι' ἀνῆπται·
ἐν σοὶ καὶ ψυχῆς πνεῦμα τὸ λειφθὲν ἔτι.
ναὶ γὰρ δὴ τὰ σά, κοῦρε, τὰ καὶ κωφοῖσι λαλεῦντα
ὄμματα, ναὶ μὰ τὸ σὸν φαιδρὸν ἐπισκύνιον,
ἤν μοι συννεφὲς ὄμμα βάλῃς ποτέ, χεῖμα δέδορκα·
ἢν δ' ἱλαρὸν βλέψῃς, ἡδὺ τέθηλεν ἔαρ.

160. ΑΔΗΛΟΝ.

Θαρσαλέως τρηχεῖαν ὑπὸ σπλάγχνοισιν ἀνίην
οἴσω, καὶ χαλεπῆς δεσμὸν ἀλυκτοπέδης.
[❡] οὐ γάρ πω, Νίκανδρε, βολὰς ἐδάημεν Ἔρωτος
νῦν μόνον, ἀλλὰ πόθων πολλάκις ἡψάμεθα.

---

Nr. 158. V. 3. ἐπὶ ξείνοις. P. V. 6. Fort. σύμβολα συμφροσύνης c. Schaefero. V. 7. ἵλαθι σε. P. Nr. 160. V. 3. βοάς. P.

*καὶ σὺ μέν, Ἀδρήστεια, κακῆς ἀντάξια βουλῆς*
*τῖσαι, καὶ μακάρων πικροτάτη Νέμεσις.*

### 161. ΑΣΚΛΗΠΙΑΔΟΥ.

*Δόρκιον ἡ φιλέφηβος ἐπίσταται, ὡς ἁπαλὸς παῖς,*
*ἔσθαι πανδήμου Κύπριδος ὠκὺ βέλος,*
*ἵμερον ἀστράπτουσα κατ' ὄμματος, * ἠδ' ὑπὲρ ὤμων*
*σὺν πετάσῳ, γυμνὸν μηρὸν ἔφαινε χλαμύς.*

### 162. ΤΟΥ ΑΥΤΟΥ.

*Οὔπω τοξοφορῶν, οὐδ' ἄριος, ἀλλὰ νεογνὸς*
*οὑμὸς Ἔρως παρὰ τὴν Κύπριν ὑποτρέφεται,*
*δέλτον ἔχων χρυσέην· τὰ Φιλοκράτεος δὲ Διαύλου*
*τραυλίζει Ψυχῇ φίλτρα κατ' Ἀντιγένους.*

### 163. ΤΟΥ ΑΥΤΟΥ.

*Εὗρεν Ἔρως τι καλῷ μῖξαι καλόν, οὐχὶ μάραγδον*
*χρυσῷ, ὃ μήτ' ἀνθεῖ, μήτε γένοιτ' ἐν ἴσῳ,*
*οὐδ' ἐλέφαντ' ἐβένον λευκῷ μέλαν· ἀλλὰ Κλέανδρον*
*Εὐβιότῳ, Πειθοῦς ἄνθεα καὶ Φιλίης.*

---

Nr. 161. V. 1. *ἐπισταιτοσως*. P. V. 2. *ἔσται*. P. V. 3. Fort. *εἰ παρὰ κώμῳ*. Nr. 162. V. 1. *τοξοφόρων*. P. V. 4. *ψυχή*. P. Fort. *καὶ Ἀντ.* Nr. 163. V. 1. *ἔρωτι* er *μίξη*. P. V. 2. Fort. *ὃ μήτ' ἄνθει, μήτε γένει τ' ἐν ἴσῳ*. V. 3. *ἐβένω*. P.

Digitized by Google

### 164. ΜΕΛΕΑΓΡΟΥ.

Ἡδὺ μὲν ἀκρήτῳ κεράσαι γλυκὺ νᾶμα μελισσῶν,
ἡδὺ δὲ παιδοφιλεῖν καὐτὸν ἐόντα καλόν,
οἷα τὸν ἁβροκόμην στέργει Κλεόβουλον Ἄλεξις·
* θνατὸν ὄντως τὸ Κύπριδος οἰνόμελι.

### 165. ΤΟΥ ΑΥΤΟΥ.

Λευκανθὴς Κλεόβουλος· ὁ δ' ἀντία τοῦδε μελίχρους
Σώπολις, οἱ δισσοὶ Κύπριδος ἀνθοφόροι.
τοὔνεκά μοι παίδων ἕπεται πόθος· οἱ γὰρ Ἔρωτες
πλέξειν ἐκ λευκοῦ φασί με καὶ μέλανος.

### 166. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Τοῦθ' ὅ τι μοι λοιπὸν ψυχῆς, ὅ τι δή ποτ', Ἔρωτες,
τοῦτό γ' ἔχειν πρὸς θεῶν ἡσυχίην ἄφετε.
ἢ μὴ καὶ τόξοις * βάλλετέ μ', ἀλλὰ κεραυνοῖς·
ναὶ πάντως τέφρην θέσθε με κἀνθρακιήν.
ναί, ναί, βάλλετ' Ἔρωτες· ἐνεσκληκὼς γὰρ ἀνίαις,
ὀξύτερον τούτων εἴ γέ τι, βούλομ' ἔχειν.

---

Nr. 164. V. 4. Fort. ἀθανάτων ὄντως K. Nr. 165. V. 1. ἀντία το δε. P. V. 4. ἐκ λευκοῦ πλέξαι. Br. Fort. πλέξαι μ' ἐκ λ. φασί τε. Nr. 166. V. 1. ἔρωτος. P. V. 2. πρὸς θεόν. P. V. 3. Fort. τόξοισ ἔτι βάλλετε. V. 6. ἐξ ὑμέων τ. εἴτε τι. P.

Digitized by Google

## 167. ΜΕΛΕΑΓΡΟΥ.

Χειμέριον μὲν πνεῦμα· φέρει δ' ἐπὶ σοί με, Μυΐσκε,
ἁρπαστὸν κώμοις ὁ γλυκύδακρυς Ἔρως.
[P] χειμαίνει δὲ βαρὺς πνεύσας Πόθος. ἀλλά μ' ἐς ὅρμον
δέξαι, τὸν ναύτην Κύπριδος ἐν πελάγει.

## 168. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Ναννοῦς καὶ Λύδης ἐπίχει δύο, καὶ φιλεράστου
Μιμνέρμου, καὶ τοῦ σώφρονος Ἀντιμάχου·
συγκέρασον τὸν πέμπτον ἐμοῦ· τὸν δ' ἕκτον ἑκάστου,
Ἡλιόδωρ', εἴπας, ὅςτις ἐρῶν ἔτυχεν·
ἕβδομον Ἡσιόδου, τὸν δ' ὄγδοον εἰπὸν Ὁμήρου,
τὸν δ' ἔνατον Μουσῶν, Μνημοσύνης δέκατον.
μεστὸν ὑπὲρ χείλους πίομαι, Κύπρι. τἄλλα δ' Ἔρωτες
* νήφοντ' οἰνώθεντ' οὐχὶ λίην ἄχαριν. *

## 169. ΔΙΟΣΚΟΡΙΔΟΥ.

Ἐξέφυγον, Θεόδωρε, τὸ σὸν βάρος. ἀλλ' ὅσαν εἶπα,
„ἐξέφυγον τὸν ἐμὸν δαίμονα πικρότατον"
πικρότερός με κατέσχεν. Ἀριστοκράτει δὲ λατρεύων
μυρία, δεσπόσυνον καὶ τρίτον ἐκδέχομαι.

---

Nr. 167. V. 3. βαρύ. Br. Nr. 168. V. 1. φερεκάστου. P. V. 3. ἐμόν. P. V. 7. Fort. τἄλλα δ', Ἔρωτες, ὡς νήφοντ' ἀριθμεῖν, οὐχὶ λίην ἄχαρι;

Digitized by Google

170. ΤΟΥ ΑΥΤΟΥ.

Σπονδὴ καὶ λιβανωτέ, καὶ οἱ κρητῆρι μιγέντες
δαίμονες, οἳ φιλίης τέρματ' ἐμῆς ἔχετε,
ὑμέας, ὦ σεμνοί, μαρτύρομαι, οὓς ὁ μελίχρως
κοῦρος Ἀθηναῖος πάντας ἐπωμόσατο.

171. ΤΟΥ ΑΥΤΟΥ.

Τὸν καλόν, ὡς ἔλαβες, κομίσαις πάλι πρός με θεωρὸν
Εὐφραγόρην, ἀνέμων πρηΰτατε Ζέφυρε,
εἰς ὀλίγον τείνας μηνῶν μέτρον, ὡς καὶ ὁ μικρὸς
μυριέτης κέκριται τῷ φιλέοντι χρόνος.

172. ΕΥΗΝΟΥ.

Εἰ μισεῖν πόνος ἐστί, φιλεῖν πόνος, ἐκ δύο λυγρῶν
αἱροῦμαι χρηστῆς ἕλκος ἔχειν ὀδύνης.

173. ΦΙΛΟΔΗΜΟΥ.

Δημώ με κτείνει καὶ Θέρμιον· ἡ μὲν ἑταίρη
Δημώ· ἡ δ' οὔπω Κύπριν ἐπισταμένη.
καὶ τῆς μὲν ψαύω· τῆς δ' οὐ θέμις. οὐ μὰ σέ, Κύπρι,
οὐκ οἶδ' ἣν εἰπεῖν δεῖ με ποθεινοτέρην.
Δημάριον λέξω τὴν παρθένον· οὐ γὰρ ἕτοιμα
βούλομαι, ἀλλὰ ποθῶ πᾶν τὸ φυλασσόμενον.

---

Nr. 170. V. 1. σπονδῆι. P. καιοκρ. Ib. Nr. 171. V. 3. τίνας. P. Nr. 172. V. 1. δυολυτρῶ. P. Nr. 173. V. 5. δημάριον. P.

Digitized by Google

174. ΦΡΟΝΤΩΝΟΣ.

Μέχρι τίνος πολεμεῖς μ', ὦ φίλτατε Κῦρε; τί ποιεῖς;
τὸν σὸν Καμβύσην οὐκ ἐλεεῖς; λέγε μοι.
μὴ γίγνου Μῆδος· Σάκας γὰρ ἔσῃ μετὰ μικρόν,
καί σε ποιήσουσιν αἱ τρίχες Ἀστυάγην.

[₽] 175. ΣΤΡΑΤΩΝΟΣ.

Ἢ μὴ ζηλοτύπει δούλοις ἐπὶ παισὶν ἑταίρους,
ἢ μὴ θηλυπρεπεῖς οἰνοχόους πάρεχε.
τίς γὰρ ἀνὴρ ἐς ἔρωτ' ἀδαμάντινος; ἢ τίς ἀτειρὴς
οἴνῳ; τίς δὲ καλοὺς οὐ περίεργα βλέπει;
ζώντων ἔργα τάδ' ἐστίν· ὅπου δ' οὐκ εἰσὶν ἔρωτες,
οὐδὲ μέθαι, Διοφῶν, ἢν ἐθέλῃς, ἄπιθι,
κἀκεῖ Τειρεσίην, ἢ Τάνταλον ἐς πότον ἕλκε,
τὸν μὲν ἐπ' οὐδὲν ἰδεῖν, τὸν δ' ἐπὶ μοῦνον ἰδεῖν.

176. ΤΟΥ ΑΥΤΟΥ.

Στυγνὸς δή τι, Μένιππε, κατεσκέπασαι μέχρι πέζης,
ὁ πρὶν ἀπ' ἰγνύης λῶπος ἀνελκόμενος;
ἢ τί κάτω κύψας με παρέδραμες, οὐδὲ προσειπών;
οἶδα τί με κρύπτεις· ἤλυθον ἃς ἔλεγον.

177. ΤΟΥ ΑΥΤΟΥ.

Ἑσπερίην Μοῖρίς με, καθ' ἣν ὑγιαίνομεν ὥρην,
οὐκ οἶδ' εἴτε σαφῶς, εἴτ' ὄναρ, ἠσπάσατο.

---

Nr. 174. V. 4. Fort. καὶ ποιήσουσίν σ' αἱ τρίχες . . c. Passovio.

ἤδη γὰρ τὰ μὲν ἄλλα μάλ' ἀτρεκέως ἐνόησα,
χὡκόσα μοι προςέφη, χὡκόσ' ἐπυνθάνετο.
εἰ δέ με καὶ πεφίληκε τεκμαίρομαι· εἰ γὰρ ἀληθές,
πῶς ἀποθειωθεὶς πλάζομ' ἐπιχθόνιος;

178. ΤΟΥ ΑΥΤΟΥ.

Ἐξεφλέγην, ὅτε Θεῦδις ἐλάμπετο παισὶν ἐν ἄλλοις,
οἷος ἐπαντέλλων ἀστράσιν ἠέλιος.
τοὔνεκ' ἔτι φλέγομαι καὶ νῦν, ὅτε νυκτὶ λαχνοῦται·
δυόμενος γάρ, ὅμως ἥλιός ἐστιν ἔτι.

179. ΤΟΥ ΑΥΤΟΥ.

Ὤμοσά σοι, Κρονίδη, μηπώποτε, μηδ' ἐμοὶ αὐτῷ
ἐξειπεῖν ὅ τι μοι Θεῦδις ἔειπε λαβεῖν.
ψυχὴ δ' ἡ δυςάπιστος ἀγαλλομένη πεπότηται
ἠέρι, καὶ στέξαι τἀγαθὸν οὐ δύναται.
ἀλλ' ἐρέω, σύγγνωθι σύ μοι· „κεῖνός γε πέπεισται“·
„Ζεῦ πάτερ“· ἀγνώστου τίς χάρις εὐτυχίης;

180. ΤΟΥ ΑΥΤΟΥ.

Καῦμά μ' ἔχει μέγα δή τι· σὺ δ', ὦ παῖ, παύεο λεπτὶν
ἠέρι δινεύων ἐγγὺς ἐμεῖο λίνον.

---

Nr. 178. V. 3. Fortasse: ὅτε οἱ πτίλα χνοῦς τε. V. 4. ἠέλιος. P.
Nr. 179. V. 4. στέξε τ' ἀγ. P. V. 5. κεῖνος δέ. P.

ἄλλο τι πῦρ ἐμοῦ ἔνδον ἔχω κυάθοισιν ἀναφθέν,
καὶ περὶ σῇ ῥιπῇ μᾶλλον ἐγειρόμενον.

[P] 181. ΤΟΥ ΑΥΤΟΥ.

Ψευδέα μυθίζουσι, Θεόκλεες, ὡς ἀγαθαὶ μὲν
αἱ Χάριτες, τρισσαὶ δ' εἰσὶ κατ' Ὀρχομενόν.
πεντάκι γὰρ δέκα σεῖο περισκιρτῶσι πρόσωπα,
τοξοβόλοι, ψυχέων ἅρπαγες ἀλλοτρίων.

182. ΤΟΥ ΑΥΤΟΥ.

Ταῦτά με νῦν τὰ περισσὰ φιλεῖς, ὅτ' ἔρωτος ἀπέσβη
πυρσός, ὅτ' οὐδ' ἄλλως ἡδὺν ἔχω σε φίλον.
μέμνημαι γὰρ ἐκεῖνα τὰ δύσμαχα· πλὴν ἔτι, Δάφνι,
ὀψὲ μέν, ἀλλ' ἐχέτω καὶ μετάνοια τόπον.

183. ΤΟΥ ΑΥΤΟΥ.

Τίς χάρις, Ἡλιόδωρε, φιλήμασιν, εἴ με λάβροισιν
χείλεσι μὴ φιλέεις ἀντιβιαζόμενος,
ἀλλ' ἐπ' ἄκροις ἀσάλευτα μεμυκόσιν, οἷα κατ' οἴκους,
καὶ δίχα σοῦ με φιλεῖ πλάσμα τὸ κηρόχυτον;

---

Nr. 180. V. 3. ἐμάν. P. Nr. 182. V. 4. μέν σ' ἀ. P. Nr. 183. V. 2. φιλέοις. P.

184. ΤΟΥ ΑΥΤΟΥ.

Μὴ σπεύσῃς Μενέδημον ἑλεῖν δόλῳ, ἀλλ᾽ ἐπίνευσον
ὀφρύσι, καὶ φανερῶς αὐτὸς ἐρεῖ, πρόαγε·
οὐ γὰρ ἀνάβλησις· φθάνει δέ τε καὶ τὸν ἄγοντα·
οὐδ᾽ ἀμάρης, ποταμοῦ δ᾽ ἐστὶν ἑτοιμότερος.

185. ΤΟΥ ΑΥΤΟΥ.

Τοὺς σοβαροὺς τούτους, καὶ τοὺς περιπορφυροσήμους
παῖδας, ὅσους ἡμεῖς οὐ προσαφικόμεθα,
ὥςπερ σῦκα πέτραισιν ἐπ᾽ ἀκρολόφοισι πέπειρα
ἔσθουσιν γῦπες, Δίφιλε, καὶ κόρακες.

186. ΤΟΥ ΑΥΤΟΥ.

Ἄχρι τίνος ταύτην τὴν ὀφρύα τὴν ὑπέροπτον,
Μέντορ, τηρήσεις, μηδὲ τὸ χαῖρε λέγων,
ὡς μέλλων αἰῶνα μένειν νέος, ἢ διὰ παντὸς
ὀρχεῖσθαι πυρίχην; καὶ τὸ τέλος πρόβλεπε.
ἥξει σοι πώγων, κακὸν ἔσχατον, ἀλλὰ μέγιστον·
καὶ τότ᾽ ἐπιγνώσῃ, τί σπάνις ἐστὶ φίλων.

187. ΤΟΥ ΑΥΤΟΥ.

Πῶς ἀναγιγνώσκειν, Διονύσιε, παῖδα διδάξεις,
μηδὲ μετεκβῆναι φθόγγον ἐπιστάμενος;

---

5 V. 2. προςαφειεμεθα. P.

ἐκ νήτης μετέβης οὕτως ταχὺς εἰς βαρύχορδον
    φθόγγον, ἀπ' ἰσχνοτάτης εἰς τάσιν ὀγκοτάτην.
πλὴν οὐ βασκαίνω· μελέτα μόνον· ἀμφοτέρους δὲ
    κρούων, τοῖς φθονεροῖς Λάμβδα καὶ Ἄλφα λέγε.

188. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ σε φιλῶν ἀδικῶ, καὶ τοῦτο δοκεῖς ὕβριν εἶναι,
    τὴν αὐτὴν κόλασιν καὶ σὺ φίλει με λαβών.

[¶] 189. ΤΟΥ ΑΥΤΟΥ.

Τίς σε κατεστεφάνωσε ῥόδοις ὅλον; εἰ μὲν ἐραστής,
    ὦ μάκαρ· εἰ δ' ὁ πατήρ, ὄμματα κἀυτὸς ἔχει.

190. ΤΟΥ ΑΥΤΟΥ.

Ὄλβιος ὁ γράψας σε, καὶ ὄλβιος οὗτος ὁ κάλλει
    τῷ σῷ νικᾶσθαι κηρὸς ἐπιστάμενος.
θριπὸς ἐγὼ καὶ σύρμα τερηδόνος εἴθε γενοίμην,
    ὡς ἀναπηδήσας τὰ ξύλα ταῦτα φάγω.

191. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἐχθὲς παῖς ἦσθα, καὶ οὐδ' ὄναρ οὗτος ὁ πώγων
    ἤλυθε; πῶς ἀνέβη τοῦτο τὸ δαιμόνιον,

---

Nr. 191. V. 2. Fort. πῶς σ' ἄρ' ἔβη.

καὶ τριχὶ πάντ᾽ ἐκάλυψε τὰ πρὶν καλά; φεῦ, τί τὸ θαῦμα;
ἐχθὲς Τρωΐλος ὤν, πῶς ἐγένου Πρίαμος;

### 192. ΤΟΥ ΑΥΤΟΥ.

Οὔ τέρπουσι κόμαι με, περισσότεροί τε κίκιννοι,
τέχνης, οὐ φύσεως ἔργα διδασκόμενοι·
ἀλλὰ παλαιστρίτου παιδὸς ῥύπος ὁ ψαφαρίτης,
καὶ χροιὴ μελέων σαρκὶ λιπαινομένη.
ἡδὺς ἀκαλλώπιστος ἐμὸς πόθος· ἡ δὲ γοῆτις
μορφὴ θηλυτέρης ἔργον ἔχει Παφίης.

### 193. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδὲ Σμυρναῖαι Νεμέσεις ὅ τι σῖγα λέγουσιν,
Ἀρτεμίδωρε, νοεῖς; μηδὲν ὑπὲρ τὸ μέτρον.
ἀλλ᾽ οὕτως ὑπέροπτα, καὶ ἄγρια, κοὐδὲ πρέποντα
κωμῳδῷ, φθέγγῃ πάνθ᾽ ὑποκρινόμενος.
μνησθήσῃ τούτων, ὑπερήφανε, καὶ σὺ φιλήσεις,
καὶ κωμῳδήσεις τὴν Ἀποκλειομένην.

### 194. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ Ζεὺς ἐκ γαίης θνητοὺς ἔτι παῖδας ἐς αἴθρην
ἥρπαζεν, γλυκεροῦ νέκταρος οἰνοχόους,

---

Nr. 192. V. 4. ἄρτι λιπαινομένων. corr. Pauw. V. 5. γοητής. P.
Nr. 193. V. 1. ὅτι σοί τι λ. P.

Digitized by Google

αἰετὸς ἂν πτερύγεσσιν Ἀγρίππαν τὸν καλὸν ἡμῶν
ἤδη πρὸς μακάρων ἦγε διηκονίας.
ναὶ μὰ σὲ γάρ, Κρονίδη, κόσμου πάτερ, ἣν ἐςαθρή-
σῃς,
τὸν Φρύγιον ψέξεις αὐτίκα Δαρδανίδην.

195. ΤΟΥ ΑΥΤΟΥ.

Ἄνθεσιν οὐ τόσσοισι φιλοζέφυροι χλοάουσι
λειμῶνες, πυκιναῖς εἴαρος ἀγλαΐαις,
ὅσσους εὐγενέτας, Διονύσιε, παῖδας ἀθρήσεις,
χειρῶν Κυπρογενοῦς πλάσματα, καὶ Χαρίτων.
[P] ἔξοχα δ' ἐν τούτοις Μιλήσιος ἠνίδε θάλλει,
ὡς ῥόδον εὐόδμοις λαμπόμενον πετάλοις.
ἀλλ' οὐκ οἶδεν ἴσως, ἐκ καύματος ὡς καλὸν ἄνθος,
οὕτω τὴν ὥρην ἐκ τριχὸς ὀλλυμένην.

196. ΤΟΥ ΑΥΤΟΥ.

Ὀφθαλμοὺς σπινθῆρας ἔχεις, θεόμορφε Λυκῖνε,
μᾶλλον δ' ἀκτῖνας, δέσποτα, πυρσοβόλους.
ἀντωπὸς βλέψαι βαιὸν χρόνον οὐ δύναμαί σοι,
οὕτως ἀστράπτεις ὄμμασιν ἀμφοτέροις.

---

Nr. 194. V. 5. ἂν ἐςαθρ. P.

197. ΤΟΥ ΑΥΤΟΥ.

*Καιρὸν γνῶθι σοφῶν τῶν ἑπτά τις εἶπε, Φίλιππε·*
*πάντα γὰρ ἀκμάζοντ᾽ ἐστὶν ἐραστότερα.*
*καὶ σίκυος πρῶτός που ἐπ᾽ ἀνδήροισιν ὁραθεὶς*
*τίμιος, εἶτα συῶν βρῶμα πεπαινόμενος.*

198. ΤΟΥ ΑΥΤΟΥ.

*Ἡλικίης φίλος εἰμὶ καὶ οὐδένα παῖδα προτάσσω,*
*πρὸς τὸ καλὸν κρίνων· ἄλλο γὰρ ἄλλος ἔχει.*

199. ΤΟΥ ΑΥΤΟΥ.

*Ἄρκιον ἤδη μοι πόσιος μέτρον· εὐσταθίη γὰρ*
*λύεται, ἥ τε φρενῶν, ἥ τε διὰ στόματος.*
*χὠ λύχνος ἔσχισται διδύμην φλόγα, καὶ δὶς ἀριθμέω,*
*πολλάκι πειράζων, τοὺς ἀνακεκλιμένους.*
*ἤδη δ᾽ οὐκέτι μοῦνον ἐπ᾽ οἰνοχόον σεσόβημαι·*
*ἀλλὰ πάρωρα βλέπω κἠπὶ τὸν ὑδροχόον.*

200. ΤΟΥ ΑΥΤΟΥ.

*Μισῶ δυςπερίληπτα φιλήματα, καὶ μαχιμώδεις*
*φωνάς, καὶ σθεναρὴν ἐκ χερὸς ἀντίθεσιν·*
*καὶ μὴν καὶ τόν, ὅτ᾽ ἐστὶν ἐν ἀγκάσιν, εὐθὺ θέλοντα,*
*καὶ παρέχοντα χύδην οὐ πάνυ δή τι θέλω·*

---

Nr. 199. V. 4. πολλάκις. P. Nr. 200. V. 2. χειρός. P.

Digitized by Google

ἀλλὰ τὸν ἐκ τούτων ἀμφοῖν μέσον, οἷον ἐκεῖνον
τὸν καὶ μὴ παρέχειν εἰδότα, καὶ παρέχειν.

201. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὴ νῦν Κλεόνικος ἐλεύσεται, οὐκέτ᾽ ἐκεῖνον
δέξομ᾽ ἐγὼ μελάθροις, οὐ μὰ τόν ... οὐκ ὀμόσω.
εἰ γὰρ ὄνειρον ἰδὼν οὐκ ἤλυθεν, εἶτα παρείη
αὔριον, οὐ παρὰ τὴν σήμερον ὀλλύμεθα.

202. ΤΟΥ ΑΥΤΟΥ.

Πτηνὸς Ἔρως ἄγαγέν με δι᾽ ἠέρος, ἡνίκα, Δᾶμι,
γράμμα σὸν εἶδον, ὅ μοι δεῦρο μολεῖν σ᾽ ἔλεγεν·
ῥίμφα δ᾽ ἀπὸ Σμύρνης ἐπὶ Σάρδιας· ἔδραμεν ἄν μου
ὕστερον εἰ Ζήτης ἔτρεχεν, ἢ Κάλαϊς.

[P] 203. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἐθέλοντα φιλεῖς με, φιλῶ δ᾽ ἐγὼ οὐκ ἐθέλοντα·
εὔκολος ἢν φεύγω, δύσκολος ἢν ἐπάγω.

204. ΤΟΥ ΑΥΤΟΥ.

Χρύσεα χαλκείων νῦν εἴπατε· δὸς λάβε παίζει
Σωσιάδας ὁ καλός, καὶ Διοκλῆς ὁ δασύς.

---

Nr. 202. V. 4. ζητεῖς. P. Nr. 203. V. 2. ἀπάγω. P.

τίς κάλυκας συνέκρινε βάτῳ, τίς σῦκα μύκησιν;
ἄρνα γαλακτοπαγῆ τίς συνέκρινε βοΐ;
οἷα δίδως, ἀλόγιστε, καὶ ἔμπαλιν οἷα κομίζῃ;
οὕτω Τυδείδης Γλαῦκον ἐδωροδόκει.

205. ΤΟΥ ΑΥΤΟΥ.

Παῖς τις ὅλως ἀπαλὸς τοῦ γείτονος οὐκ ὀλίγως με
κνίζει· πρὸς τὸ θέλειν δ' οὐκ ἀμύητα γελᾷ.
οὐ πλεῦν δ' ἐστὶν ἐτῶν δύο καὶ δέκα. νῦν ἀφύλακτοι
ὄμφακες· ἢν δ' ἀκμάσῃ, φρούρια καὶ σκόλοπες.

206. ΤΟΥ ΑΥΤΟΥ.

α. Ἦν τούτῳ φωνῇς, τὸ μέσον λάβε, καὶ κατακλίνας
ζεύγνυε, καὶ πρώσας πρόςπεσε καὶ κάτεχε.
β. οὐ φρονέεις, Διόφαντε, μόλις δύναμαι γὰρ ἔγωγε
ταῦτα ποιεῖν· παίδων δ' ἡ πάλη ἔσθ' ἑτέρα.
α. ὀχλοῦ καὶ μένε, Κῦρι, καὶ ἐμβάλλοντος ἀνάσχου·
πρῶτον συμμελετᾷν, ἢ μελετᾷν μαθέτω.

207. ΤΟΥ ΑΥΤΟΥ.

Ἐχθὲς λουόμενος Διοκλῆς ἀνενήνοχε σαύραν
ἐκ τῆς ἐμβάσεως τὴν Ἀναδυομένην.

---

Nr. 204. V. 5. μύκαισιν. P. Nr. 205. V. 3. ἀφυλάκτοις. P.
Nr. 206. V. 1. ἦν τοῦτο φρονέῃς. Ap. Lips. V. 5. ὄχλου. P.

Digitized by Google

ταύτην εἴ τις ἔδειξεν Ἀλεξάνδρῳ τότ' ἐν Ἴδῃ,
τὰς τρεῖς ἂν ταύτῃ προκατέκρινε θεάς;

## 208. ΤΟΥ ΑΥΤΟΥ.

Εὐτυχές, οὐ φθονέω, βιβλίδιον,· ἦ ῥά σ' ἀναγνοὺς
παῖς τις ἀναθλίβει, πρὸς τὰ γένεια τιθείς·
ἢ τρυφεροῖς σφίγξει περὶ χείλεσιν, ἢ κατὰ μηρῶν
εἰλήσει δροσερῶν, ὦ μακαριστότατον·
πολλάκι φοιτήσεις ὑποκόλπιον, ἢ παρὰ δίφρους
βληθέν, τολμήσεις κεῖνα θιγεῖν ἀφόβως.
πολλὰ δ' ἐν ἠρεμίῃ προλαλήσεις· ἀλλ' ὑπὲρ ἡμῶν,
χαρτάριον, δέομαι, πυκνότερόν τι λάλει.

## 209. ΤΟΥ ΑΥΤΟΥ.

Μήτε λίην στυγνὸς παρακέκλισο, μήτε κατηφής,
Δίφιλε, μηδ' εἴης παιδίον ἐξ ἀγέλης.
[P] ἔστω που προὔνεικα φιλήματα, καὶ τὰ πρὸ ἔργων
παίγνια, πληκτισμοί, κνίσμα, φίλημα, λόγος.

## 210. ΤΟΥ ΑΥΤΟΥ.

Τρεῖς ἀρίθμει τοὺς πάντας ὑπὲρ λέχος, ὧν δύο
δρῶσιν,
καὶ δύο πάσχουσιν. θαῦμα δοκῶ τι λέγειν.

---

Nr. 208. V. 2. ἀναθλίψει. Br. Nr. 209. V. 2. μηδείσης. P. V. 3. πορνικά. P. λαλήματα. Br. Fert. θιγήματα.

καὶ μὴν οὐ ψεῦδος. δυσὶν εἷς μέσος· ὃς γὰρ ὑπουργεῖ
τέρπων ἐξόπιθεν, πρόσθε δὲ τερπόμενος.

211. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὲν ἔφυς ἀμύητος ἀκμὴν ὑπὲρ οὗ σ' ἔτι πείθω,
ὀρθῶς ἂν δείσαις, δεινὸν ἴσως δοκέων.
εἰ δέ σε δεσποτικὴ κοίτη πεποίηκε τεχνίτην,
τί φθονέεις δοῦναι, ταὐτὸ λαβών, ἑτέρῳ;
ὃς μὲν γὰρ καλέσας ἐπὶ τὸ χρέος, εἶτ' ἀπολύσας,
εὕδει κύριος ὤν, μηδὲ λόγου μεταδούς·
ἄλλη δ' ἔνθα τρυφή· παίξεις ἴσα, κοινὰ λαλήσεις,
τἄλλα δ' ἐρωτηθείς, οὐκ ἐπιτασσόμενος.

212. ΤΟΥ ΑΥΤΟΥ.

Αἴ, αἴ μοι τί πάλιν δεδακρυμένον, ἢ τί κατηφές,
παιδίον; εἰπὸν ἁπλῶς· μηδ' ὀδυνῶ· τί θέλεις;
τὴν χέρα μοι κοίλην προςενήνοχας· ὡς ἀπόλωλα.
μισθὸν ἴσως αἰτεῖς. τοῦτ' ἔμαθες δὲ πόθεν;
οὐκέτι σοι κοπτῆς φιλίαι πλάκες, οὐδὲ μελιχρὰ
σήσαμα, καὶ καρύων παίγνιος εὐστοχίη.
ἀλλ' ἤδη πρὸς κέρδος ἔχεις φρένας. ὡς ὁ διδάξας
τεθνάτω· οἷόν μου παιδίον ἠφάνικεν.

---

Nr. 210. V. 3. μέσος γάρ. P. Nr. 211. V. 2. αἴδεισαι. P. Nr. 212. V. 2. ὄδυναι. P. V. 3. τὴν χεῖρα. P. V. 5. φιλίης. P.

Digitized by Google

213. ΤΟΥ ΑΥΤΟΥ.

Τῷ τοίχῳ κέκλικας τὴν ὀσφύα τὴν περίβλεπτον,
Κῦρι· τί πειράζεις τὸν λίθον; οὐ δύναται.

214. ΤΟΥ ΑΥΤΟΥ.

Δός μοι, καὶ λάβε χαλκόν. ἐρεῖς ὅτι πλούσιός εἰμι·
δώρησαι τοίνυν τὴν χάριν, ὡς βασιλεύς.

215. ΤΟΥ ΑΥΤΟΥ.

Νῦν ἔαρ εἶ, μετέπειτα θέρος· κἄπειτα τί μέλλεις,
Κύριε; βούλευσαι, καὶ καλάμη γὰρ ἔσῃ.

216. ΤΟΥ ΑΥΤΟΥ.

Νῦν ὀρθή, κατάρατε, καὶ εὔτονος, ἡνίκα μηδέν·
ἡνίκα δ' ἦν ἐχθές, οὐδὲν ὅλως ἀνέπνεις.

217. ΤΟΥ ΑΥΤΟΥ.

Ἤδη ἐπὶ στρατιῆς ὁρμᾷς, ἔτι παῖς ἀδαὴς ὤν,
καὶ τρυφερός. τί ποιεῖς; οὗτος, ὅρα, μετάθου.
οἴμοι τίς σ' ἀνέπεισε λαβεῖν δόρυ; τίς χερὶ πέλτην;
τίς κρύψαι ταύτην τὴν κεφαλὴν κόρυθι;

---

Nr. 216. V. 1. κ' εὔτονος. P. V. 2. ὅλον. P. Fort. ἡνίκα δ' χθὲς ἔην. Nr. 217. V. 2. οὕτως ὁρῶ. P.

Digitized by Google

[P] ὢ μακαριστὸς ἐκεῖνος, ὅτις ποτέ, καινὸς Ἀχιλλεὺς
τοίῳ ἐνὶ κλισίῃ τερπόμενος Πατρόκλῳ.

218. ΤΟΥ ΑΥΤΟΥ.

Μέχρι τίνος σε γελῶντα μόνον, μηδὲν δὲ λαλοῦντα
οἴσομεν; εἰπὸν ἁπλῶς ταῦτα σύ, Πασίφιλε.
αἰτῶ, καὶ σὺ γελᾷς· πάλιν αἰτῶ, κοὐκ ἀποκρίνῃ·
δακρύω, σὺ γελᾷς. βάρβαρε, τοῦτο γέλως;

219. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ μισθοὺς αἰτεῖτε, διδάσκαλοι. ὡς ἀχάριστοι
ἔστε. τί γάρ; τὸ βλέπειν παιδία, μικρὸν ἴσως;
καὶ τούτοισι λαλεῖν, ἀσπαζομένους τε φιλῆσαι;
τοῦτο μόνον χρυσῶν ἄξιον οὐχ ἑκατόν;
πεμπέτω, εἴ τις ἔχει καλὰ παιδία· κἀμὲ φιλείτω,
μισθὸν καὶ παρ' ἐμοῦ λαμβανέτω τί θέλει.

220. ΤΟΥ ΑΥΤΟΥ.

Οὐχὶ τὸ πῦρ κλέψας δέδεσαι, κακόβουλε Προμηθεῦ·
ἀλλ' ὅτι τὸν πηλὸν τοῦ Διὸς ἠφάνισας.
πλάττων ἀνθρώπους, ἔβαλες τρίχας, ἔνθεν ὁ δεινὸς
πώγων, καὶ κνήμη παισὶ δασυνομένη.

---

V. 5. ὅστις. P.

εἶτά σε δαρδάπτει Διὸς αἰετός, ὃς Γανυμήδην
ἥρπασ᾽· ὁ γὰρ πώγων καὶ Διός ἐστ᾽ ὀδύνη.

221. ΤΟΥ ΑΥΤΟΥ.

Στεῖχε πρὸς αἰθέρα δῖον, ἀπέρχεο παῖδα κομίζων,
αἰετέ, τὰς διφυεῖς ἐκπετάσας πτέρυγας.
στεῖχε τὸν ἁβρὸν ἔχων Γανυμήδεα, μηδὲ μεθείης
τὸν Διὸς ἡδίστων οἰνοχόον κυλίκων.
φείδεο δ᾽ αἱμάξαι κοῦρον γαμψώνυχι ταρσῷ,
μὴ Ζεὺς ἀλγήσῃ, τοῦτο βαρυνόμενος.

222. ΤΟΥ ΑΥΤΟΥ.

Εὐκαίρως ποτὲ παιδοτρίβης, λεῖον προδιδάσκων,
εἰς τὸ γόνυ κάμψας, μέσσον ἐπαιδοτρίβει,
τῇ χερὶ τοὺς κόκκους ἐπαφώμενος· ἀλλὰ τυχαίως
τοῦ παιδὸς χρῄζων ἦλθεν ὁ δεσπόσυνος.
ὃς δὲ τάχος τοῖς ποσσὶν ὑποζώσας ἀνέκλινεν
ὕπτιον, ἐμπλέξας τῇ χερὶ τὴν φάρυγα.
ἀλλ᾽ οὐκ ὢν ἀπάλαιστος ὁ δεσπόσυνος προσέειπεν·
παῦσαι, πνιγίζεις, φησί, τὸ παιδάριον.

[P] 223. ΤΟΥ ΑΥΤΟΥ.

Τερπνὸν ὅλως τὸ πρόσωπον ἐμοὶ προσιόντος ἀπαρκεῖ·
οὐκέτι δ᾽ ἐξόπιθεν καὶ παριόντα βλέπω.

---

Nr. 221. V. 3. στῖχε. P. μηδεθειηι (με). P. Nr. 222. V. 3. κώκους. P. V. 5. ποσίν. P. V. 6. ἀμπλέξας. Br. χειρί. P.

*οὕτω γὰρ καὶ ἄγαλμα θεοῦ καὶ νηὸν ὁρῶμεν*
*ἀντίον, οὐ πάντως καὶ τὸν ὀπισθόδομον.*

## 224. ΤΟΥ ΑΥΤΟΥ.

*Εἰς ἀγαθὴν συνέβημεν ἀταρπιτόν, ἣν ἀπὸ πρώτης*
*φράζεο, πῶς ἔσται, Δίφιλε, καὶ μονίμη.*
*ἄμφω γὰρ πτηνόν τι λελόγχαμεν. ἔστι μὲν ἐν σοὶ*
*κάλλος, ἔρως δ' ἐν ἐμοί· καίρια δ' ἀμφότερα.*
*ἄρτι μὲν ἁρμοσθέντα μένει χρόνον· εἰ δ' ἀφύλακτα*
*μίμνετον ἀλλήλων, ᾤχετ' ἀποπτάμενα.*

## 225. ΤΟΥ ΑΥΤΟΥ.

*Οὐδέποτ' ἠελίου φάος ὄρθριον ἀντέλλοντος*
*μίσγεσθαι ταύρῳ χρὴ φλογόεντα κύνα,*
*μή ποτε καρποτόκου Δημήτερος ὑγρανθείσης,*
*βρέξῃς τὴν λασίην Ἡρακλέους ἄλοχον.*

## 226. ΤΟΥ ΑΥΤΟΥ.

*Πάννυχα μυδαλόεντα πεφυρμένος ὄμματα κλαυθμῷ*
*ἄγρυπνον ἀμπαύω θυμὸν ἀδημονίῃ,*
*ἥ με κατ' οὖν ἐδάμασσεν ἀποζευχθέντος ἑταίρου,*
*μοῦνον ἐπεί με λιπὼν εἰς ἰδίην Ἔφεσον*

---

Nr. 224. V. 4. *κύρια.* P. V. 5. Fort. *εἰ δ' ἀσύναπτα.* Nr. 225. V. 3. *καρποδόχου μητέρος.* P. Nr. 226. V. 3. *ἠμέκατουν.* P. V. 4. *ἐς ἰδ.* P.

Digitized by Google

χθιζὸς ἔβη Θεόδωρος· ὃς εἰ πάλι μὴ ταχὺς ἔλθοι,
οὐκέτι μουνολεχεῖς κοίτας ἀνεξόμεθα.

227. ΤΟΥ ΑΥΤΟΥ.

Ἤν τινα καὶ παριδεῖν ἐθέλω καλὸν ἀντισυναντῶν,
βαιὸν ὅσον παραβὰς εὐθὺ μεταστρέφομαι.

228. ΤΟΥ ΑΥΤΟΥ.

Παῖδα μὲν ἠλιτόμηνον ἐς ἄφρονα καιρὸν ἁμαρτεῖν,
τῷ πείθοντι φέρει πλεῖον ὕβρισμα φίλῳ.
ἤδη δ' ἐν νεότητι παρήλικα παιδικὰ πάσχειν,
τῷ παρέχοντι πάλιν τοῦτο δὶς αἰσχρότερον.
ἔστι δ' ὅτ' ἀμφοτέροις τὸ μὲν οὐκέτι, Μοῖρι, τὸ δ' οὔπω
ἀπρεπές, οἷον ἐγὼ καὶ σὺ τὸ νῦν ἔχομεν.

229. ΤΟΥ ΑΥΤΟΥ.

Ὡς ἀγαθὴ θεός ἐστι, δι' ἣν ὑπὸ κόλπον, Ἄλεξι,
πτύομεν, ὑστερόπουν ἁζόμεναι Νέμεσιν.
ἣν σὺ μετερχομένην οὐκ ἔβλεπες, ἀλλ' ἐνόμιζες
ἕξειν τὸ φθονερὸν κάλλος ἀειχρόνιον.
νῦν δὲ τὸ μὲν διόλωλεν· ἐλήλυθε δ' ἡ τριχάλεπτος
δαίμων· χοἱ θέραπες νῦν σε παρερχόμεθα.

---

Nr. 228. V. 3. καὶ παιδικά. P. Nr. 229. V. 2. ὑστερόνουν. P.

[P] 230. ΚΑΛΛΙΜΑΧΟΥ.

Τὸν τὸ καλὸν μελανεῦντα Θεόκριτον, εἰ μὲν ἔμ' ἔχθει,
τετράκι μισοίης· εἰ δὲ φιλεῖ, φιλέοις·
ναιχὶ πρὸς εὐχαίτεω Γανυμήδεος, οὐράνιε Ζεῦ,
καὶ σύ ποτ' ἠράσθης. οὐκέτι μακρὰ λέγω.

231. ΣΤΡΑΤΩΝΟΣ.

Εὐκλείδῃ φιλέοντι πατὴρ θάνεν. ἆ μάκαρ αἰεί·
καὶ πρὶν ἐς ὅττι θέλοι χρηστὸν ἔχων πατέρα,
καὶ νῦν εὔφρονα νεκρόν. ἐγὼ δ' ἔτι λάθρια παίζω.
φεῦ μοίρης τε κακῆς, καὶ πατρὸς ἀθανάτου.

232. ΣΚΥΘΙΝΟΥ.

Ὀρθὸν νῦν ἕστηκας ἀνώνυμον, οὐδὲ μαραίνῃ·
ἐντέτασαι δ' ὡς ἂν μή ποτε παυσόμενον.
ἀλλ' ὅτε μοι Νεμεσηνὸς ὅλον παρέκλινεν ἑαυτόν,
πάντα διδοὺς ἃ θέλω, νεκρὸν ἀπεκρέμασο.
τείνεο, καὶ ῥῆσσου, καὶ δάκρυε· πάντα ματαίως.
οὐχ ἕξεις ἔλεον χειρὸς ἀφ' ἡμετέρης.

233. ΦΡΟΝΤΩΝΟΣ.

Τὴν ἀκμὴν Θησαυρὸν ἔχειν, Κωμῳδέ, νομίζεις,
οὐκ εἰδὼς αὐτὴν Φάσματος ὀξυτέρην.

---

Nr. 230. V. 1. ἐμ' ὀχθεῖ. P. V. 4. καὶ ἀποθ. P. Nr. 231. V. 3. ἄφρονα. Br. V. 4. θανάτου. P. Nr. 232. V. 3. μοι om. P.

Digitized by Google

ποιήσει σ᾽ ὁ χρόνος Μισούμενον, εἶτα Γεωργόν,
καὶ τότε μαστεύσεις τὴν Περικειρομένην.

### 234. ΣΤΡΑΤΩΝΟΣ.

Εἰ κάλλει καυχᾷ, γίγνωσχ᾽ ὅτι καὶ ῥόδον ἀνθεῖ.
ἀλλὰ μαρανθὲν ἄφνω σὺν κοπρίοις ἐρίφη.
ἄνθος γὰρ καὶ κάλλος ἴσον χρόνον ἐστὶ λαχόντα,
ταῦτα δ᾽ ὁμῇ φθονέων ἐξεμάρανε χρόνος.

### 235. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ μὲν γηράσκει τὸ καλόν, μετάδος, πρὶν ἀπέλθῃ·
εἰ δὲ μένει, τί φοβῇ τοῦθ᾽ ὃ μένει διδόναι;

### 236. ΤΟΥ ΑΥΤΟΥ.

Εὐνοῦχός τις ἔχει καλὰ παιδία. πρὸς τίνα χρῆσιν;
καὶ τούτοισι βλάβην οὐχ ὁσίην παρέχει.
ὄντως ὡς ὁ κύων φάτνῃ ῥόδα, μωρὰ δ᾽ ὑλακτῶν,
οὔθ᾽ αὑτῷ παρέχει τἀγαθόν, οὔθ᾽ ἑτέρῳ.

### 237. ΤΟΥ ΑΥΤΟΥ.

Χαῖρε σὺ μισοπόνηρε πεπλασμένε, χαῖρε βάναυσε,
ὁ πρώην ὀμόσας μηκέτι μὴ διδόναι.
μηκέτι νῦν ὀμόσῃς. ἔγνωκα γάρ, οὐδέ με λήθεις.
οἶδα τὸ ποῦ, καὶ πῶς, καὶ τίνι, καὶ τὸ πόσου.

---

Nr. 234. V. 1. γίγνωσκ᾽ ὅτι. P. V. 2. ἐῤῥίφη. P.

Digitized by Google

[Γ] 238. ΤΟΥ ΑΥΤΟΥ.

Ἀλλήλοις παρέχουσιν ἀμοιβαδίην ἀπόλαυσιν
οἱ κύνεοι πῶλοι μειρακιευόμενοι·
ἀμφαλλὰξ δὲ οἱ αὐτοὶ ἀπόστροφα νωτοβατοῦνται,
τὸ δρᾷν καὶ τὸ παθεῖν ἀντιπεραινόμενοι.
οὐ πλεονεκτεῖται δ' οὐδ' ἅτερος· ἄλλοτε μὲν γὰρ
ἵσταται ὁ προδιδοὺς ἄλλοτ' ὄπισθε πάλιν.
τοῦτ' ἐστὶν πάντως τὸ προοίμιον· εἰς γὰρ ἀμοιβήν,
ὡς λέγεται, κνήθειν οἶδεν ὄνος τὸν ὄνον.

239. ΤΟΥ ΑΥΤΟΥ.

Πέντ' αἰτεῖς, δέκα δώσω· ἐείκοσι δ' ἀντία ἕξεις —
ἀρκεῖ σοι; — χρυσοῦς· ἤρκεσε καὶ Δανάῃ.

240. ΤΟΥ ΑΥΤΟΥ.

Ἤδη μοι πολιαὶ μὲν ἐπὶ κροτάφοισιν ἔθειραι,
καὶ πέος ἐν μηροῖς ἀργὸν ἀποκρέμαται·
ὄρχεις δ' ἄπρηκτοι, χαλεπὸν δέ με γῆρας ἱκάνει.
οἴμοι, πυγίζειν οἶδα, καὶ οὐ δύναμαι.

241. ΤΟΥ ΑΥΤΟΥ.

Ἄγκιστρον πεπόηκας, ἔχεις ἰχθὺν ἐμέ, τέκνον·
ἕλκε μ' ὅπου βούλει· μὴ τρέχε, μή σε φύγω.

---

Nr. 238. V. 3. Fort. δ' ἄρ' οἱ αὐτοί. V. 7. ἐστί. Nr. 239. V. 1. καὶ εἴκοσι. P. Fort. αὐτίκ' ἀφέξεις. Nr. 240. V. 1. πολιαὶ αἱ. P. Nr. 241. V. 1. Fort. προέηκας, ἔχεις δ' ἰχθ.

### 242. ΤΟΥ ΑΥΤΟΥ.

Πρώην τὴν σαύραν ῥοδοδάκτυλον, Ἄλκιμ', ἔδειξας·
νῦν αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχεις.

### 243. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ με τὸ πυγίζειν ἀπολώλεκε, καὶ διὰ τοῦτο
ἐκτρέφομαι ποδαγρῶν, Ζεῦ, κρεάγραν με πόει.

### 244. ΤΟΥ ΑΥΤΟΥ.

Ἢν ἐςίδω τινὰ λευκόν, ἀπόλλυμαι· ἢν δὲ μελίχρουν,
καίομαι· ἢν ξανθὸν δ', εὐθὺς ὅλος λέλυμαι.

### 245. ΤΟΥ ΑΥΤΟΥ.

Πᾶν ἄλογον ζῶον βινεῖ μόνον· οἱ λογικοὶ δὲ
τῶν ἄλλων ζώων τοῦτ' ἔχομεν τὸ πλέον,
πυγίζειν εὑρόντες. ὅσοι δὲ γυναιξὶ κρατοῦνται,
τῶν ἀλόγων ζώων οὐδὲν ἔχουσι πλέον.

### 246. ΤΟΥ ΑΥΤΟΥ.

Ζεῦγος ἀδελφειῶν με φιλεῖ, κοὐκ οἶδα, τίν' αὐτῶν
δεσπόσυνον κρίνω· τοὺς δύο γὰρ φιλέω.
χὠ μὲν ἀποστείχει, ὁ δ' ἐπέρχεται. ἔστι δὲ τοῦ μὲν
κάλλιστον τὸ παρόν, τοῦ δέ, τὸ λειπόμενον.

---

Nr. 242. V. 1. ἄνιμ'. P. Nr. 243. V. 1. ἀπόλωλε. P. Nr. 244. V. 2. ξανθὸν εὐθύς. P. Nr. 246. V. 1. οὐκ. P. V. 3. ἀποστίχει. P.

Digitized by Google

## 247. ΤΟΥ ΑΥΤΟΥ.

*Οἷον ἐπὶ Τροίην ποτ' ἀπὸ Κρήτης, Θεόδωρε,*
*Ἰδομενεὺς θεράποντ' ἤγαγε Μηριόνην,*
*τοῖον ἔχω σε φίλον περιδέξιον. ἦ γὰρ ἐκεῖνος*
*ἄλλα μὲν ἦν θεράπων, ἄλλα δ' ἑταιρόσυνος.*
[P] *καὶ σὺ τὰ μὲν βιότοιο πανήμερος ἔργα τέλει μοι·*
*νῦν δ' ἄγε * πεινῶμεν καὶ διὰ μηριόνην.*

## 248. ΤΟΥ ΑΥΤΟΥ.

*Τίς δύναται γνῶναι τὸν ἐρώμενον, εἰ παρακμάζει,*
*πάντα συνὼν αὐτῷ, μηδ' ἀπολειπόμενος;*
*τίς δύνατ' οὐκ ἀρέσαι τὴν σήμερον, ἐχθὲς ἀρέσκων;*
*εἰ δ' ἀρέσει, τί παθὼν αὔριον οὐκ ἀρέσει;*

## 249. ΤΟΥ ΑΥΤΟΥ.

*Βουποίητε μέλισσα, πόθεν μέλι τοὐμὸν ἰδοῦσα*
*παιδὸς ἐφ' ὑαλέην ὄψιν ὑπερπέτασαι;*
*οὐ παύσῃ βομβεῦσα, καὶ ἀνθολόγοισι θέλουσα*
*ποσσὶν ἐφάψασθαι χρωτὸς ἀκηροτάτου;*
*ἔῤῥ' ἐπὶ σοὺς μελίπαιδας ὅποι ποτέ, δράπετι, σίμ-*
*βλους,*
*μή σε δάκω· κἠγὼ κέντρον ἔρωτος ἔχω.*

---

Nr. 247. V. 1. *Τροίη.* P. V. 6. Fort. *νῦν δ' ἄγ' ἑταιρῶμεν.*
Nr. 249. V. 5. *σίμβλοις.* P.

Digitized by Google

250. ΤΟΥ ΑΥΤΟΥ.

Νυκτερινὴν ἐπίκωμος ἰὼν μεταδόρπιον ὥρην,
ἄρνα λύκος θυρέτροις εὗρον ἐφεσταότα,
υἱὸν Ἀριστοδίκου τοῦ γείτονος· ὃν περιπλεχθεὶς
ἐξεφίλουν, ὅρκοις πολλὰ χαριζόμενος.
νῦν δ᾽ αὐτῷ τί φέρων δωρήσομαι; οὔτ᾽ ἀπάτης γὰρ
ἄξιος, Ἑσπερίης οὔτ᾽ ἐπιορκοσύνης.

251. ΤΟΥ ΑΥΤΟΥ.

Πρόσθε μὲν ἀντιπρόσωπα φιλήματα, καὶ τὰ πρὸ πείρας
εἴχομεν· ἧς γὰρ ἀκμήν, Δίφιλε, παιδάριον.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων
ὕστερον. ἔστω γὰρ πάντα καθ᾽ ἡλικίην.

252. ΤΟΥ ΑΥΤΟΥ.

Ἐμπρήσω σε, θύρη, τᾷ λαμπάδι, καὶ τὸν ἔνοικον
συμφλέξας μεθύων, εὐθὺς ἄπειμι φυγάς,
καὶ πλώσας Ἀδριανὸν ἐπ᾽ οἴνοπα πόντον, ἀλήτης
πωλήσω γε θύραις νυκτὸς ἀνοιγομέναις.

253. ΤΟΥ ΑΥΤΟΥ.

Δεξιτερὴν ὀλίγον δὸς ἐπὶ χρόνον, οὐχ ἵνα παύσῃς
(καί μ᾽ ὁ καλὸς χλεύην ἔσχε) χοροιτυπίης.

---

Nr. 251. V. 2. εις γάρ. P. V. 3. ὄπισθεν. P. Nr. 252. V. 4. Fort. φωλήσω cum Salmasio.

ἀλλ' εἰ μὴ πλευρῇ παρεκέκλιτο πατρὸς ἀκαίρως,
οὐκ ἂν δή με μάτην εἶδε μεθυσκόμενον.

254. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ ποίου ναοῦ, πόθεν ὁ στόλος οὗτος Ἐρώτων,
πάντα καταστίλβων; ἄνδρες, ἀμαυρὰ βλέπω.
[P] τίς τούτων δοῦλος, τίς ἐλεύθερος; οὐ δύνατ' εἶναι
ἄνθρωπος τούτων κύριος, οὐ δύναται.
εἰ δ' ἐστίν, μείζων πολλῷ Διός, ὃς Γανυμήδην
ἔσχε μόνως, θεὸς ὢν πηλίκος· ὃς δὲ τόσους.

255. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδ' αὐτή σ' ἡ λέξις, ἀκοινώτητε, διδάσκει,
ἐξ ἐτύμου φωνῆς ῥήματος ἑλκομένη;
πᾶς φιλόπαις λέγεται, Διονύσιε, κοὐ φιλοβούπαις.
πρὸς τοῦτ' ἀντειπεῖν μή τι πάλιν δύνασαι;
Πύθι' ἀγωνοθετῶ, σὺ δ' Ὀλύμπια· χοῦς ἀποβάλλων
ἐκκρίνω, τούτους εἰς τὸν ἀγῶνα δέχῃ.

256. ΜΕΛΕΑΓΡΟΥ.

Πάγκαρπόν σοι, Κύπρι, καθήρμοσε, χειρὶ τρυγήσας
παίδων ἄνθος, Ἔρως ψυχαπάτην στέφανον.

---

Nr. 254. V. 2. καταστίλβειν. P. V. 3. οὐ δύναμ' εἰπεῖν. P. V. 6. μόνον et πόσους. Br. Nr. 255. V. 2. ῥήμασιν. P. Nr. 256. V. 1. χερί. P.

ἐν μὲν γὰρ κρίνον ἡδὺ κατέπλεξεν Διόδωρον,
    ἐν δ' Ἀσκληπιάδην, τὸ γλυκὺ λευκόϊον.
ναὶ μὴν Ἡράκλειτον ἐπέπλεκεν, ὡς ἀπ' ἀκάνθης
    εἰς ῥόδον· οἰνάνθη δ' ὥς τις ἔθαλλε Δίων·
χρυσάνθη δὲ κόμαισι κρόκον, Θήρωνα, συνῆψεν,
    ἐν δ' ἔβαλ' ἑρπύλλου κλωνίον, Οὐδιάδην·
ἁβροκόμην δὲ Μυΐσκον, ἀειθαλὲς ἔρνος ἐλαίης,
    ἱμερτοὺς ἀρετῆς κλῶνας ἀπεδρέπετο.
ὀλβίστη νήσων ἱερὰ Τύρος, ἣ τὸ μυρόπνουν
    ἄλσος ἔχει παίδων Κύπριδος ἀνθοφόρον.

### 257. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ πύματον καμπτῆρα καταγγέλλουσα κορωνίς,
    ὀρκοῦρος γραπταῖς πιστοτάτα σελίσιν,
φαμὶ τὸν ἐκ πάντων ἠθροισμένον εἰς ἕνα μόχθον
    ὑμνοθετᾶν βύβλῳ τᾷδ' ἐνελιξάμενον
ἐκτελέσαι Μελέαγρον, ἀείμνηστον δὲ Διοκλεῖ
    ἄνθεσι συμπλέξαι μουσοπόλον στέφανον.
οὖλα δ' ἐγὼ καμφθεῖσα δρακοντείοις ἴσα νώτοις,
    σύνθρονος ἵδρυμαι τέρμασιν εὐμαθίας.

---

V. 3. κατέπλεξε. P. V. 5. ὅς ῥ' ἀπ' ἀκάνθης ἦν ῥ. Br. Fort. ὡς ἀπ' ἀ., ὡς ῥόδον. V. 8. οὐλιάδην. P. Nr. 257. V. 4. ὑμνοθέταν. P. V. 7. δρακοντείοισιναωτοις. P.



Digitized by Google

258. ΣΤΡΑΤΩΝΟΣ.

Ἠ τάχα τις μετόπισθε κλύων ἐμὰ παίγνια ταῦτα,
πάντας ἐμοὺς δόξει τοὺς ἐν ἔρωτι πόνους.
ἄλλα δ' ἐγὼν ἄλλοισιν ἀεὶ φιλόπαισι χαράσσω
γράμματ', ἐπεί τις ἐμοὶ τοῦτ' ἐνέδωκε θεός.

---

Nr. 258. V. 4. τίς μοι et ἀνέδωκε. P.

Digitized by Google

# XIII.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ.

Digitized by Google

# XIII.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ.

[1] 1. ΦΙΛΙΠΠΟΥ.

Χαῖρε θεὰ Παφίη· σὴν γὰρ ἀεὶ δύναμιν,
κάλλος τ' ἀθάνατον, καὶ σέβας ἱμερόεν
πάντες τιμῶσι θνατοὶ ἐφαμέριοι
ἐν πᾶσιν μύθοις ἔργοισίν τε καλοῖς.
πάντῃ γὰρ πᾶσιν σὴν δηλοῖς τιμήν.

2. ΦΑΙΔΙΜΟΥ.

Καλλίστρατός σοι, Ζηνὸς ὦ διάκτορε,
ἔθηκε μορφῆς ξυνὸν ἥλικος τύπον·

Nr. 1. V. 4. ἐργασίαις τε καλαῖς. Br. V. 5. σὴν φανεροῖς δύναμιν. Br.

Κηφισιεὺς ὁ κοῦρος· ᾧ χαρεὶς ἄναξ,
Ἀπολλοδώρου παῖδα καὶ πάτραν σάω.

3. ΘΕΟΚΡΙΤΟΥ.

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ·
εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
θαρσέων καθίζευ, κἢν θέλῃς, ἀπόβριξον.

4. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Ἀλκίμων σ', ὦ 'ριστοκλείδη, πρῶτον οἰκτείρω φίλω
ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουληΐην.

5. ΦΑΛΑΙΚΟΥ.

Νικῶ δίαυλον. ἀλλ' ἐγὼ παλαίων.
ἐγὼ δὲ πεντάεθλον. ἀλλ' ἐγὼ πύξ.
καὶ τίς τύ; Τιμόδημος. ἀλλ' ἐγὼ Κρής.
ἐγὼ δὲ Κρηθεύς. ἀλλ' ἐγὼ Διοκλῆς.
καὶ τίς πατήρ τοι; κλεινὸς ὥςπερ ὔμμιν.
ἔμπη δὲ νίκης; Ἰσθμόν. ἢ τὺ δ' ἔμπη;
Νέμειον ἂν λειμῶνα, καὶ παρ' Ἥραν.

---

Nr. 2. V. 3. κηφισιεύς. P. ὦ χάρις. P. Nr. 3. V. 3. χρηστῶ. Nr. 4. V. 2. δουλείην. P. Nr. 5. V. 5. κλεινος η ὅςπερ ἄμμιν. V. ῆ. P. V. 7. Ἥρα. Br.

6. ΑΛΛΟ.

Τοῦτ' ἐγὼ τὸ περισσὸν εἰκόνισμα
τοῦ κωμῳδογέλωτος, εἰς θρίαμβον
κισσῷ καὶ στεφάνοισιν ἀμπυκασθέν,
[⁋] ἕστασ', ὄφρα Λύκωνι σᾶμ' ἐπείη.
ὅσσα γὰρ * καθύπερθε λαμπρὸς ἀνήρ,
μνᾶμα τοῦ χαρίεντος ἔν τε λέσχᾳ,
ἔν τ' οἴνῳ τόδε κἄτι τοῖς ἔπειτα
ἄγκειται, παράδειγμα τᾶς ὀπωπᾶς.

7. ΚΑΛΛΙΜΑΧΟΥ.

Ὁ Λύκτιος Μενοίτας τὰ τόξα ταῦτ' ἐπειπὼν
ἔθηκε· Τῆ, κέρας τοὶ δίδωμι καὶ φαρέτρην,
Σάραπι· τοὺς δ' ὀϊστοὺς ἔχουσιν Ἑσπερῖται.

8. ΘΕΟΔΩΡΙΔΑ.

Ἐκ δολιχοῦ τὸ γέρας σφυρήλατον, ὡς τάχει κρατήσας,
Παῖς Ἀριστομάχειος ἀνείλετο χάλκεον λέβητα.

9. ΚΑΛΛΙΜΑΧΟΥ.

(ἔστι δὲ οὐ τέλειον τὸ Ἐπίγραμμα.)

Ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρῆς Χίου
ἀμφορεύς, πολὺς δὲ Λεσβίης ἄωτον νέκταρ οἰνάνθης ἄγων.

---

Nr. 6. V. 5. κατέπραξε. Br. c. Salm. Fort. γάρ ποθ' ἔπαιξε. V. 7. καί τι. P. Nr. 7. V. 1. μενίτας. P. Nr. 8. V. 1. τόρασφυρήλατον. P. ὅς τάχει. Ib. V. 2. ἀνεῖλε τὸν χάλκειον. P. Nr. 9. V. 2. λεσβίην.

### 10. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ ναῦς, ἅ τὸ μόνον φέγγος ἐμὶν τὸ γλυκὺ τᾶς ζοᾶς
ἅρπαξας, ποτί τε Ζανὸς ἱκνεῦμαι λιμενοσκόπω.

### 11. ΣΙΜΩΝΙΔΟΥ.

α. Τίς εἰκόνα τάνδ' ἀνέθηκεν; β. Δωριεὺς ὁ Θούριος.
α. οὐ Ῥόδιος γένος ἦν; β. ναί, πρὶν φυγεῖν γε πατρίδα·
δεινᾷ τε χειρὶ πολλὰ ῥέξας ἔργα καὶ βίαια.

### 12. ΗΓΗΣΙΠΠΟΥ.

Ἐῤῥέτω ἦμαρ ἐκεῖνο, καὶ οὐλομένη σκοτόμαινα,
βρόμος τε δεινὸς ἠνεμωμένης ἁλός,
οἵ ποτε νῆ' ἐκύλισαν, ἐφ' ἧς ὁ τὰ πολλὰ μελίφρων
Ἀβδηρίων ἄπρηκτα θεοῖσιν εὔχετο·
ῥαίσθη γὰρ διὰ πάντα, προσηνέχθη δὲ κλύδωνι
τρηχεῖαν εἰς Σέριφον, αἰδοίων ὅθι
προξείνων ὑπὸ χερσὶ λαχὼν πυρός, ἵκετο πάτρην
Ἄβδηρα, κρωσσῷ χαλκέῳ περισταλείς.

---

Nr. 10. V. 1. ατομον. P. εμειν et ζωᾶς. Ib. V. 2. ζηνός. P. Nr. 11. V. 2. φυγεῖν τε. P. Nr. 12. V. 3. πολλ' ἔρξας. P. V. 5. ῥάσθη et διάπαντα. P. V. 6. εἰς ἔριφον αἰδοιον. P. V. 7. πρὸς ξείνων. P.

[P] 13. ΑΔΕΣΠΟΤΟΝ.

*Τόνδε πυρῇ ἀνέθηκε Πολυμνήστου φίλος υἱός,*
*εὐξάμενος δεκάτην Παλλάδι Τριτογενεῖ.*
*Κυδωνιάτας Κρισίας εἰργάσατο.*

14. ΣΙΜΩΝΙΔΟΥ.

*Ἀργεῖος Δάνδης σταδιοδρόμος ἐνθάδε κεῖται,*
*νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας,*
*Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,*
*δύω δ' ἐν Ἰσθμοῖ, πεντεκαίδεκα Νεμέᾳ·*
*τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.*

15. ΑΔΕΣΠΟΤΟΝ.

*Εἰμὶ Δίκων υἱὸς Καλλιμβρότου, αὐτὰρ ἐνίκων*
*τετράκις ἐν Νεμέᾳ, δὶς Ὀλύμπια, πεντάκι Πυθοῖ,*
*τρὶς δ' Ἰσθμῷ· στεφανῶ δ' ἄστυ Συρακοσίων.*

16. ΑΔΕΣΠΟΤΟΝ.

*Σπάρτας μὲν βασιλῆες ἐμοὶ πατέρες καὶ ἀδελφοί·*
*ἅρμασι δ' ὠκυπόδων ἵππων νικῶσα Κυνίσκα*
*εἰκόνα τάνδ' ἔστησα. μόναν δ' ἐμὲ φαμὶ γυναικῶν*
*Ἑλλάδος ἐκ πάσας τόνδε λαβεῖν στέφανον.*

---

Nr. 13. V. 1. *πυρῆς.* P. Nr. 14. V. 1. *δάνδις σταδιαδρόμος.* P. V. 3. *Ὀλύμπια.* P. V. 4. *πεντακαίδεκ' ἐν νεμαία.* P. Nr. 15. V. 2. *νεμαία.* P. V. 3. *συρακουσίων.* P. Nr. 16. V. 3. *τήνδ' ἔστησε.* P.

Digitized by Google

ἀλλ' εἰ μὴ πλευρῇ παρεκέκλιτο πατρὸς ἀκαίρως,
οὐκ ἂν δή με μάτην εἶδε μεθυσκόμενον.

254. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ ποίου ναοῦ, πόθεν ὁ στόλος οὗτος Ἐρώτων,
πάντα καταστίλβων; ἄνδρες, ἀμαυρὰ βλέπω.
[₽] τίς τούτων δοῦλος, τίς ἐλεύθερος; οὐ δύνατ' εἶναι
ἄνθρωπος τούτων κύριος, οὐ δύναται.
εἰ δ' ἐστίν, μείζων πολλῷ Διός, ὃς Γανυμήδην
ἔσχε μόνως, θεὸς ὢν πηλίκος· ὃς δὲ τόσους.

255. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδ' αὐτή σ' ἡ λέξις, ἀκοινώτητε, διδάσκει,
ἐξ ἐτύμου φωνῆς ῥήματος ἑλκομένη;
πᾶς φιλόπαις λέγεται, Διονύσιε, κοὐ φιλοβούπαις.
πρὸς τοῦτ' ἀντειπεῖν μή τι πάλιν δύνασαι;
Πύθι' ἀγωνοθετῶ, σὺ δ' Ὀλύμπια· χοὺς ἀποβάλλων
ἐκκρίνω, τούτους εἰς τὸν ἀγῶνα δέχῃ.

256. ΜΕΛΕΑΓΡΟΥ.

Πάγκαρπόν σοι, Κύπρι, καθήρμοσε, χειρὶ τρυγήσας
παίδων ἄνθος, Ἔρως ψυχαπάτην στέφανον.

---

Nr. 254. V. 2. καταστίλβειν. P. V. 3. οὐ δύναμ' εἰπεῖν. P. V. 6. μόνον et πόσους. Br. Nr. 255. V. 2. ῥήμασιν. P. Nr. 256. V. 1. χερί. P.

Digitized by Google

ἐν μὲν γὰρ κρίνον ἡδὺ κατέπλεξεν Διόδωρον,
    ἐν δ' Ἀσκληπιάδην, τὸ γλυκὺ λευκόϊον.
ναὶ μὴν Ἡράκλειτον ἐπέπλεκεν, ὡς ἀπ' ἀκάνθης
    εἰς ῥόδον· οἰνάνθη δ' ὥς τις ἔθαλλε Δίων·
χρυσάνθη δὲ κόμαισι κρόκον, Θήρωνα, συνῆψεν,
    ἐν δ' ἔβαλ' ἑρπύλλου κλωνίον, Οὐδιάδην·
ἁβροκόμην δὲ Μυΐσκον, ἀειθαλὲς ἔρνος ἐλαίης,
    ἱμερτοὺς ἀρετῆς κλῶνας ἀπεδρέπετο.
ὀλβίστη νήσων ἱερὰ Τύρος, ἣ τὸ μυρόπνουν
    ἄλσος ἔχει παίδων Κύπριδος ἀνθοφόρον.

### 257. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ πύματον καμπτῆρα καταγγέλλουσα κορωνίς,
    ὀρκοῦρος γραπταῖς πιστοτάτα σελίσιν,
φαμὶ τὸν ἐκ πάντων ἠθροισμένον εἰς ἕνα μόχθον
    ὑμνοθετᾶν βύβλῳ τᾷδ' ἐνελιξάμενον
ἐκτελέσαι Μελέαγρον, ἀείμνηστον δὲ Διοκλεῖ
    ἄνθεσι συμπλέξαι μουσοπόλον στέφανον.
οὖλα δ' ἐγὼ καμφθεῖσα δρακοντείοις ἴσα νώτοις,
    σύνθρονος ἵδρυμαι τέρμασιν εὐμαθίας.

---

V. 3. κατέπλεξε. P. V. 5. ὅς ῥ' ἀπ' ἀκάνθης ἦν ῥ. Br. Fort. ὡς ἀπ' ἀ., ὡς ῥόδον. V. 8. οὐλιάδην. P. Nr. 257. V. 4. ὑμνοθέταν. P. V. 7. δρακοντειοισινανωτοις. P.

258. ΣΤΡΑΤΩΝΟΣ.

Ἠ τάχα τις μετόπισθε κλύων ἐμὰ παίγνια ταῦτα,
    πάντας ἐμοὺς δόξει τοὺς ἐν ἔρωτι πόνους.
ἄλλα δ' ἐγὼν ἄλλοισιν ἀεὶ φιλόπαισι χαράσσω
    γράμματ', ἐπεί τις ἐμοὶ τοῦτ' ἐνέδωκε θεός.

---

Nr. 258. V. 4. τίς μοι et ἀνέδωκε. P.

# XIII.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ.

Digitized by Google

Digitized by Google

# XIII.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ.

[P] 1. ΦΙΛΙΠΠΟΥ.

Χαῖρε θεὰ Παφίη· σὴν γὰρ ἀεὶ δύναμιν,
κάλλος τ' ἀθάνατον, καὶ σέβας ἱμερόεν
πάντες τιμῶσι θνατοὶ ἐφαμέριοι
ἐν πᾶσιν μύθοις ἔργοισίν τε καλοῖς.
πάντῃ γὰρ πᾶσιν σὴν δηλοῖς τιμήν.

2. ΦΑΙΔΙΜΟΥ.

Καλλίστρατός σοι, Ζηνὸς ὦ διάκτορε,
ἔθηκε μορφῆς ξυνὸν ἥλικος τύπον·

---

Nr. 1. V. 4. ἐργασίαις τε καλαῖς. Br. V. 5. σὴν φανεροῖς δύναμιν. Br.

[Γ] 238. ΤΟΥ ΑΥΤΟΥ.

Ἀλλήλοις παρέχουσιν ἀμοιβαδίην ἀπόλαυσιν
οἱ κύνεοι πῶλοι μειρακιευόμενοι·
ἀμφαλλὰξ δὲ οἱ αὐτοὶ ἀπόστροφα νωτοβατοῦνται,
τὸ δρᾷν καὶ τὸ παθεῖν ἀντιπεραινόμενοι.
οὐ πλεονεκτεῖται δ᾽ οὐδ᾽ ἅτερος· ἄλλοτε μὲν γὰρ
ἵσταται ὁ προδιδοὺς ἄλλοτ᾽ ὄπισθε πάλιν.
τοῦτ᾽ ἐστὶν πάντως τὸ προοίμιον· εἰς γὰρ ἀμοιβήν,
ὡς λέγεται, κνήθειν οἶδεν ὄνος τὸν ὄνον.

239. ΤΟΥ ΑΥΤΟΥ.

Πέντ᾽ αἰτεῖς, δέκα δώσω· ἐείκοσι δ᾽ ἀντία ἕξεις —
ἀρκεῖ σοι; — χρυσοῦς· ἤρκεσε καὶ Δανάῃ.

240. ΤΟΥ ΑΥΤΟΥ.

Ἤδη μοι πολιαὶ μὲν ἐπὶ κροτάφοισιν ἔθειραι,
καὶ πέος ἐν μηροῖς ἀργὸν ἀποκρέμαται·
ὄρχεις δ᾽ ἄπρηκτοι, χαλεπὸν δέ με γῆρας ἱκάνει.
οἴμοι, πυγίζειν οἶδα, καὶ οὐ δύναμαι.

241. ΤΟΥ ΑΥΤΟΥ.

Ἄγκιστρον πεπόηκας, ἔχεις ἰχθὺν ἐμέ, τέκνον·
ἕλκε μ᾽ ὅπου βούλει· μὴ τρέχε, μή σε φύγω.

---

Nr. 238. V. 3. Fort. δ᾽ ἄρ᾽ οἱ αὐτοί. V. 7. ἐστί. Nr. 239. V. 1. καὶ εἴκοσι. P. Fort. αὐτίκ᾽ ἀφέξεις. Nr. 240. V. 1. πολιαὶ αἱ. P. Nr. 241. V. 1. Fort. προίηκας, ἔχεις δ᾽ ἰχθ.

Digitized by Google

242. ΤΟΥ ΑΥΤΟΥ.

Πρώην τὴν σαύραν ῥοδοδάκτυλον, Ἄλκιμ', ἔδειξας·
νῦν αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχεις.

243. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ με τὸ πυγίζειν ἀπολώλεκε, καὶ διὰ τοῦτο
ἐκτρέφομαι ποδαγρῶν, Ζεῦ, κρεάγραν με πόει.

244. ΤΟΥ ΑΥΤΟΥ.

Ἢν ἐςίδω τινὰ λευκόν, ἀπόλλυμαι· ἢν δὲ μελίχρουν,
καίομαι· ἢν ξανθὸν δ', εὐθὺς ὅλος λέλυμαι.

245. ΤΟΥ ΑΥΤΟΥ.

Πᾶν ἄλογον ζῶον βινεῖ μόνον· οἱ λογικοὶ δὲ
τῶν ἄλλων ζώων τοῦτ' ἔχομεν τὸ πλέον,
πυγίζειν εὑρόντες. ὅσοι δὲ γυναιξὶ κρατοῦνται,
τῶν ἀλόγων ζώων οὐδὲν ἔχουσι πλέον.

246. ΤΟΥ ΑΥΤΟΥ.

Ζεῦγος ἀδελφειῶν με φιλεῖ, κοὐκ οἶδα, τίν' αὐτῶν
δεσπόσυνον κρίνω· τοὺς δύο γὰρ φιλέω.
χὡ μὲν ἀποστείχει, ὁ δ' ἐπέρχεται. ἔστι δὲ τοῦ μὲν
κάλλιστον τὸ παρόν, τοῦ δέ, τὸ λειπόμενον.

---

Nr. 242. V. 1. ἄνιμ'. P. Nr. 243. V. 1. ἀπόλωλε. P. Nr. 244. V. 2. ξανθὸν εὐθύς. P. Nr. 246. V. 1. οὐκ. P. V. 3. ἀποστίχει. P.

Digitized by Google

[P] 238. ΤΟΥ ΑΥΤΟΥ.

Ἀλλήλοις παρέχουσιν ἀμοιβαδίην ἀπόλαυσιν
  οἱ κύνεοι πῶλοι μειρακιευόμενοι·
ἀμφαλλὰξ δὲ οἱ αὐτοὶ ἀπόστροφα νωτοβατοῦνται,
  τὸ δρᾶν καὶ τὸ παθεῖν ἀντιπεραινόμενοι.
οὐ πλεονεκτεῖται δ' οὐδ' ἅτερος· ἄλλοτε μὲν γὰρ
  ἵσταται ὁ προδιδοὺς ἄλλοτ' ὄπισθε πάλιν.
τοῦτ' ἐστὶν πάντως τὸ προοίμιον· εἰς γὰρ ἀμοιβήν,
  ὡς λέγεται, κνήθειν οἶδεν ὄνος τὸν ὄνον.

239. ΤΟΥ ΑΥΤΟΥ.

Πέντ' αἰτεῖς, δέκα δώσω· ἐείκοσι δ' ἀντία ἕξεις —
  ἀρκεῖ σοι; — χρυσοῦς· ἤρκεσε καὶ Δανάῃ.

240. ΤΟΥ ΑΥΤΟΥ.

Ἤδη μοι πολιαὶ μὲν ἐπὶ κροτάφοισιν ἔθειραι,
  καὶ πέος ἐν μηροῖς ἀργὸν ἀποκρέμαται·
ὄρχεις δ' ἄπρηκτοι, χαλεπὸν δέ με γῆρας ἱκάνει.
  οἴμοι, πυγίζειν οἶδα, καὶ οὐ δύναμαι.

241. ΤΟΥ ΑΥΤΟΥ.

Ἄγκιστρον πεπόηκας, ἔχεις ἰχθὺν ἐμέ, τέκνον·
  ἕλκε μ' ὅπου βούλει· μὴ τρέχε, μή σε φύγω.

---

Nr. 238. V. 3. Fort. δ' ἄρ' οἱ αὐτοί. V. 7. ἐστί. Nr. 239. V. 1. καὶ εἴκοσι. P. Fort. αὐτίκ' ἀφέξεις. Nr. 240. V. 1. πολιαὶ αἱ. P. Nr. 241. V. 1. Fort. προΐηκας, ἔχεις δ' ἰχθ.

Digitized by Google

242. ΤΟΥ ΑΥΤΟΥ.

Πρώην τὴν σαύραν ῥοδοδάκτυλον, Ἄλκιμ', ἔδειξας·
νῦν αὐτὴν ἤδη καὶ ῥοδόπηχυν ἔχεις.

243. ΤΟΥ ΑΥΤΟΥ.

Εἴ με τὸ πυγίζειν ἀπολώλεκε, καὶ διὰ τοῦτο
ἐκτρίφομαι ποδαγρῶν, Ζεῦ, κρεάγραν με πόει.

244. ΤΟΥ ΑΥΤΟΥ.

Ἢν ἐςίδω τινὰ λευκόν, ἀπόλλυμαι· ἢν δὲ μελίχρουν,
καίομαι· ἢν ξανθὸν δ', εὐθὺς ὅλος λέλυμαι.

245. ΤΟΥ ΑΥΤΟΥ.

Πᾶν ἄλογον ζῶον βινεῖ μόνον· οἱ λογικοὶ δὲ
τῶν ἄλλων ζώων τοῦτ' ἔχομεν τὸ πλέον,
πυγίζειν εὑρόντες. ὅσοι δὲ γυναιξὶ κρατοῦνται,
τῶν ἀλόγων ζώων οὐδὲν ἔχουσι πλέον.

246. ΤΟΥ ΑΥΤΟΥ.

Ζεῦγος ἀδελφειῶν με φιλεῖ, κοὐκ οἶδα, τίν' αὐτῶν
δεσπόσυνον κρίνω· τοὺς δύο γὰρ φιλέω.
χὼ μὲν ἀποστείχει, ὁ δ' ἐπέρχεται. ἔστι δὲ τοῦ μὲν
κάλλιστον τὸ παρόν, τοῦ δέ, τὸ λειπόμενον.

---

Nr. 242. V. 1. ἄνιμ'. P. Nr. 243. V. 1. ἀπόλωλε. P. Nr. 244. V. 2. ξανθὸν εὐθὺς. P. Nr. 246. V. 1. οὐκ. P. V. 3. ἀποστίχει. P.

Digitized by Google

247. ΤΟΥ ΑΥΤΟΥ.

Οἷον ἐπὶ Τροίην ποτ᾽ ἀπὸ Κρήτης, Θεόδωρε,
Ἰδομενεὺς θεράποντ᾽ ἤγαγε Μηριόνην,
τοῖον ἔχω σε φίλον περιδέξιον. ἦ γὰρ ἐκεῖνος
ἄλλα μὲν ἦν θεράπων, ἄλλα δ᾽ ἑταιρόσυνος.
[P] καὶ σὺ τὰ μὲν βιότοιο πανήμερος ἔργα τέλει μοι·
νῦν δ᾽ ἄγε * πεινῶμεν καὶ διὰ μηριόνην.

248. ΤΟΥ ΑΥΤΟΥ.

Τίς δύναται γνῶναι τὸν ἐρώμενον, εἰ παρακμάζει,
πάντα συνὼν αὐτῷ, μηδ᾽ ἀπολειπόμενος;
τίς δύνατ᾽ οὐκ ἀρέσαι τὴν σήμερον, ἐχθὲς ἀρέσκων;
εἰ δ᾽ ἀρέσει, τί παθὼν αὔριον οὐκ ἀρέσει;

249. ΤΟΥ ΑΥΤΟΥ.

Βουποίητε μέλισσα, πόθεν μέλι τοὐμὸν ἰδοῦσα
παιδὸς ἐφ᾽ ὑαλέην ὄψιν ὑπερπέτασαι;
οὐ παύσῃ βομβεῦσα, καὶ ἀνθολόγοισι θέλουσα
ποσσὶν ἐφάψασθαι χρωτὸς ἀκηροτάτου;
ἔῤῥ᾽ ἐπὶ σοὺς μελίπαιδας ὅποι ποτέ, δράπετι, σίμβλους,
μή σε δάκω· κἠγὼ κέντρον ἔρωτος ἔχω.

---

Nr. 247. V. 1. Τροίη. [P. V. 6. Fort. νῦν δ᾽ ἄγ᾽ ἑταιρῶμεν. Nr. 249. V. 5. σίμβλοις. P.]

Digitized by Google

250. ΤΟΥ ΑΥΤΟΥ.

Νυκτερινὴν ἐπίκωμος ἰὼν μεταδόρπιον ὥρην,
  ἄρνα λύκος θυρέτροις εὗρον ἐφεσταότα,
υἱὸν Ἀριστοδίκου τοῦ γείτονος· ὃν περιπλεχθεὶς
  ἐξεφίλουν, ὅρκοις πολλὰ χαριζόμενος.
νῦν δ' αὐτῷ τί φέρων δωρήσομαι; οὔτ' ἀπάτης γὰρ
  ἄξιος, Ἑσπερίης οὔτ' ἐπιορκοσύνης.

251. ΤΟΥ ΑΥΤΟΥ.

Πρόσθε μὲν ἀντιπρόσωπα φιλήματα, καὶ τὰ πρὸ πείρας
  εἴχομεν· ἧς γὰρ ἀκμήν, Δίφιλε, παιδάριον.
νῦν δέ σε τῶν ὄπιθεν γουνάζομαι, οὐ παρεόντων
  ὕστερον. ἔστω γὰρ πάντα καθ' ἡλικίην.

252. ΤΟΥ ΑΥΤΟΥ.

Ἐμπρήσω σε, θύρη, τᾷ λαμπάδι, καὶ τὸν ἔνοικον
  συμφλέξας μεθύων, εὐθὺς ἄπειμι φυγάς,
καὶ πλώσας Ἀδριανὸν ἐπ' οἴνοπα πόντον, ἀλήτης
  πωλήσω γε θύραις νυκτὸς ἀνοιγομέναις.

253. ΤΟΥ ΑΥΤΟΥ.

Δεξιτερὴν ὀλίγον δὸς ἐπὶ χρόνον, οὐχ ἵνα παύσῃς
  (καί μ' ὁ καλὸς χλεύην ἔσχε) χοροιτυπίης.

---

Nr. 251. V. 2. εις γάρ. P. V. 3. ὄπισθεν. P. Nr. 252. V. 4. Fort. φωλήσω cum Salmasio.

ἀλλ' εἰ μὴ πλευρῇ παρεκέκλιτο πατρὸς ἀκαίρως,
οὐκ ἂν δή με μάτην εἶδε μεθυσκόμενον.

254. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ ποίου ναοῦ, πόθεν ὁ στόλος οὗτος Ἐρώτων,
πάντα καταστίλβων; ἄνδρες, ἀμαυρὰ βλέπω.
[❡] τίς τούτων δοῦλος, τίς ἐλεύθερος; οὐ δύνατ' εἶναι
ἄνθρωπος τούτων κύριος, οὐ δύναται.
εἰ δ' ἐστίν, μείζων πολλῷ Διός, ὃς Γανυμήδην
ἔσχε μόνως, θεὸς ὢν πηλίκος· ὃς δὲ τόσους.

255. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδ' αὐτή σ' ἡ λέξις, ἀκοινώτητε, διδάσκει,
ἐξ ἐτύμου φωνῆς ῥήματος ἑλκομένη;
πᾶς φιλόπαις λέγεται, Διονύσιε, κοὐ φιλοβούπαις.
πρὸς τοῦτ' ἀντέιπεῖν μή τι πάλιν δύνασαι;
Πύθι' ἀγωνοθετῶ, σὺ δ' Ὀλύμπια· χοῦς ἀποβάλλων
ἐκκρίνω, τούτους εἰς τὸν ἀγῶνα δέχῃ.

256. ΜΕΛΕΑΓΡΟΥ.

Πάγκαρπόν σοι, Κύπρι, καθήρμοσε, χειρὶ τρυγήσας
παίδων ἄνθος, Ἔρως ψυχαπάτην στέφανον.

---

Nr. 254. V. 2. καταστίλβειν. P. V. 3. οὐ δύναμ' εἰπεῖν. P. V. 6. μόνον et πόσους. Br. Nr. 255. V. 2. ῥήμασιν. P. Nr. 256. V. 1. χερί. P.

Digitized by Google

ἐν μὲν γὰρ κρίνον ἡδὺ κατέπλεξεν Διόδωρον,
    ἐν δ' Ἀσκληπιάδην, τὸ γλυκὺ λευκόϊον.
ναὶ μὴν Ἡράκλειτον ἐπέπλεκεν, ὡς ἀπ' ἀκάνθης
    εἰς ῥόδον· οἰνάνθη δ' ὥς τις ἔθαλλε Δίων·
χρυσάνθη δὲ κόμαισι κρόκον, Θήρωνα, συνῆψεν,
    ἐν δ' ἔβαλ' ἑρπύλλου κλωνίον, Οὐδιάδην·
ἁβροκόμην δὲ Μυΐσκον, ἀειθαλὲς ἔρνος ἐλαίης,
    ἱμερτοὺς ἀρετῆς κλῶνας ἀπεδρέπετο.
ὀλβίστη νήσων ἱερὰ Τύρος, ἣ τὸ μυρόπνουν
    ἄλσος ἔχει παίδων Κύπριδος ἀνθοφόρον.

### 257. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ πύματον καμπτῆρα καταγγέλλουσα κορωνίς,
    ἑρκοῦρος γραπταῖς πιστοτάτα σελίσιν,
φαμὶ τὸν ἐκ πάντων ἠθροισμένον εἰς ἕνα μόχθον
    ὑμνοθετᾶν βύβλῳ τᾷδ' ἐνελιξάμενον
ἐκτελέσαι Μελέαγρον, ἀείμνηστον δὲ Διοκλεῖ
    ἄνθεσι συμπλέξαι μουσοπόλον στέφανον.
οὖλα δ' ἐγὼ καμφθεῖσα δρακοντείοις ἴσα νώτοις,
    σύνθρονος ἵδρυμαι τέρμασιν εὐμαθίας.

---

V. 3. κατέπλεξε. P. V. 5. ὅς ῥ' ἀπ' ἀκάνθης ἦν ῥ. Br. Fort. ὡς ἀπ' ἀ., ὡς ῥόδον. V. 8. οὐλιάδην. P. Nr. 257. V. 4. ὑμνοθέταν. P. V. 7. δρακοντείοισιναντωτοις. P.

258. ΣΤΡΑΤΩΝΟΣ.

Ἠ τάχα τις μετόπισθε κλύων ἐμὰ παίγνια ταῦτα,
πάντας ἐμοὺς δόξει τοὺς ἐν ἔρωτι πόνους.
ἄλλα δ' ἐγὼν ἄλλοισιν ἀεὶ φιλόπαισι χαράσσω
γράμματ', ἐπεί τις ἐμοὶ τοῦτ' ἐνέδωκε θεός.

---

Nr. 258. V. 4. τίς μοι et ἀνέδωκε. P.

Digitized by Google

# XIII.

## ΕΠΙΓΡΑΜΜΑΤΑ

## ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ.

Digitized by Google

Digitized by Google

# XIII.

## ΕΠΙΓΡΑΜΜΑΤΑ ΔΙΑΦΟΡΩΝ ΜΕΤΡΩΝ.

[I] 1. ΦΙΛΙΠΠΟΥ.

Χαῖρε θεὰ Παφίη· σὴν γὰρ ἀεὶ δύναμιν,
κάλλος τ' ἀθάνατον, καὶ σέβας ἱμερόεν
πάντες τιμῶσι θνατοὶ ἐφαμέριοι
ἐν πᾶσιν μύθοις ἔργοισίν τε καλοῖς.
πάντη γὰρ πᾶσιν σὴν δηλοῖς τιμήν.

2. ΦΑΙΔΙΜΟΥ.

Καλλίστρατός σοι, Ζηνὸς ὦ διάκτορε,
ἔθηκε μορφῆς ξυνὸν ἥλικος τύπον·

Nr. 1. V. 4. ἐργασίαις τε καλαῖς. Br. V. 5. σὴν φανεροῖς δύναμιν. Br.

Digitized by Google

*Κηφισιεὺς ὁ κοῦρος· ἰῶ χαρεὶς ἄναξ,*
*Ἀπολλοδώρου παῖδα καὶ πάτραν σάω.*

### 3. ΘΕΟΚΡΙΤΟΥ.

*Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.*
*εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ·*
*εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,*
*θαρσέων καθίζευ, κἢν θέλῃς, ἀπόβριξον.*

### 4. ΑΝΑΚΡΕΟΝΤΟΣ.

*Ἀλκίμων σ', ὦ 'ριστοκλείδη, πρῶτον οἰκτείρω φίλων.*
*ὤλεσας δ' ἥβην, ἀμύνων πατρίδος δουληΐην.*

### 5. ΦΑΛΑΙΚΟΥ.

*Νικῶ δίαυλον. ἀλλ' ἐγὼ παλαίων.*
*ἐγὼ δὲ πεντάεθλον. ἀλλ' ἐγὼ πύξ.*
*καὶ τίς τύ; Τιμόδημος. ἀλλ' ἐγὼ Κρής.*
*ἐγὼ δὲ Κρηθεύς. ἀλλ' ἐγὼ Διοκλῆς.*
*καὶ τίς πατήρ τοι; κλεινὸς ὥςπερ ὔμμιν.*
*ἔμπη δὲ νίκης; Ἰσθμόν. ἦ τὺ δ' ἔμπη;*
*Νέμειον ἂν λειμῶνα, καὶ παρ' Ἥραν.*

---

Nr. 2. V. 5. κηφεισιεύς. P. ὦ χάρις. P. Nr. 3. V. 3. χρηστῶ. P. Nr. 4. V. 2. δουλείην. P. Nr. 5. V. 5. κλεινος η όςπερ ἀμμιν. V. 6. ῆ. P. V. 7. Ἥρα. Br.

6. ΑΛΛΟ.

Τοῦτ' ἐγὼ τὸ περισσὸν εἰκόνισμα
τοῦ κωμῳδογέλωτος, εἰς θρίαμβον
κισσῷ καὶ στεφάνοισιν ἀμπυκασθέν,
[▼] ἔστασ', ὄφρα Λύκωνι σᾶμ' ἐπείη.
ὅσσα γὰρ * καθύπερθε λαμπρὸς ἀνήρ,
μνᾶμα τοῦ χαρίεντος ἔν τε λέσχᾳ,
ἔν τ' οἴνῳ τόδε κἄτι τοῖς ἔπειτα
ἄγκειται, παράδειγμα τᾶς ὀπωπᾶς.

7. ΚΑΛΛΙΜΑΧΟΥ.

Ὁ Λύκτιος Μενοίτας τὰ τόξα ταῦτ' ἐπειπὼν
ἔθηκε· Τῇ, κέρας τοὶ δίδωμι καὶ φαρέτρην,
Σάραπι· τοὺς δ' οἰστοὺς ἔχουσιν Ἑσπερῖται.

8. ΘΕΟΔΩΡΙΔΑ.

Ἐκ δολιχοῦ τὸ γέρας σφυρήλατον, ὡς τάχει κρατήσας,
Παῖς Ἀριστομάχειος ἀνείλετο χάλκεον λέβητα.

9. ΚΑΛΛΙΜΑΧΟΥ.

(ἔστι δὲ οὐ τέλειον τὸ Ἐπίγραμμα.)

Ἔρχεται πολὺς μὲν Αἰγαῖον διατμήξας ἀπ' οἰνηρῆς Χίου
ἀμφορεὺς, πολὺς δὲ Λεσβίης ἄωτον νέκταρ οἰνάνθης ἄγων.

---

Nr. 6. V. 5. κατέπραξε. Br. c. Salm. Fort. γάρ ποθ' ἔπαιξε. V. 7. καὶ τί. P. Nr. 7. V. 1. μενίτας. P. Nr. 8. V. 1. τόρασφυρήλατον. P. ὅς τάχει. Ib. V. 2. ἀνεῖλε τὸν χάλκειον. P. Nr. 9. V. 2. λεσβίην.

Digitized by Google

## 10. ΤΟΥ ΑΥΤΟΥ.

Ἁ ναῦς, ἃ τὸ μόνον φέγγος ἐμὶν τὸ γλυκὺ τᾶς ζοᾶς
ἅρπαξας, ποτί τε Ζανὸς ἱκνεῦμαι λιμενοσκόπω.

## 11. ΣΙΜΩΝΙΔΟΥ.

α· Τίς εἰκόνα τάνδ᾽ ἀνέθηκεν; β· Δωριεὺς ὁ Θούριος.
α· οὐ Ῥόδιος γένος ἦν; β· ναί, πρὶν φυγεῖν γε πατρίδα·
δεινᾷ τε χειρὶ πολλὰ ῥέξας ἔργα καὶ βίαια.

## 12. ΗΓΗΣΙΠΠΟΥ.

Ἐῤῥέτω ἦμαρ ἐκεῖνο, καὶ οὐλομένη σκοτόμαινα,
βρόμος τε δεινὸς ἠνεμωμένης ἁλός,
οἵ ποτε νῆ᾽ ἐκύλισαν, ἐφ᾽ ἧς ὁ τὰ πολλὰ μελίφρων
Ἀβδηρίων ἄπρηκτα θεοῖσιν εὔχετο·
ῥαίσθη γὰρ διὰ πάντα, προσηνέχθη δὲ κλύδωνι
τρηχεῖαν εἰς Σέριφον, αἰδοίων ὅθι
προξείνων ὑπὸ χερσὶ λαχὼν πυρός, ἵκετο πάτρην
Ἄβδηρα, κρωσσῷ χαλκέῳ περισταλείς.

---

Nr. 10. V. 1. ατομον. P. εμειν et ζωᾶς. Ib. V. 2. ζηνός. P. Nr. 11. V. 2. φυγεῖν τε. P. Nr. 12. V. 3. πολλ᾽ ἔρξας. P. V. 5. ῥάσθη et διάπαντα. P. V. 6. εἰς ἔριφον αἰδοιον. P. V. 7. πρὸς ξείνων. P.

[P] 13. ΑΔΕΣΠΟΤΟΝ.

Τόνδε πυρῇ ἀνέθηκε Πολυμνήστου φίλος υἱός,
εὐξάμενος δεκάτην Παλλάδι Τριτογενεῖ.
Κυδωνιάτας Κρισίας εἰργάσατο.

14. ΣΙΜΩΝΙΔΟΥ.

Ἀργεῖος Δάνδης σταδιοδρόμος ἔνθάδε κεῖται,
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας,
Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμοῖ, πεντεκαίδεκα Νεμέᾳ·
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

15. ΑΔΕΣΠΟΤΟΝ.

Εἰμὶ Δίκων υἱὸς Καλλιμβρότου, αὐτὰρ ἐνίκων
τετράκις ἐν Νεμέᾳ, δὶς Ὀλύμπια, πεντάκι Πυθοῖ,
τρὶς δ' Ἰσθμῷ· στεφανῶ δ' ἄστυ Συρακοσίων.

16. ΑΔΕΣΠΟΤΟΝ.

Σπάρτας μὲν βασιλῆες ἐμοὶ πατέρες καὶ ἀδελφοί·
ἅρμασι δ' ὠκυπόδων ἵππων νικῶσα Κυνίσκα
εἰκόνα τάνδ' ἔστησα. μόναν δ' ἐμὲ φαμὶ γυναικῶν
Ἑλλάδος ἐκ πάσας τόνδε λαβεῖν στέφανον.

---

Nr. 13. V. 1. πυρῆς. P. Nr. 14. V. 1. δάνδις σταδιαδρόμος. P. V. 3. Ὀλύμπια. P. V. 4. πεντακαίδεκ' ἐν νεμαία. P. Nr. 15. V. 2. νεμαία. P. V. 3. συρακουσίων. P. Nr. 16. V. 3. τήνδ' ἔστησε. P.

### 17. ΑΛΛΟ.

Ἰφίων ἔγραψεν ἑᾷ χερί, τόν ποκα ὕδωρ
θρέψε Πειρήνης ἄπο.

### 18. ΠΑΡΜΕΝΟΝΤΟΣ.

Χάλκεα ἔργα, λέγοισθε θοῆς ἐπινίκια πώλου,
ἥτις κεντρομανῆ λαβοῦσα παῖδα,
ψιλὴ λευρὸν ἔθυσε περὶ δρόμον· ἐκ δ' ἄρ' ἐκείνου
Παρμένων χρυσέης κύρησε νίκης.
Φώκριτε, σῷ δ' ἄρα παιδὶ καὶ Ὑλαΐδαι βασιλῆες
πατρῴων ἔδοσαν λαχεῖν ἀέθλων.

### 19. ΣΙΜΩΝΙΔΟΥ.

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅςπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολάδας,
καὶ Παναθηναίοις στεφάνους λάβε, πέντ' ἐπ' ἀέθλοις
ἑξῆς ἀμφιφορεῖς ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ τρὶς ἐπισχερὼ ἀλλ' ἐγένοντο
ἀκτῇ Ποντομέδοντος ἄθλα·
καὶ Νεμέᾳ τρὶς ἐνίκησεν, καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,

---

Nr. 18. V. 2. *κεντροῤῥαγῆ βαλοῦσα.* P. V. 3. *ψιλλη.* P. V. 4. *χρυσῆς.* P. V. 5. Fort. *Ἀμυκλαΐται β.* Nr. 19. V. 1. *ἐν νικάι.* P. V. 4. *ἑξήκοντα ἀμφ.* P. V. 4. *οὐδ' ἐγέν.* P. V. 6. *ἀκτίνων τομίδων ποταθμοί.* P.

Digitized by Google

[P]

### 13. ΑΔΕΣΠΟΤΟΝ.

Τόνδε πυρῇ ἀνέθηκε Πολυμνήστου φίλος υἱός,
εὐξάμενος δεκάτην Παλλάδι Τριτογενεῖ.
Κυδωνιάτας Κρισίας εἰργάσατο.

### 14. ΣΙΜΩΝΙΔΟΥ.

Ἀργεῖος Δάνδης σταδιοδρόμος ἐνθάδε κεῖται,
νίκαις ἱππόβοτον πατρίδ' ἐπευκλεΐσας,
Ὀλυμπίᾳ δίς, ἐν δὲ Πυθῶνι τρία,
δύω δ' ἐν Ἰσθμοῖ, πεντεκαίδεκα Νεμέᾳ·
τὰς δ' ἄλλας νίκας οὐκ εὐμαρές ἐστ' ἀριθμῆσαι.

### 15. ΑΔΕΣΠΟΤΟΝ.

Εἰμὶ Δίκων υἱὸς Καλλιμβρότου, αὐτὰρ ἐνίκων
τετράκις ἐν Νεμέᾳ, δὶς Ὀλύμπια, πεντάκι Πυθοῖ,
τρὶς δ' Ἰσθμῷ· στεφανῶ δ' ἄστυ Συρακοσίων.

### 16. ΑΔΕΣΠΟΤΟΝ.

Σπάρτας μὲν βασιλῆες ἐμοὶ πατέρες καὶ ἀδελφοί·
ἅρμασι δ' ὠκυπόδων ἵππων νικῶσα Κυνίσκα
εἰκόνα τάνδ' ἔστησα. μόναν δ' ἐμὲ φαμὶ γυναικῶν
Ἑλλάδος ἐκ πάσας τόνδε λαβεῖν στέφανον.

---

Nr. 13. V. 1. πυρῆς. P. Nr. 14. V. 1. δάνδις σταδιαδρόμος. P. V. 3. Ὀλύμπια. P. V. 4. πεντακαίδεκ' ἐν νεμαία. P. Nr. 15. V. 2. νεμαία. P. V. 3. συρακουσίων. P. Nr. 16. V. 3. τήνδ' ἔστησε. P.

Digitized by Google

### 17. ΑΛΛΟ.

Ἰφίων ἔγραψεν ἐᾷ χερί, τόν ποκα ὕδωρ
θρέψε Πειρήνης ἄπο.

### 18. ΠΑΡΜΕΝΟΝΤΟΣ.

Χάλκεα ἔργα, λέγοισθε θοῆς ἐπινίκια πώλου,
ἥτις κεντρομανῆ λαβοῦσα παῖδα,
ψιλὴ λευρὸν ἔθυσε περὶ δρόμον· ἐκ δ' ἄρ' ἐκείνου
Παρμένων * χρυσῆς κύρησε νίκης.
Φώκριτε, σῷ δ' ἄρα παιδὶ καὶ Ὑλαΐδαι βασιλῆες
πατρῴων ἔδοσαν λαχεῖν ἀέθλων.

### 19. ΣΙΜΩΝΙΔΟΥ.

Ἄνθηκεν τόδ' ἄγαλμα Κορίνθιος ὅςπερ ἐνίκα
ἐν Δελφοῖς ποτε Νικολάδας,
καὶ Παναθηναίοις στεφάνους λάβε, πέντ' ἐπ' ἀέθλοις
ἑξῆς ἀμφιφορεῖς ἐλαίου·
Ἰσθμῷ δ' ἐν ζαθέᾳ τρὶς ἐπισχερὼ ἀλλ' ἐγένοντο
ἀκτῇ Ποντομέδοντος ἆθλα·
καὶ Νεμέᾳ τρὶς ἐνίκησεν, καὶ τετράκις ἄλλα
Πελλάνᾳ, δύο δ' ἐν Λυκαίῳ,

---

Nr. 18. V. 2. κεντροῤῥαγῆ βαλοῦσα. P. V. 3. ψιλλη. P. V. 4. χρυσέης. Br. Fort. ἐρατῆς. V. 5. Fort. Ἀμυκλαΐται β. Nr. 19. V. 1. ἐν νίκαι. P. V. 4. ἑξήκοντα ἀμφ. P. V. 5. οὐδ' ἐγέν. P. V. 6. ἀκτίνων τομίδων ποταθμοί. P.

Digitized by Google

καὶ Νεμέᾳ, καὶ ἐν Αἰγίνᾳ, κρατερᾷ δ' Ἐπιδαύρῳ,
καὶ Θήβᾳ, Μεγάρων τε δάμῳ·
ἐν δὲ Φλιουντείῳ σταδίῳ τά τε πέντε κρατήσας,
ηὔφρανεν μεγάλαν Κόρινθον.

20. ΣΙΜΩΝΙΔΟΥ.

Πατρίδα κυδαίνων ἱερὴν πόλιν Ὦλπις Ἀθανᾶς,
τέκνον μελαίνης Γῆς, χαρίεντας αὐλοὺς
τούςδε σὺν Ἡφαίστῳ τελέσας, ἀνέθηκ' Ἀφροδίτῃ,
καλοῦ δαμασθεὶς ἱμέρῳ Βρύσωνος.

21. ΘΕΟΔΩΡΙΔΑ.

Μνασάλκεος τὸ σᾶμα τῶ Πλαταΐδα,
τῶ 'λεγειοποιῶ.
ἁ Μῶσα δ' αὐτῶ τᾶς Σιμωνίδα πλάτας
ἧς ἀποσπάραγμα·
κενά τε κλαγγὰν κἀπιλακυθίστρια,
διθυραμβοχῶνα.
τέθνακε, μὴ βάλωμες· εἰ δέ κε ζόεν,
τύμπανόν κ' ἐφύση.

22. ΦΑΙΔΙΜΟΥ.

Τόξον μέν, ᾧ Γίγαντος ὤλεσας σθένος,
ἴσχε βίης, ἑκάεργ' ἀνάσσων.

V. 9. Fort. Τεγέᾳ c. Br. V. 11. φλιοῦντι. P. Nr. 21. V. 2. τω λεγηοποιῶ. P. V. 5. καινα τε καιγὰν καὶ πιλακ. P. V. 8. γε ἐφύση. P. Nr. 22. V. 2. ἑκάεργε. P. Ἄπολλον. Br. Fort. ἀνάκτωρ.

Digitized by Google

[P] * οὔ οἱ φαρέτρη λύεται λυκοκτόνος·
τόνδε δ' ἐπ' ἠϊθέοισιν οἶστρον
στρέφειν Ἔρωτος, τόφρ' ἀλέξωνται πάτρῃ,
θαρσαλέοι φιλότατι κούρων·
πυρὸς γὰρ ἀλκή, καὶ θεῶν ὑπέρτατος
αἰὲν ὅδε προμάχους ἀέξει.
Μελιστίωνος δὸς πατρώϊον σέβας
Σχοινιέων ἐπίηρα δέχθαι.

## 23. ΑΣΚΛΗΠΙΑΔΟΥ.

Ἰὼ παρέρπων, μικρόν, εἴ τι καὶ κονεῖς, ἄκουσον
τὰ Βότρυος περισσὰ δῆτα κήδη,
ὃς πρέσβυς ὀγδώκοντ' ἐτῶν τὸν ἐκ νέων ἔθαψεν,
ἤδη τι τέχνᾳ καὶ σοφὸν λέγοντα.
φεῦ τὸν τεκόντα, φεῦ δὲ καὶ σέ, Βότρυος φίλος παῖ,
ὅσων ἄμοιρος ἡδονῶν ἀπώλευ.

## 24. ΚΑΛΛΙΜΑΧΟΥ.

Τὰ δῶρα τῇ 'φροδίτῃ
Σιμώνη περίφοιτος εἰκόν' αὐτῆς

---

V. 3. Fort. οὐδ' ἡ φαρ. λύεται. V. 4. ἠϊθέοις. P. V. 7. ἔρως γὰρ ἀλκή. Br. Fort. ἀλκῇ. V. 8. οἶδεν ἀεί. Br. ἀέξειν. P. V. 9. δῶ π. P. V. 10. σχοινέων. P. Nr. 23. V. 1. εἴτι κακὸν εις (η) ἄκουσον. P. V. 2. βοτρύου. P. V. 6. ὅσσαν. P. Nr. 24. V. 2. σειμόνη. P. αὔτη. P.

ἔθηκε, τήν τε μίτρην,
ἣ μαστοὺς ἐφίλησε, τόν τε Πᾶνα
καὶ τούςδ᾽ ἀντ᾽ ἑορτῆς, μάκαιρα, θύρσους.

25. ΤΟΥ ΑΥΤΟΥ.

Δήμητρι τῇ Πυλαίῃ, τῇ τοῦτον οὐκ Πελασγῶν
Ἀκρίσιος τὸν νηὸν ἐδείματο, ταῦθ᾽ ὁ Ναυκρατίτης
καὶ τῇ κάτω θυγατρὶ τὰ δῶρα Τιμόδημος
εἵσατο, τῶν κερδέων δεκατεύματα· καὶ γὰρ εὔξαθ᾽
οὕτως.

26. ΣΙΜΩΝΙΔΟΥ.

Μνήσομαι, οὐ γὰρ ἔοικεν ἀνώνυμον ἐνθάδ᾽ Ἀρχε-
ναύτεω
κεῖσθαι θανοῦσαν ἀγλαὰν ἄκοιτιν,
Ξανθίππην Περιάνδρου ἀπέκγονον, ὅς ποθ᾽ ὑψιπύργου
σήμαινε λαοῖς ἕρμ᾽ ἔχων Κορίνθου.

[P] 27. ΦΑΛΑΙΚΟΥ.

Φῶκος ἐπὶ ξείνης μὲν ἀπέφθιτο· κῦμα γὰρ μέλαινα
ναῦς οὐχ ὑπεξήνεικεν, οὐδ᾽ ἐδέξατο·

---

V. 3. ἔθηκεν. P. V. 4. ἡμᾶς τούς. P. Post Πᾶνα (Fort. τήν τε πάλλαν.) versus videtur excidisse. V. 5. καὶ τοὺς αὐτοὺς ὀρῇ τάλαινα θάρσους. P. Nr. 25. V. 1. πυλαίη τοῦτον οὐκ επελασγῶν. P. Nr. 26. V. 4. τέρμ᾽. P. Nr. 27. V. 1. ξείνηι. P. V. 2. νευς. P. ὑπεξένικεν. Ib. ἐστέξατο. Br. Fort. οὐδ᾽ ἠλέξετο.

ἀλλὰ κατ' Αἰγαίοιο πόρον βαθὺν ᾤχετο πόντου,
βίη Νότου πρήσαντος ἐσχάτην ἅλα.
τύμβου δ' ἐν πατέρων κενεοῦ λάχεν, ὃν πέρι Πρόμηθις
μήτηρ, λυγρῇ ὄρνιθι πότμον εἰκέλη,
αἴ, αἴ, κωκύει τὸν ἑὸν γόνον ἤματα πάντα,
λέγουσα τὸν πρόωρον ὡς ἀπέφθιτο.

28. ΒΑΚΧΥΛΙΔΟΥ ἢ ΣΙΜΩΝΙΔΟΥ.

Πολλάκι δὴ φυλῆς Ἀκαμαντίδος ἐν χοροῖσιν Ὧραι
ἀνωλόλυξαν κισσοφόροις ἐπὶ διθυράμβοις
αἱ Διονυσιάδες, μίτραισι δὲ καὶ ῥόδων ἀώτοις
σοφῶν ἀοιδῶν ἐσκίασαν λιπαρὰν ἔθειραν,
οἳ τόνδε τρίποδά σφισι μάρτυρα Βακχίων ἀέθλων
θῆκαντο. κείνους δ' Ἀντιγένης ἐδίδασκεν ἄνδρας·
εὖ δ' ἐτιθηνεῖτο γλυκερὰν ὄπα Δωρίοις Ἀρίστων
Ἀργεῖος ἡδὺ πνεῦμα χέων καθαροῖς ἐν αὐλοῖς,
τῶν ἐχορήγησεν κύκλον μελίγηρυν Ἱππόνικος
Στρούθωνος υἱός, ἅρμασιν ἐν Χαρίτων φορηθείς,
αἵ οἱ ἐπ' ἀνθρώπους ὄνομα κλυτόν, ἀγλαάν τε νίκαν
θῆκαν ἰοστεφάνων θεᾶν ἕκατι Μοισᾶν.

---

V. 3. πολὺ β. P. V. 4. ἐσχατάτην. P. V. 5. προμηθεις. P. V. 6. λυγρῇ γ' ὄρ. Br. ἰκέλη. P. V. 8. πρόορον. P. Nr. 28. V. 1. διφυλῆς. P. V. 2. ἀνωλουξαν. P. V. 5. βακχείων. P. V. 6. ἔθηκαν. P. V. 7. ἐτιθην εἰ τό. P. V. 9. κύκλων. P. V. 10. φορηθείς. P. V. 11. ἀνθρώποις. Br. καὐτόν. P. V. 12. Fort. Μοισᾶν θεάων θῆκαν ἰοστεφάνων ἕκατι.

Digitized by Google

## 29. ΝΙΚΑΙΝΕΤΟΥ.

Οἶνός τοι χαρίεντι πέλει ταχὺς ἵππος ἀοιδῷ·
  ὕδωρ δὲ πίνων οὐδὲν ἂν τέκοι σοφόν.
τοῦτ' ἔλεγεν, Διόνυσε, καὶ ἔπνεεν οὐχ ἑνὸς ἀσκοῦ
  Κρατῖνος, ἀλλὰ παντὸς ὠδώδει πίθου.
[P] τοιγὰρ ὑπὸ στεφάνοις μέγαρ' ἔβρυεν, εἶχε δὲ κισσῷ
  μέτωπον ὥςπερ καὶ σὺ κεκροκωμένον.

## 30. ΣΙΜΩΝΙΔΟΥ.

Μοῦσά μοι Ἀλκμήνης καλλισφύρου υἱὸν ἄειδε·
υἱὸν Ἀλκμήνης ἄειδε Μοῦσά μοι καλλισφύρου.

## 31. ΤΙΜΟΚΡΕΟΝΤΟΣ ΡΟΔΙΟΥ.

Κηΐα με προςῆλθε Φλυαρία οὐκ ἐθέλοντα·
οὐκ ἐθέλοντά με προςῆλθε Κηΐα φλυαρία.

---

Nr. 29. V. 3. ἔπινεν. P. V. 5. μέγας ἔβρ. P. Nr. 30. V. 1. et 2. καλλίσφυρον.

Digitized by Google

Digitized by Google

# XIV.

# *ΠΡΟΒΛΗΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ,*
# *ΑΙΝΙΓΜΑΤΑ,*
# *ΧΡΗΣΜΟΙ.*



Digitized by Google

Digitized by Google

# XIV.

## ΠΡΟΒΛΗΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ, ΑΙΝΙΓΜΑΤΑ, ΧΡΗΣΜΟΙ.

[1] 1. ΣΩΚΡΑΤΟΥΣ.

α. Ὄλβιε Πυθαγόρη, Μουσέων Ἑλικώνιον ἔρνος,
εἰπέ μοι εἰρομένῳ, ὁπόσοι σοφίης κατ᾽ ἀγῶνα
σοῖσι δόμοισιν ἔασιν, ἀεθλεύοντες ἄριστα.

β. Τοιγὰρ ἐγὼν εἴποιμι, Πολύκρατες· ἡμίσεες μὲν
ἀμφὶ καλὰ σπεύδουσι μαθήματα· τέτρατοι αὖτε
ἀθανάτου φύσεως πεπονήαται· ἑβδομάτοις δὲ
σιγὴ πᾶσα μέμηλε, καὶ ἄφθιτοι ἔνδοθι μῦθοι·
τρεῖς δὲ γυναῖκές ἔασι, Θεανὼ δ᾽ ἔξοχος ἄλλων·
τόσσους Πιερίδων ὑποφήτορας αὐτὸς ἀγινῶ.

---

Nr. 1. V. 5. τέτρατοι δ᾽ αὖτε. P.

## 2. ΑΔΕΣΠΟΤΟΝ.

Παλλὰς ἐγὼ χρυσῆ σφυρήλατος. αὐτὰρ ὁ χρυσὸς
    αἰζηῶν πέλεται δῶρον ἀοιδοπόλων.
ἥμισυ μὲν χρυσοῖο Χαρίστιος, ὀγδοάτην δὲ
    Θέσπις, καὶ δεκάτην μοῖραν ἔδωκε Σόλων,
αὐτὰρ ἐεικοστὴν Θεμίσων· τὰ δὲ λοιπὰ τάλαντα
    ἐννέα, καὶ τέχνη δῶρον Ἀριστοδίκου.

## 3. ΑΛΛΟ.

Ἁ Κύπρις τὸν Ἔρωτα κατηφιόωντα προσηύδα·
Τίπτε τοι, ὦ τέκος, ἄλγος ἐπέχραεν; ὃς δ' ἀπάμειπτο·
    Πιερίδες μοι μῆλα διήρπασαν ἄλλυδις ἄλλη,
αἰνύμεναι κόλποιο, τὰ δὴ φέρον ἐξ Ἑλικῶνος.
Κλειὼ μὲν μήλων πέμπτον λάβε· δωδέκατον δὲ
Εὐτέρπη· ἀτὰρ ὀγδοάτην λάχε δῖα Θάλεια·
Μελπομένη δ' εἰκοστὸν ἀπαίνυτο· Τερψιχόρη δὲ
τέτρατον· ἑβδομάτην δ' Ἐρατὼ μετεκίαθε μοίρην·
ἡ δὲ τριηκόντων με Πολύμνια νόσφισε μήλων·
Οὐρανίη δ' ἑκατόν τε καὶ εἴκοσι· Καλλιόπη δὲ
βριθομένη μήλοισι τριηκοσίοισι βέβηκε.
σοὶ δ' ἄρα κουφοτέρῃσιν ἐγὼ σὺν χερσὶν ἱκάνω,
πεντήκοντα φέρων τάδε λείψανα μῆλα θεάων.

---

Nr. 2. V. 3. χαρίσιος. P. Nr. 3. V. 5. λάβεν. P. V. 6. αὐτάρ. P.
12. κουφοτέροισιν. P.

[P] 4. ΑΛΛΟ.

Αὐγείην ἐρέεινε μέγα σθένος Ἀλκείδαο,
πληθὺν βουκολίων διζήμενος· ὃς δ' ἀπάμειπτο·
Ἀμφὶ μὲν Ἀλφειοῖο ῥοάς, φίλος, ἥμισυ τῶνδε·
μοίρη δ' ὀγδοάτη ὄχθον Κρόνου ἀμφινέμονται·
δωδεκάτη δ' ἀπάνευθε Ταραξίπποιο παρ' οὖρον·
ἀμφὶ δ' ἄρ' Ἦλιδα δῖαν ἐεικοστὴ νεμέθονται·
αὐτὰρ ἐν Ἀρκαδίῃ * τριηκοστὴν προλέλοιπα·
λοιπὰς δ' αὖ λεύσσεις ἀγέλας τόδε πεντήκοντα.

5. ΑΛΛΟ.

Εἰμὶ πατρὸς λευκοῖο μέλαν τέκος, ἄπτερος ὄρνις,
ἄχρι καὶ οὐρανίων ἱπτάμενος νεφέων·
κούραις δ' ἀντομένῃσιν ἀπενθέα δάκρυα τίκτω·
εὐθὺ δὲ γεννηθεὶς λύομαι εἰς ἀέρα.

6. ΑΛΛΟ.

α. Ὡρονόμων ὄχ' ἄριστε, πόσον παρελήλυθεν ἠοῦς;
β. ὅσσον ἀποιχομένοιο δύο τρίτα, δὶς τόσα λείπει.

7. ΑΛΛΟ.

Χάλκεός εἰμι λέων· κρουνοὶ δέ μοι ὄμματα δοιά,
καὶ στόμα, καὶ τὸ θέναρ δεξιτεροῖο ποδός.

---

Nr. 4. V. 5. παριρον. P. V. 7. Ἀρκαδίηφι. Br. Nr. 6. V. 1 πόσος. P. V. 2. τόσσα. P. Nr. 7. V. 2. καὶ θέναρ. P.

Digitized by Google

πλήθει δὲ κρητῆρα δύ' ἤμασι δεξιὸν ὄμμα,
καὶ λαιὸν τρισσοῖς, καὶ πισύρεσσι θέναρ·
ἄρκιον ἓξ ὥραις πλῆσαι στόμα· σὺν δ' ἅμα πάντα,
καὶ στόμα, καὶ γλῆναι, καὶ θέναρ, εἰπὲ πόσον.

[P] 8. ΑΛΛΟ.

Ἓξ, ἕν, πέντε, δύο, τρία, τέσσαρα κῦβος ἐλαύνει.

9. ΑΛΛΟ.

Ἀνδρ' ἐμὸν ἔκταν' ἑκυρός, ἑκυρὸν δ' ἔκτανεν ἀνήρ,
καὶ δαὴρ ἑκυρόν, καὶ ἑκυρὸς γενέτην.

10. ΑΛΛΟ.

Λέβητας ἔγγων μὴ σιωπᾷν εἰδότας,
πλὴν ἄρτια τὸν χαλκὸν ἠχεῖν προτρέπει,
ἀντιπτυποῦντος τοῦ πρώτου τῷ δευτέρῳ,
καὶ μεταδιδόντος τῷ τετάρτῳ τοῦ τρίτου.
ἐὰν δὲ τὸ κινοῦν ἠρεμῇ καὶ μὴ πνέῃ,
ἄφωνος ὁ λέβης· τῇ φύσει γὰρ οὐ λάλος.
τῶν σῶν δὲ λεβήτων ἡ φύσις μὲν εὔστομος·
νοῖ δ' ἐντυχοῦσα γίνετ' εὐστομωτέρα,
σιγῶσ' ὅταν δεῖ, καὶ λαλοῦσ' ὅταν δέοι.

11. ΑΛΛΟ.

Τοὺς χιλίους στατῆρας, οὓς ἐκτησάμην,
λαβεῖν κελεύω τοὺς ἐμοὺς παῖδας δύο·

V. 4. πισύρροισι. P. V. 5. ἐν δ' ἅμα. P. V. 6. πόσαις. Br. Fort. πόσῳ, χρόνῳ sc. Nr. 10. V. 8. σοὶ δ' ἐντυχ. P. V. 9. ὅτε χρή, καὶ λαλοῦσ' ὅταν δέῃ. Br. Fort. σιγῶσ' ὅτ' ἀκμή.

πλὴν γνησίου τὸ πέμπτον ηὐξήσθω δέκα
μέτρου τετάρτου τῶν λαχόντων τῷ νόθῳ.

12. ΑΛΛΟ.

Ἓξ μνῶν ἓξ φιάλας Κροῖσος βασιλεὺς ἀνέθηκεν
δραχμῇ τὴν ἑτέρην μείζονα τῆς ἑτέρης.

13. ΑΛΛΟ.

εἰς ἀνδριάντας τρεῖς Ζήθου, καὶ Ἀμφίονος, καὶ
τῆς μητρὸς αὐτῶν.

Ἄμφω μὲν ἡμεῖς εἴκοσι μνᾶς ἕλκομεν,
Ζῆθός τε, χὠ ξύναιμος· ἢν δέ μου λάβῃς
τρίτον, τὸ τέτρατόν τε τοῦδ᾽ Ἀμφίονος,
ἓξ πάντ᾽ ἀνευρών, μητρὸς εὑρήσεις σταθμόν.

14. ΑΛΛΟ.

Εἷς ἄνεμος, δύο νῆες, ἐρέττουσιν δέκα ναῦται·
εἷς δὲ κυβερνήτης ἀμφοτέρας ἐλάει.

15. ΑΛΛΟ.

Ἓξ πόδες ἐν χώραισι τόσαις μετροῦσιν Ἴαμβον.
σπονδεῖος, χόριος, καὶ δάκτυλος ἠδ᾽ ἀνάπαιστος,
πυῤῥίχιος καὶ ἴαμβος· ἔχει δέ τε οἶκον ἕκαστος.
πυῤῥιχίου τέλος ἐστ᾽· ὃς μακρὰν οἶδεν ἐν ἀρχῇ,

---

Nr. 12. V. 2. ἑτέρας (η). P. Nr. 13. V. 3. τέταρτον. P. V. 4. ἓξ ἂν τὰ πάντ᾽ ἀν. P. εἰρήσεις. Br. Nr. 14. V. 2. ἐλάσει. P. Nr. 15. V. 4. ἐστιν, ὃς οἶδεν μακράν. P.

Digitized by Google

πρώτη καὶ τριτάτη, πέμπτη δέ τε τόνδε κατίσχει·
οἱ δ' ἄλλοι κατὰ πᾶσαν ὁμῶς βαίνουσιν ἀταρπόν·
μοῦνον ἴαμβον ἄνακτα φέρει τόπος, ὅν κ' ἐθελήσῃ.

16. ΑΛΛΟ.

Νῆσος ὅλη, μύκημα βοός, φωνή τε δανειστοῦ.

[P] 17. ΑΛΛΟ.

Θήρη μὲν πολέμου μελέτη, θήρη δὲ διδάσκει
κρυπτὸν ἑλεῖν, ἐπιόντα μένειν, φεύγοντα διώκειν.

18. ΑΛΛΟ.

Ἕκτορα τὸν Πριάμου Διομήδης ἔκτανεν ἀνὴρ
Αἴας, πρὸ Τρώων ἔγχεϊ μαρνάμενος.

19. ΑΛΛΟ.

Εἶδον ἐγὼ ποτὲ θῆρα δι' ὕλης τμητοσιδήρου
ὕπτιον ὀρθὰ τρέχοντα, ποσὶν δ' οὐχ ἥπτετο γαίης.

20. ΑΛΛΟ.

Εἰ πυρὸς αἰθομένου μέσσην ἑκατοντάδα θείης,
παρθένου εὑρήσεις υἱέα καὶ φονέα.

21. ΑΛΛΟ.

Ἐς μέσον Ἡφαίστοιο βαλὼν ἑκατοντάδα μούνην,
παρθένου εὑρήσεις υἱέα καὶ φονέα.

---

V. 5. πέμπτει. P. Ib. τοῖσδε. P. Nr. 18. V. 2. μαρνάμενον. Br.

Digitized by Google

22. ΑΛΛΟ.

*Μὴ λέγε, καὶ λέξεις ἐμὸν οὔνομα, δεῖ δέ σε λέξαι*
*οὐδὲ πάλιν, μέγα θαῦμα, λέγων ἐμὸν οὔνομα λέξεις.*

23. ΑΛΛΟ.

*Νηρέος ὄντα με παῖδα φέρει γαιήϊος υἱός,*
*τὸν Στυγὸς ἱμερτοῖς νάμασι δυόμενον.*

24. ΑΛΛΟ.

*... μέον Διόνυσον ὁρᾷς ἐμέ, τίκτε με νηδὺς*
*διχθαδίης, μνήμης δὲ πατὴρ ἐμὸς ἡγεμονεύει·*
*Θηβοφόρον δέ με πρῶτον ἐγείνατο νηλεόθυμον·*
*αὐτοκασιγνήτης δὲ πρόκνος φίλον υἷα κατακτάς,*
*οὐκέτι θῆρα φέρω· ἀλλ' οὐρανὸν ἠδὲ θάλασσαν,*
*καὶ χθόνα, καὶ μακάρων ἱερὸν χορὸν ἄφθιτον αἰεί.*

25. ΑΛΛΟ.

*Ὀφθαλμοὺς Σκύλλης ποθέω, τοὺς ἔσβεσεν αὐτὸς*
*ἥλιος, μήνη τε· πατὴρ δέ με δείδιε κούρην·*
*λούομαι ἀενάοισι δύω ποταμοῖσι θανοῦσα,*
*οὓς κορυφὴ προΐησιν ἐπ' ὀφρυόεντι κολωνῷ.*

---

Nr. 22. V. 2. *αδε πάλιν*. P. Fort. *εἰ δέ με λέξεις, ὧδε πάλιν...* Nr. 23. V. 1. *νιρέος*. P. Nr. 24. V. 1. Fort. *Ἦ ῥα νέον Δ.* V. 2. Fort. *διχθαδίη* et *ἐμοί.* V. 3. Fort. *θηροφόρον.* V. 6. *καὶ χθόνα μακ.* P. Nr. 25. V. 3. *ἀεννάοισι.* P. Fort. *λοῦμαι δ' ἀενάοισι.* c. Buttm.

26. ΑΛΛΟ.

Ξανθὴ μέν τις ἐγὼν ἤμην πάρος, ἀλλὰ κοπεῖσα
γίνομαι ἀργεννῆς λευκοτέρη χιόνος·
χαίρω δὲ γλυκερῷ τε καὶ ἰχθυόεντι λοετρῷ,
πρώτη δαιτυμόνων ἐς χορὸν ἐρχομένη.

27. ΑΛΛΟ.

Παρθένον ἐν πελάγει ζητῶν τὴν πρόσθε λέοντα
τηθὴν εὑρήσεις παιδοφόνου Ἑκάβης.

28. ΑΛΛΟ.

Ἐξ ἁλὸς ἰχθυόεν γένος ἔλλαχον· εἷς δέ μ' ἄεθλος
εἰς Διονυσιακοὺς οἶδεν ἀγῶνας ἄγειν·
καὶ δέμας ἐν σταδίοισιν ἀλειψάμενος λίπ' ἐλαίῳ,
[P] υἱέα μὲν Δηοῦς ὤλεσα χερσὶν ἐμαῖς·
δεύτερον αὖτε Γίγαντας ἀολλέας ἄλλοθεν ἄλλος
ἐκπέμπω πολλαῖς χείρεσιν ἑλκομένους.

29. ΑΛΛΟ.

Μούνῳ μοι φίλον ἐστὶ γυναιξί περ ἐν φιλότητι
μίγνυσθαι, αὐτῶν λισσομένων ποσίων.

---

Nr. 28. V. 2. ἄγειν ἀγῶνας. P.

30. ΑΛΛΟ.

Κριὸν ἔχω γενετῆρα, τέκεν δέ με τῶδε χελώνη·
τικτομένη δ' ἄμφω πέφνον ἐμοὺς γονέας.

31. ΑΛΛΟ.

Οἴνου τὴν ἑτέρην γράφε μητέρα, καὶ θὲς ἐπ' ἄρθρῳ
ἄρθρον, καὶ πάτρην πατρὸς ἄκοιτιν ὁρᾷς.

32. ΑΛΛΟ.

Κτανθεὶς τὸν κτείναντα κατέκτανον· ἀλλ' ὁ μὲν οὐδ' ὣς
ἤλυθεν εἰς Ἀΐδην· αὐτὰρ ἔγωγ' ἔθανον.

33. ΑΛΛΟ.

Τόν με κατακτείναντα κατέκτανον, οὐ δέ μοι ἦδος·
θῆκε γὰρ ἀθάνατον τὸν κτάμενον θάνατος.

34. ΑΛΛΟ.

Νῆσός τις πόλις ἐστὶ φυτώνυμον αἷμα λαχοῦσα,
ἰσθμὸν ὁμοῦ καὶ πορθμὸν ἐπ' ἠπείροιο φέρουσα·
ἐνθ' ἀπ' ἐμῆς ἔσθ' αἷμα ὁμοῦ καὶ Κέκροπος αἷμα·
ἐνθ' Ἥφαιστος ἔχει χαίρων γλαυκῶπιν Ἀθήνην·
κεῖθι θυηπολίην πέμπειν κελόμην Ἡρακλεῖ.

---

Nr. 33. V. 1. με κτείναντα. P. Nr. 34. V. 3. ἐστ' αἷμα. P.

35. ΑΛΛΟ.

Ἀνθρώπου μέλος εἰμί, ὃ καὶ τέμνει με σίδηρος·
γράμματος αἰρομένου δύεται ἠέλιος.

36. ΑΛΛΟ.

Πικρή μοι ζωή, θάνατος γλυκύς, ὕδατα δ' ἄμφω,
θνήσκω ἀναιμάκτοις ἔγχεσι νυσσόμενος·
ἢν δέ τις ἐν ζώοντι νέκυν τύμβῳ με καλύψῃ,
αἵματι συγγενέων πρῶτον ἀποβρέχομαι.

37. ΑΛΛΟ.

Παλλάδος εἰμὶ φίλη, τίκτω δ' ἀπερείσια τέκνα,
ἃ κατὰ πετράων ἄνδρες βάλον· ὀλλυμένων δέ,
Πηλείδῃ φάος ἔσκε, βροτῶν ἄκος, ἕρκος ἀγώνων.

38. ΑΛΛΟ.

Κτεῖνα κάσιν, κτάνε δ' αὖ με κάσις, θάνομεν δ' ὑπὸ πατρός·
μητέρα δ' ἀμφότεροι τεθναότες κτάνομεν.

39. ΑΛΛΟ.

Νῆσόν τις καλέων μ' οὐ ψεύσεται· ὡς ἐτεὸν γὰρ
πολλοὺς ἐς κελάδους οὔνομ' ἔθηκεν ἐμόν.

---

Nr. 35. V. 1. με om. P. V. 2. αἰρουμένου. P.

Digitized by Google

40. ΑΛΛΟ.

Εἰσὶ κασίγνηται δύ' ἀδελφεαί· ἡ μία τίκτει
τὴν ἑτέρην, αὐτὴ δὲ τεκοῦσ' ἀπὸ τῆς ἀτεκνοῦται.
[₱] ὥςτε κασιγνήτας οὔσας ἅμα καὶ συνομαίμους,
αὐτοκασιγνήτας κοινῇ καὶ μητέρας εἶναι.

41. ΑΛΛΟ.

Μητέρ' ἐμὴν τίκτω καὶ τίκτομαι· εἰμὶ δὲ ταύτης
ἄλλοτε μὲν μείζων, ἄλλοτε μειοτέρη.

42. ΑΛΛΟ.

Παρθένος εἰμὶ γυνή, καὶ παρθένου εἰμὶ γυναικός,
καὶ κατ' ἔτος τίκτω παρθένος οὖσα γυνή.

43. ΑΛΛΟ.

Εἰμὶ πόλου μίμημα· δύω δέ με θῆρες ἄγουσι,
πρόςθε μὲν Ἠριγόνης, Πασιφάης δ' ὄπιθεν·
Ἡρακλέους * ηρεμεν με συνευνέτις, ἡ δέ με Φοίβου
τείρει νύμφα φίλη πολλάκι δαιομένη.

44. ΑΛΛΟ.

Νυκτὶ μιῇ καὶ Τρωσὶν ἐπήλυθα, καὶ τὰ Πελασγῶν
φῦλα διατμήξας εἷλον ἄνευ δόρατος·

---

Nr. 40. V. 2. αυγοτης ἀτεκν. P. Nr. 43. V. 3. Fort. τηρεῖ με.
Nr. 44. V. 1. ἐπήλυθε. P.

Digitized by Google

οὐ μὲν ὁ Τυδείδης, οὐδ' ὁ πτολίπορθος Ὀδυσσεὺς
τὸν θρασὺν ἐκ νηῶν ἔσθενον ἐξελάσαι·
ἀλλὰ μένος καὶ θάρσος ἐνὶ στήθεσσιν ἀέξων,
Ἀργείων στρατιὴν ὤλεσα καὶ Φρυγίων.

45. ΑΛΛΟ.

Εἰμὶ μέλας, λευκός, ξανθός, ξηρός τε καὶ ὑγρός·
εὖτε δὲ δουρατέων πεδίων ὕπερ ἐντανύσῃς με,
Ἄρεϊ καὶ παλάμῃ φθέγγομαι οὐ λαλέων.

46. ΑΛΛΟ.

Γράμματος ἀρνυμένου πληγὴν ποδὸς οὔνομα τεύχει
ἡμέτερον· πταίειν δὲ βροτῶν πόδας οὔποτ' ἐάσει.

47. ΑΛΛΟ.

Εἵνεκα φωτὸς ἐγὼ φῶς ὤλεσα· φὼς δὲ παραστὰς
φῶς μοι ὄπασσε φίλον ποσσὶ χαριζόμενος.

48. ΑΛΛΟ.

Αἱ Χάριτες μήλων καλάθους φέρον, ἐν δὲ ἑκάστῳ
ἶσον ἔην πλῆθος. Μοῦσαι σφίσιν ἀντεβόλησαν

---

V. 3. οὔ μιν. P. V. 5. ἐν στ. P. Nr. 46. V. 1. αἰρομένου. Huschke. Nr. 48. V. 1. ἑκάστῃ. P.

ἐννέα, καὶ μήλων σφέας ᾔτεον· αἳ δ' ἄρ' ἔδωκαν
ἶσον ἑκάστῃ πλῆθος, ἔχον δ' ἴσα ἐννέα καὶ τρεῖς.
εἰπέ, πόσον δῶκαν, καὶ ὅπως δ' ἴσα πᾶσαι ἔχεσκον.

## 49. ΑΛΛΟ.

Τεῦξόν μοι στέφανον, χρυσὸν χαλκόν τε κεράσσας,
κασσίτερόν θ' ἅμα τοῖσι, πολύκμητόν τε σίδηρον,
μνῶν ἑξήκοντα. χρυσὸς δ' ἐχέτω μετὰ χαλκοῦ
δοιὰ μέρη τρισσῶν· χρυσὸς δ' ἅμα κασσίτερός τε
τρισσὰ μέρη τετόρων· χρυσὸς δ' * ἅμ' ἠδὲ σίδηρος
[P] τόσσα μέρη τῶν πέντε. πόσον δ' ἄρα δεῖ σε κεράσσαι
λέξον τοῦ χρυσοῦ, χαλκοῦ πόσον, ἀλλ' ἔτι λέξον
κασσιτέροιο πόσον, λοιποῦ πόσον εἰπὲ σιδήρου,
ὥστε σε τὸν στέφανον τεῦξαι μνῶν ἑξήκοντα.

## 50. ΑΛΛΟ.

Τὸ τρίτον, ἀργυροποιέ, προσέμβαλε καὶ τὸ τέταρτον
τῆς φιάλης εἰς ἕν, καὶ τὸ δυωδέκατον,
εἰς δὲ κάμινον ἔλαυνε βαλών, καὶ πάντα κυκήσας
ἔξελέ μοι βῶλον· μνᾶν δέ μοι ἑλκυσάτω.

---

V. 4. ἔσχον. P. V. 5. δῶκαν ὅπως. P. Nr. 49. V. 2. τ' ἅμα. P.
V. 5. Fort. δ' ἄρ' ἅμ' ἠδέ. V. 6. κεράσαι. P.

51. ΑΛΛΟ.

α. Ἔχω τὸν ἑξῆς, καὶ τὸ τοῦ τρίτου τρίτον.
β. κἀγὼ τὸν ἑξῆς, καὶ τὸ τοῦ πρώτου τρίτον.
γ. κἀγὼ δέκα μνᾶς, καὶ τὸ τοῦ μέσου τρίτον.

52. ΑΛΛΟ.

Ἦν ὅτε σὺν Λαπίθῃσι καὶ ἀλκίμῳ Ἡρακλῆϊ
Κενταύρους διφυεῖς ὤλεσα μαρνάμενος·
ἦν ὅτε μουνογένεια κόρη θάνεν ἐν τρισὶ πληγαῖς
ἡμετέραις, Κρονίδην δ᾽ ἤκαχον εἰνάλιον·
νῦν δέ με Μοῦσα τρίτη πυρίναις Νύμφαισι μιγέντα
δέρκεται ὑελίνῳ κείμενον ἐν δαπέδῳ.

53. ΑΛΛΟ.

Ἡφαίστῳ ποτὲ Παλλὰς ὑπ᾽ ἀγκοίνῃσι μιγεῖσα
εἰς εὐνὴν ἐμίγη Πηλέος ἐν θαλάμοις·
τοὶ δ᾽ ὡς οὖν λιπαρῇσι καλυφθήτην ὀθόνῃσιν,
αὐτίκ᾽ ἐγεννήθη νυκτιπόλος Φαέθων.

54. ΑΛΛΟ.

Καμὲ σοφὴ ποίησε τέχνη Παιήονος ἔμπνουν
πῦρ ὑπὸ χαλκελάτοις χείλεσι κευθομένην·

---

Nr. 52. V. 3. τρισίν. P. V. 5. νῦν δὲ νέμουσα et πυρινείου. P. V. 6. δέρκετο. P. Nr. 53. V. 1. Fort. δαμεῖσα.

δειλῶν δ' αἷμα κελαινὸν ἀπ' ἀνθρώπων ἐρύουσα,
Ἥφαιστον κτείνω γαστρὶ περισχομένη.

55. ΑΛΛΟ.

Μούνῳ μοι θέμις ἐστὶ γυναικῶν ἐν φιλότητι
μίσγεσθαι φανερῶς, λισσομένων ποσίων.
μοῦνος δ' ἠϊθέοισι, καὶ ἀνδράσιν, ἠδὲ γέρουσιν,
παρθενικαῖς τ' ἐπέβην ἀχνυμένων τοκέων.
μαχλοσύνην ἤχθηρα· φιλεῖ δέ με παιονίη χείρ,
Ἀμφιτρυωνιάδην ἐκτελέοντα πόνον.
ἀμφὶ δ' ὀπυιομένοισι καὶ ἂν Πλουτῆϊ μαχοίμην
αἰὲν ὑπὲρ ψυχῆς τῶν ὁπόσοις ἐμίγην.
[P] εὔρινον δέ με παῖδα καὶ ἀργιόδοντα τίθησιν
ἱδρείῃ μερόπων αἰγὶ μιγεὶς ἐλέφας.

56. ΑΛΛΟ.

Ἄν μ' ἐσίδῃς, καὶ ἐγὼ σέ. τί με βλεφάροισι δέδορκας;
ἀλλ' ἐγὼ οὐ βλεφάροις· οὐ γὰρ ἔχω βλέφαρα.
ἂν δ' ἐθέλῃς, λαλέω φωνῆς δίχα· σοὶ γὰρ ὑπάρχει
φωνή, ἐμοὶ δὲ μάτην χείλε' ἀνοιγόμενα.

57. ΑΛΛΟ.

Οὔνομα μητρὸς ἔχω, γλυκερώτερος εἰμὶ τεκούσης·
ἀλλ' ἡ μὲν δολιχή, τυτθὸς ἐγὼ δὲ πέλω·

---

Nr. 55. V. 4. τοκήων. P. Fort. ἀντομένων τοκέων. V. 7. καὶ ἐμπλ. P. Nr. 56. V. 1. Fort. σὺ μὲν βλέφ.

ἄβρωτος κείνη πλὴν κράατος· εἰμὶ δ' ἔγωγε
    τρωκτὸς ἅπας, μοῦνα δ' ἔντερ' ἄβρωτα φέρω.

58. ΑΛΛΟ.

Ἐγκέφαλον φορέω κεφαλῆς ἄτερ· εἰμὶ δὲ χλωρὴ
    αὐχένος ἐκ δολιχοῦ γῆθεν ἀειρομένη.
σφαίρῃ δ' ὡς ὑπὲρ αὐλὸν ἐείδομαι· ἢν δὲ ματεύσῃς
    ἔνδον ἐμῶν λαγόνων, μητρὸς ἔχω πατέρα.

59. ΑΛΛΟ.

Υἷας πεντήκοντα μιῇ ἐνὶ γαστρὶ λαβοῦσα
    φηλητῶν πάντων ἔκτανον ἡγεμόνα.
αὐτὰρ ὃ δὶς τέθνηκεν, ἐπεὶ δύο γαστέρες αὐτὸν
    τίκτον, χαλκείη, καὶ πάρος ἀνδρομέη.

60. ΑΛΛΟ.

Ὕλη μὲν τέτοκεν * ἐκαινούργει δὲ σίδηρος·]
    εἰμὶ δὲ Μουσάων μυστικὸν ἐκδοχίον·
κλειομένη σιγῶ· λαλέω δ', ὅταν ἐκπετάσῃς με,
    κοινωνὸν τὸν Ἄρη μοῦνον ἔχουσα λόγων.

61. ΑΛΛΟ.

Οὔρεσι μὲν γενόμην, δένδρον δέ μοι ἔπλετο μήτηρ,
    πῦρ δὲ πατήρ, βῶλος δ' εἰμὶ μελαινομένη·

---

Nr. 59. V. 2. μηλητῶν. P. Nr. 60. V. 1. μὲν τετέκεν. P. Fort. τέτοκεν ποτ', ἐκαιν.

ἢν δέ μ᾿ ἔσω κεράμοιο πατὴρ τήξησι βαθείης,
    ἅρματος ὠτειλὰς ῥύομαι εἰναλίου.

62. ΑΛΛΟ.

Λίην ἔντριχός εἰμι, τὰ φύλλα δέ μου κατακρύπτει
    τὰς τρίχας, ἡ δὲ τρύπη φαίνεται οὐδαμόθεν·
πολλοῖς παιδαρίοις ἐμπαίζομαι· εἰ δέ τίς ἐστιν
    εἰς τὸ βαλεῖν ἀφυής, ἵσταται ὥσπερ ὄνος.

63. ΜΕΣΟΜΗΔΟΥΣ.

Ἕρπουσα, πετωμένα, βεβῶσα κούρα,
νόθον ἴχνος ἀραμένα δρομαία λέαινα,
πτερόεσσα μὲν ἦν τὰ πρόσω γυνά,
[P] τὰ δὲ μέσσα, βρέμουσα λέαινα θήρ,
τὰ δ᾿ ὄπισθεν, ἑλισσόμενος δράκων.
οὐθ᾿ ὁλκὸς ἀπέτρεχεν, οὐ γυνά,
οὔτ᾿ ὄρνις ὅλον δέμας, οὔτε θήρ·
κόρη γὰρ ἐφαίνετ᾿ ἄνευ ποδῶν,
κεφαλὰν δ᾿ οὐκ ἔσχε βρέμουσα θήρ·
φύσιν εἶχεν ἄτακτα κεκραμέναν,
ἀτέλεστα τέλεια μεμιγμέναν.

Nr. 61. V. 3. τήξηισ βαθ. P. Nr. 62. V. 2. ἡ τρύπη. P. V. 3. παιδαρίους. P. Nr. 63. V. 4. μέσα. P. V. 10. ἔχειν et κεκραμένα. P. V. 11. τὰ τέλεια μεμιγμένα. P.

### 64. Τὸ αἴνιγμα τῆς Σφιγγός.

Ἔστι δίπουν ἐπὶ γῆς, καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον, ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ γίνηται, ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλείστοισιν ἐπειγόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ. *)

### 65. Χρησμὸς δοθεὶς Ὁμήρῳ.

Ἔστιν Ἴος νῆσος μητρὸς πατρίς, ἥ σε θανόντα
δέξεται· ἀλλὰ νέων παίδων αἴνιγμα φύλαξαι.

### 66. Ἕτερος πρὸς τὸν αὐτόν.

Ὄλβιε καὶ δύςδαιμον, ἔφυς γὰρ ἐπ' ἀμφοτέροισι,
πατρίδα δίζηαι, μητρὸς δέ τοι οὐ πατρός ἐστι
μητρόπολις, ἐν νήσῳ ἀπὸ Κρήτης εὐρείης,
Μίνωος γαίης οὔτε σχεδόν, οὔτ' ἀποτηλοῦ·

---

Nr. 64. V. 1. οὐ μία. P. V. 2. βοὴν μόνον. P. V. 3. κινεῖται. Br. V. 5. ἔνθα μένος. Br. Nr. 66. V. 2. μητρὶς et πατρὶς alii.

*) Λύσις τοῦ αἰνίγματος.

Κλῦθι, καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης σὸν τέλος ἀμπλακίης.
ἄνθρωπον κατέλεξας, ὅς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων·
γηραλέος δὲ πέλων, τρίτατον πόδα, βάκτρον ἐρείδει,
αὐχένα φορτίζων, γήραϊ καμπτόμενος.

ἐν τῇ μοῖρ᾽ ἐστίν σε τελευτῆσαι βιότοιο,
εὖτ᾽ ἂν ἀπὸ γλώσσης παίδων μὴ γνῷς ἐξακούσας
δυςξύνετον σκολιοῖσι λόγοις εἰρημένον ὕμνον·
δοιὰς γὰρ ζωῆς μοίρας λάχες· ἣν μὲν ἀμαυρὰν
ἠελίων δισσῶν, τὴν δ᾽ ἀθανάτοις ἰσόμοιρον·
ζῶντι δὲ καὶ φθιμένῳ· φθίμενος δ᾽ ἔτι πολλὰ * * *

### 67. Χρησμὸς δοθεὶς Λαΐῳ τῷ Θηβαίῳ.

Λάϊε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς;
δώσω τοι φίλον υἱόν· ἀτὰρ πεπρωμένον ἐστί,
σοῦ παιδὸς χερσὶν λείψειν φάος· ὣς γὰρ ἔνευσα.

### 68. Χρησμὸς δοθεὶς Καρύστῳ.

Χείρωνος φίλε τέκνον ἀγακλειτοῖο, Κάρυστε,
Πηλίον ἐκπρολιπὼν Εὐβοίας ἄκρον ἱκέσθαι·
ἔνθ᾽ ἱερὰν χώραν κτίζειν σοι θέσφατόν ἐστιν.

### [❡] 69. Χρησμὸς δοθεὶς Λυκούργῳ.

Ἥκεις, ὦ Λυκόοργε, ἐμὸν ποτὶ πίονα νηόν,
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ᾽ ἔχουσιν,
διζῶ ἤ σε θεὸν μαντεύσομαι, ἠέπερ ἄνδρα·
ἀλλ᾽ ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόοργε.

---

V. 8. τὴν μέν. P. Nr. 67. V. 3. χείρεσι. P.

Digitized by Google

70. *Χρησμὸς δοθεὶς ἐκ τοῦ Σεράπιδος τῷ διὰ πλῆθος ἀτυχημάτων χρωμένῳ καὶ αἰτιωμένῳ τὸν θεόν.*

Μὴ μέμφη μοίρην, μὴ θεοὺς μηδέν, ξένε·
ὥρην δὲ μέμφου, ἣν πατὴρ ἔσπειρέ σε.

71. *Χρησμὸς τῆς Πυθίας.*

Ἁγνὸς εἰς τέμενος καθαροῦ, ξένε, δαίμονος ἔρχου
ψυχήν, νυμφαίου νάματος ἁψάμενος·
ὡς ἀγαθοῖς κεῖται βαιὴ λιβάς· ἄνδρα δὲ φαῦλον
οὐδ' ἂν ὁ πᾶς νίψαι νάμασιν Ὠκεανός.

72. *Χρησμὸς ἐρωτήσαντι Ῥουφίνῳ, πῶς λάβοι ὅρκον παρὰ τοῦ ἰδίου ναυκλήρου.*

Εὖτ' ἂν ὑπὲρ γαίης ἀνέχῃ δρόμον ὄρθρια Τιτάν,
λύσας ἀκτῖσι ζοφερῆς δηλήματα νυκτός,
λάμπει δ' αἰγλήεσσα νέον φάος Ἠριγένεια,
δὴ τότ' ἄγων παρὰ θῖνας, ἁλιῤῥάντους τε παρ' ἀκτάς,
φῶτα στῆσον ἔναντα δεδορκότα πρὸς φάος αὐγῆς
ἠελίου, καὶ τὸν μὲν ἔσω πόδα χεύματος ἐντὸς
δεξιὸν ἐν δίναις ἐχέτω, λαιὸν δ' ἐπὶ γαίης
στηρισάτω, χείρεσσι δ' ἐπιψαύων ἑκάτερθε,

---

Nr. 70. V. 1. F. *μὴ μέμφεο.* — *ξεῖνε.* P. — Nr. 71. V. 1. Fort. *ἁγνὸς ἄγ' εἰς.* — *καθαρός.* P. V. 4. *νίψῃ.* P. Nr. 72. V. 1. *δόμον.* P.

τῇ μὲν ἁλός, τραφερῆς δ' ἑτέρῃ, πιστούμενος ὅρκον
οὐρανὸν ὀμνυέτω, χθόνα δ' ἄσπετον, ἠδ' ἁλὸς ὅρμους,
αἰθερίου τε πυρὸς βιοδώτορα ἡγεμονῆα·
τοῖον γὰρ θεὸν Ὅρκον ὑπὸ στομάτεσσιν ἀτίζειν
οὐδ' αὐτοὶ τολμῶσιν ἀγήνορες Οὐρανίωνες.

73. Οἱ Μεγαρῆες ἐφ' ἑαυτοῖς μέγα φρονήσαντες ἐπυνθάνοντο τοῦ θεοῦ, ἐν ποίᾳ μοίρᾳ αὐτοὺς ἔχει· ὁ δὲ ἀνεῖλεν·

Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον,
Ἵπποι Θεσσαλικαί, Λακεδαιμόνιαί τε γυναῖκες,
ἄνδρες δ' οἳ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης·
ἀλλ' ἔτι καὶ τῶν εἰσὶν ἀμείνονες, οἳ τὸ μεσηγὺ
Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου,
Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο·
[¶] ὑμεῖς δ', ὦ Μεγαρῆες, οὐδὲ τρίτοι, οὐδὲ τέταρτοι,
οὐδὲ δυωδεκαταῖοι· οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

74. Χρησμὸς τῆς Πυθίας.

Ἱρὰ θεῶν ἀγαθοῖς ἀναπέπταται, οὐδὲ καθαρμῶν
χρειώ· τῆς ἀρετῆς ἥψατο οὐδὲν ἄγος.
ὅστις δ' οὐλοὸν ἦτορ, ἀπόστιχε· οὔποτε γὰρ σὴν
ψυχὴν ἐκνίψει σῶμα διαινόμενον.

---

Nr. 73. V. 6. πολέμοιο. P. V. 8. δυωδέκατοι. alii. Nr. 74. V. 4. διμαινόμενον. P. ἐκνίψεις σῶμα διαινόμενος. Br.

75. *Χρησμὸς δοθεὶς ἐν Ἰλίου πόλει, ὅτε ἐναυάγησαν οἱ κίονες τοῦ ἱεροῦ Διὸς τοῦ ὄντος ἐκεῖσε, οἳ νῦν ἐν Βηρύτῳ.*

Εἰπὲ Ποσειδάωνι, κασιγνήτοις πεπιθέσθαι
πρεσβυτέροις ἐπέοικεν· ἐμῆς ἐρικυδέος αὐλῆς
κίοσιν οὐ κατὰ κόσμον ἀγάλλεαι· εἰπὲ τινάξας
τρὶς ἅλα μαρμαρέην καὶ πείσεαι· ἢν δ' ἀπιθήσῃ,
φραζέσθω, μὴ πᾶσαν ἐνιπρήσαιμι θάλασσαν·
οὐδὲ γὰρ οὐδὲ θάλασσα Διὸς σβέννυσι κεραυνόν.

76. Χρησμὸς Πυθίας.

Ἀρκαδίην μ' αἰτεῖς· μέγα μ' αἰτεῖς· οὔ τοι δώσω·
πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
οἵ σ' ἀποκωλύσουσιν· ἐγὼ δέ τοι οὔτι μεγαίρω.
δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι,
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι.

77. ΑΛΛΟΣ.

Ὄλβιος οὗτος ἀνήρ, ὃς νῦν κατὰ λάϊνον οὐδὸν
Φοίβου Ἀπόλλωνος χρηστήριον εἰσαναβαίνει,
ἤλυθεν εὐνομίην διζήμενος· αὐτὰρ ἐγώ τοι
δώσω ἣν οὐκ ἄλλη ἐπιχθονίων πόλις ἕξει.

---

Nr. 75. V. 1. κασιγνήτοισί τε. P. V. 4. Fort. εἰ πείσεαι. Nr. 76. V. 5. παιδίον. P.

78. ΑΛΛΟΣ.

Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ·
ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης,
καὶ τύπος ἀντίτυπος καὶ πῆμ' ἐπὶ πήματι κεῖται·
ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα·
τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάῤῥοθος ἔσσῃ.

79. ΑΛΛΟΣ.

Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
μὴ βούλου πολύευκτον ἰὴν ἀνὰ δώματ' ἀκούειν
παιδὸς φθεγγομένου· τὸ δέ σοι πολὺ λώϊον ἀμφὶς
ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

80. ΑΛΛΟΣ.

Τὴν πεπρωμένην μοίρην ἀδύνατά ἐστιν ἀποφυγέειν
καὶ θεῷ.

[P] 81. ΑΛΛΟΣ.

Ἰσθμὸν δὲ μὴ πυργοῦτε, μηδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, εἴ κ' ἐβούλετο.

82. ΑΛΛΟΣ.

Ἀλλ' ὅτ' ἂν ἐν Σίφνῳ πρυτανήϊα λευκὰ γένηται,
λεύκοφρύς τ' ἀγορή, τότε δὴ δεῖ φράδμονος ἀνδρός,
φράσσασθαι ξύλινόν τε λόχον, κήρυκά τ' ἐρυθρόν.

Digitized by Google

83. ΑΛΛΟΣ.

Βάττ' ἐπὶ φωνὴν ἦλθες, ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα.

84. ΑΛΛΟΣ.

Αἰ τὺ ἐμεῦ Λιβύην μηλοτρόφον οἶδας ἄμεινον
μὴ ἐλθὼν ἐλθόντος, ἄγαν ἄγαμαι σοφίην σεῦ.

85. ΑΛΛΟΣ.

Ὃς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἱ ποκά φημι μελήσειν.

86. ΑΛΛΟΣ.

Ἠετίων, οὔ τίς σε τίει πολύτιμον ἐόντα.
Λάβδα κύει, τέξει δὲ ὀλοίτροχον· ἐν δὲ πεσεῖται
ἀνδράσι μουνάρχοισι, δικαιώσει δὲ Κόρινθον.

87. ΑΛΛΟΣ.

Αἰετὸς ἐν πέτρῃσι κύει, τέξει δὲ λέοντα
καρτερόν, ὠμηστήν, πολλῶν δ' ὑπὸ γούνατα λύσει.

88. ΑΛΛΟΣ.

Ὄλβιος οὗτος ἀνήρ, ὃς ἐμὸν δόμον ἐσκαταβαίνει,
Κύψελος Ἠετίδης, βασιλεὺς κλειτοῖο Κορίνθου,
αὐτὸς καὶ παῖδες, παίδων γε μὲν οὐκέτι παῖδες.

Digitized by Google

89. ΑΛΛΟΣ.

Καὶ τότε δή, Μίλητε, κακῶν ἐπιμήχανε ἔργων,
πολλοῖσιν δεῖπνόν τε καὶ ἀγλαὰ δῶρα γενήσει·
σαὶ δ᾽ ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομήταις·
νηοῦ δ᾽ ἡμετέρου Διδύμοις ἄλλοισι μελήσει.

90. ΑΛΛΟΣ.

Ἀλλ᾽ ὅταν ἡ θήλεια τὸν ἄρσενα νικήσασα
ἐξελάσῃ, καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει·
ὥς ποτέ τις ἐρέει καὶ ἐπεσσομένων ἀνθρώπων·
δεινὸς ὄφις ἀέλικτος ἀπώλετο δουρὶ δαμασθείς.

91. ΑΛΛΟΣ.

Γλαῦκ᾽ Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτω,
ὅρκῳ νικῆσαι καὶ χρήματα ληΐσσασθαι.
ὄμνυ᾽, ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
ἀλλ᾽ Ὅρκου πάϊς ἐστὶν ἀνώνυμος, οὐδ᾽ ἔπι χεῖρες
οὐδὲ πόδες· κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
[P] συμμάρψας ὀλέσῃ γενεήν, καὶ οἶκον ἅπαντα·
ἀνδρὸς δ᾽ εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

92. ΑΛΛΟΣ.

Ὦ μέλεοι, τί κάθησθε; λιπὼν φεῦγ᾽ ἔσχατα γαίης
δώματα, καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.

---

Nr. 92. V. 1. φεύγετ᾽. P.

Digitized by Google

οὔτε γὰρ ἡ κεφαλὴ μενεῖ ἔμπεδον, οὔτε τὸ σῶμα,
οὔτε πόδες νέατοι, οὔτ᾽ ὦν χέρες, οὔτε τι μέσσης
λείπεται, ἀλλ᾽ ἄζηλα πέλει· κατὰ γάρ μιν ἐρείπει
πῦρ τε καὶ ὀξὺς Ἄρης συριηγενὲς ἅρμα διώκων·
πολλὰ δὲ κἄλλ᾽ ἀπολεῖ πυργώματα, κοὐ τὸ σὸν οἶον·
πολλοὺς δ᾽ ἀθανάτων ναοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,
δείματι παλλόμενοι· κατὰ δ᾽ ἀκροτάτοις ὀρόφοισιν
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκην.
ἀλλ᾽ ἴτον ἐξ ἀδύτοιο, κακοῖς δ᾽ ἐπικίδνατε θυμόν.

93. ΑΛΛΟΣ.

Οὐ δύναται Παλλὰς Δί᾽ Ὀλύμπιον ἐξιλάσασθαι,
λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ·
σοὶ δὲ τόδ᾽ αὖτις ἔπος ἐρέω, ἀδάμαντι πελάσσας·
τῶν ἄλλων γὰρ ἁλισκομένων, ὅσα Κέκροπος οὖρος
ἐντὸς ἔχει, κευθμών τε Κιθαιρῶνος ζαθέοιο,
τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ᾽ ὀνήσει.
μηδὲ σύ γ᾽ ἱπποσύνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ᾽ ἠπείρου στρατὸν ἥσυχος, ἀλλ᾽ ὑποχωρεῖν,
νῶτον ἐπιστρέψας· ἔτι τοι ποτὲ κἀντίος ἔσσῃ.
Ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν,
ἤ που σκιδναμένης Δημήτερος, ἢ συνιούσης.

---

V. 7. τόσον. P. V. 12. ἀλλ᾽ ἴσον et κακοῖσι δ᾽ ἐπικίδναται. P. Nr. 93. V. 10. ἔσῃι. P. V. 12. ἤ που et ἢ συν. P.

Digitized by Google

94. ΑΛΛΟΣ.

Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσι,
εἴσω τὸν προβόλαιον ἔχων, πεφυλαγμένος ἧσο,
καὶ κεφαλὴν πεφύλαξο· κάρα δὲ τὸ σῶμα σαώσει.

95. ΑΛΛΟΣ.

Ὦ νήπιοι ἐπιμέμφεσθε ὅσα ὑμῖν ἐκ τῶν Μενελάου τιμωρημάτων Μίνως ἔπεμψε μηνίων δακρύματα, ὅτι οἱ μὲν οὐ συνεξεπρήξαντο αὐτῷ τὸν ἐν Καμίκῳ θάνατον γενόμενον, ὑμεῖς δὲ ἐκείνοισι τὴν ἐκ Σπάρτης [₽] ἁρπαχθεῖσαν ὑπ' ἀνδρὸς βαρβάρου γυναῖκα.

96. ΑΛΛΟΣ.

Ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
πέρθεται· ἢ τὸ μὲν οὐχί, ἀφ' Ἡρακλέους δὲ γενέθλης
πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
οὐ γὰρ τὸν ταύρων σχήσει μένος, οὐδὲ λεόντων
ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἕ φημι
σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

97. ΑΛΛΟΣ.

Φράζεο, βαρβαρόφωνον ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
βύβλινον, Εὐβοΐης ἀπέχειν πολυμηκάδες αἶγας.

---

Nr. 95. V. 1. ἐπιμέσφεσθε. P. V. 3. καμικῷ. P. Nr. 96. V. 2. ἀστυερικυδὲς P. V. 5. τῶν ταύρων. P.

98. *Βάκιδος χρησμὸς περὶ τῆς τῶν Ἑλλήνων νίκης.*

*Ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν*
*νηυσὶ γεφυρώσωσι, καὶ εἰναλίην Κυνοσούραν*
*ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,*
*δῖα Δίκη σβέσσει κρατερὸν κόρον Ὕβριος υἱόν,*
*δεινὸν μαιμώωντα δοκεῦντ' ἀνὰ πάντα πιθέσθαι.*
*χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης*
*πόντον φοινίξει· τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ*
*εὐρύοπα Κρονίδης ἐπάγει καὶ πότνια Νίκη.*

99. *ΑΛΛΟΣ.*

*Τῆνδ' ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ*
*Ἑλλήνων σύνοδον καὶ βαρβαρόφωνον ἰϋγήν,*
*τῇ πολλοὶ πεσέονται ὑπὲρ Λάχεσιν τε μόρον τε*
*τοξοφόρων Μήδων, ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.*

100. *Χρησμὸς δοθεὶς Μενελάῳ καὶ Ἀλεξάνδρῳ.*

*Τίπτε δύω βασιλῆες, ὁ μὲν Τρώων, ὁ δ' Ἀχαιῶν,*
*οὐ ταυτὰ φρονέοντες ἐμὸν δόμον εἰσανέβητε;*
*ἤτοι ὁ μὲν πώλοιο γόνον διζήμενος εὑρεῖν,*
*αὐτὰρ ὁ πῶλον ἄγειν· τί νυ μήσεαι, ὦ μεγάλε Ζεῦ;*

---

Nr. 98. V. 4. *σβέσει.* P.

Digitized by Google

101. ΚΛΕΟΒΟΥΛΟΥ ΑΙΝΙΓΜΑ.

Εἷς ὁ πατὴρ, παῖδες δυοκαίδεκα· τῶν δέ θ᾽ ἑκάστῳ
παῖδες τριήκοντα διάνδιχα εἶδος ἔχουσαι·
αἱ μὲν λευκαὶ ἔασιν ἰδεῖν, αἱ δ᾽ αὖτε μέλαιναι·
ἀθάνατοι δέ τ᾽ ἐοῦσαι, ἀποφθινύθουσιν ἅπασαι.

102. Ἐκ τῆς Πυθίας βασιλεῖ Ἀδριανῷ.

Ἄγνωστόν μ᾽ ἐρέεις γενεῆς καὶ πατρίδος αἴης
ἀμβροσίου Σειρῆνος· ἕδος δ᾽ Ἰθάκη τις Ὁμήρου·
Τηλέμαχος δὲ πατὴρ καὶ Νεστορέη Πολυκάστη,
[P] μήτηρ ἥ μιν ἔτικτε, βροτῶν πολὺ πάνσοφον ἄλλων.

103. ΑΙΝΙΓΜΑ.

Εἴ με νέην ἔλαβες, τάχα μου πίες ἐκχυθὲν αἷμα,
νῦν δ᾽ ὅτε γηραλέην μ᾽ ἐξετέλεσσε χρόνος,
ἔσθιε τὴν ῥυσαινομένην, ὑγρὸν οὐδὲν ἔχουσαν,
ὀστέα συνθραύων σαρκὶ σὺν ἡμετέρῃ.

104. ΑΛΛΟ.

Πήρην σὴν ὀπίσω, κάλαθον χερί, τὸν τράγον ὤμοις,
αἰπόλε, σῶν ἀγρῶν σύμβολα πάντα φέρεις.

---

Nr. 101. V. 1. ἑκάστῃ. P. Nr. 103. V. 2. ἐξετέλεσε. P. V. 3. ῥυσαινόμενη. P.

Digitized by Google

105. ΑΛΛΟ.

Εἰμὶ χαμαίζηλον ζώων μέλος· ἢν δ' ἀφέλῃς μου
γράμμα μόνον, κεφαλῆς γίνομαι ἄλλο μέρος·
ἢν δ' ἕτερον, ζῶον πάλιν ἔσσομαι· ἢν δὲ καὶ ἄλλο,
οὐ μόνον εὑρήσεις, ἀλλὰ διηκόσια.

106. ΑΛΛΟ.

Τέσσαρα γράμματ' ἔχων ἀνύω τρίβον· ἢν δὲ τὸ πρῶτον
γράμμ' ἀφέλῃς, αἴω· καὶ τὸ μετ' αὐτὸ πάλιν,
βορβόρῳ εὑρήσεις ἐμὲ φίλτατον· ἢν δὲ τὸ λοιπὸν
αἴρῃς, εὑρήσεις * ἐπίῤῥημα τόπου.

107. ΑΛΛΟ.

Λαμπάδα μὲν προέηκεν Ἔρως, καὶ τόξα, καὶ ἰούς,
Αἰθιόπων δὲ κόνιν ἀντὶ βελῶν προχέει.

108. ΑΛΛΟ.

Οὐδὲν ἔσωθεν ἔχω, καὶ πάντα μοι ἔνδοθέν ἐστι,
προῖκα δ' ἐμῆς ἀρετῆς πᾶσι δίδωμι χάριν.

---

Nr. 105. V. 1. γένος. P. V. 3. ἔσομαι. P. Nr. 106. V. 3. μὲ φίλ. P.

### 109. ΑΛΛΟ.

*Ἐν πυρὶ κοιμηθεῖσα κόρη θάνεν· ὁ προδότης δὲ*
*οἶνος, ὑφ' οὗ δὲ θάνεν, Παλλάδος ἦν στέλεχος·*
*ὁ κτείνας ναυηγός· ἐνὶ ζώοντι δὲ τύμβῳ*
*κεῖται μεμφομένη τὰς Βρομίου χάριτας.*
*Παλλὰς καὶ Βρόμιός τε καὶ ὁ κλυτὸς Ἀμφιγυήεις,*
*οἱ τρεῖς τὴν μούνην παρθένον ἠφάνισαν.*

### 110. ΑΛΛΟ.

*Οὐδεὶς βλέπων βλέπει με, μὴ βλέπων δ' ὁρᾷ·*
*ὁ μὴ λαλῶν λαλεῖ, ὁ μὴ τρέχων τρέχει·*
*ψευδὴς δ' ὑπάρχω, πάντα δ' ἀληθῆ λέγω.*

### 111. ΑΛΛΟ.

*Ἄγονος ἐξ ἀγόνων, βελεηφόρος, ἔμβρεφος, ἄρσις.*

### 112. Χρησμὸς δοθεὶς Κροίσῳ τῷ Λυδῷ.

*Ἀλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,*
*καὶ τότε, Λυδὲ ποδαβρέ, πολυψηφῖδα παρ' Ἕρμον*
*φεύγειν, μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.*

---

Nr. 109. V. 5. τε om. P. Nr. 112. V. 3. μὴδ' αἰδ. P.



Digitized by Google

[P] 113. *Χρησμὸς ἐπ' Ἀρχιλόχῳ λεχθεὶς Πυθίης ὑπὸ ὀμφῆς.*

Ἀθάνατός σοι παῖς καὶ ἀοίδιμος, ὦ Τελεσίκλεις,
ἔσσετ' ἐν ἀνθρώποισιν, ὃς ἂν πρῶτός σε προςείπῃ,
νηὸς σῆς ἀποβάντα φίλῃ ἐν πατρίδι γαίῃ.

114. *Χρησμὸς δοθεὶς τῇ μητρὶ Ἀλεξάνδρου τοῦ Μακεδόνος Ὀλυμπιάδι ἐν Κυζίκῳ ἐρωτησάσῃ, πῶς ἂν τῆς χώρας Περσῶν κρατήσειεν ὁ ταύτης υἱός.*

Πέρσαι λάτριν ἐμὸν σημάντορα χειρὶ βιαίῃ
ἔκτανον, οἰκεία δὲ κόνις νέκυν ἀμφικαλύπτει·
τοῦ δ' ἤν τις Φαέθοντι θοῶς λεύκ' ὀστέα δείξῃ,
οὗτός τοι Περσῶν τὸ μέγα κράτος ἔνδοθι θραύσει·
κεῖται δ' Ἀσίδος ἐντὸς ὁριζομένῃ ἐνὶ νήσῳ,
δάφνῃ καὶ ῥείθροισι παραὶ Πελίοιο γέροντος·
φράζεο δ' ἀνέρα μάντιν ἀφηγητῆρα κελεύθου
Φωκέα, ὃς ψαμάθοισιν Ἀπαρνίδος οἰκία ναίει.

115. *Κωνσταντῖνος ἐλθὼν ἐν τῇ Τροίᾳ πλησίον ἠβουλήθη κτίσαι πόλιν βασιλικήν, καὶ λαβὼν τὸν χρησμὸν ἀνεχώρησεν καὶ κτίζει Κωνσταντινούπολιν.*

Οὐ θέμις ἐν Τροίης σε πάλαι τμηθέντι θεμείλῳ
Ῥώμης ἱδρῦσαι νέον οὔνομα· βαῖνε δὲ χαίρων

---

Nr. 114. V. 3. *δείξει.* P. V. 4. *Περσῶν μέγα.* P. V. 7. *ἀφηγήτορα.* P. Nr. 115. V. 1. *Τροίῃ* et *θεμειλίῳ.* P.

ἐς μεγαρήϊον ἄστυ Προποντίδος ἄγχι θαλάσσης,
ἔνθ' ἰχθύς, ἔλαφός τε νομὸν βόσκονται τὸν αὐτόν.

## 116. ΜΗΤΡΟΔΩΡΟΥ ΕΠΙΓΡΑΜΜΑΤΑ ΑΡΙΘΜΗΤΙΚΑ.

Τίπτε με τῶν καρύων ἕνεκεν πληγῇσι πιέζεις,
ὦ μῆτερ; τάδε πάντα καλαὶ διεμοιρήσαντο
παρθένοι. ἡ γὰρ ἐμεῖο Μελίσσιον ἕβδομα δοιά,
ἡ δὲ δυωδέκατον Τιτάνη λάβεν· ἕκτον ἔχουσιν
καὶ τρίτον Ἀστυόχη φιλοπαίγμονες ἠδὲ Φίλιννα·
εἴκοσι δ' ἁρπάξασα Θέτις λάβε, δώδεκα Θίσβη·
ἡ δ', ὅρα, ἡδὺ γελᾷ Γλαύκη παλάμῃσιν ἔχουσα
ἕνδεκα· τοῦτο δέ μοι κάρυον περιλείπεται οἶον.

## [ℙ] 117. ΑΛΛΟ.

α. Ποῦ σοι μῆλα βέβηκεν, ἐμὸν τέκος; β. ἕκτα μὲν Ἰνὼ
δοιά, καὶ ὀγδοάτην μοῖραν ἔχει Σεμέλη·
Αὐτονόη δὲ τέταρτον ἀφήρπασεν· αὐτὰρ Ἀγαύη
πέμπτον ἐμῶν κόλπων ᾤχετ' ἀπαινυμένη·
σοὶ δ' αὐτῇ δέκα μῆλα φυλάσσεται· αὐτὰρ ἔγωγε,
ναὶ μὰ φίλην Κύπριν, ἓν τόδε μοῦνον ἔχω.

---

V. 4. ἐς αὐτόν. alii rectius. Nr. 116. V. 4. ἔχουσαν. P. V. 7. ἥνορα καὶ δ' ἐγέλα. P. V. 8. καρύων. P. Nr. 117. V. 3. ἀγαυή. P. V. 4. οἴχετ'. P.

118. ΑΛΛΟ.

Δρεψαμένη ποτὲ μῆλα φίλαις διεδάσσατο Μυρτώ.
Χρυσίδι μὲν μήλων πέμπτον πόρε, τέτρατον Ἡροῖ,
ἐννεακαιδέκατον Ψαμάθῃ, δέκατον Κλεοπάτρῃ·
αὐτὰρ ἐεικοστὸν δωρήσατο Παρθενοπείῃ·
δώδεκα δ' Εὐάδνῃ μοῦνον πόρεν· αὐτὰρ ἐς αὐτὴν
ἤλυθεν ἐκ πάντων ἑκατὸν καὶ εἴκοσι μῆλα.

119. ΑΛΛΟ.

Αὐτομέναις ποτὲ μῆλα φίλαις διεμοιρήσαντο
Ἰνὼ καὶ Σεμέλη δώδεκα παρθενικαῖς.
καὶ ταῖς μὲν Σεμέλη πόρεν ἄρτια· ταῖς δὲ περισσὰ
δῶκε κασιγνήτη· μῆλα δ' ἔχεν πλέονα.
ἡ μὲν γὰρ τρισσῇσι τρί' ἕβδομα δῶκεν ἑταίραις,
ταῖς δὲ δύω πάντων πέμπτον ἔδωκε λάχος·
ἕνδεκα δ' Ἀστυνόμη μιν ἀφείλατο, καί οἱ ἔλειπεν
μοῦνα κασιγνήταις μῆλα δύω φερέμεν.
ἡ δ' ἑτέρη πισύρεσσι πόρεν δύο τέτρατα μήλων,
πέμπτῃ δ' ἑκταίην μοῖραν ἔδωκεν ἔχειν·
τέσσαρα δ' Εὐρυχόρῃ δῶρον πόρε· τέτρασι δ' ἄλλοις
μήλοισιν Σεμέλη μίμνεν ἀγαλλομένη.

[P] 120. ΑΛΛΟ.

Ἡ καρύη πολλοῖσιν ἐβεβρίθει καρύοισιν·
νῦν δέ τις ἐξαπίνης μιν ἀπέθρισεν· ἀλλὰ τί φησίν;

---

Nr. 119. V. 7. ἀστυνόμηι. P.

Digitized by Google

Ἐκ μὲν ἐμεῦ καρύων πέμπταν λάβε Παρθενόπεια·
ὀγδόατον δὲ Φίλιννα φέρει λάχος· ἡ δ' Ἀγανίππη
τέτρατον· ἑβδομάτῳ δ' ἐπιτέρπεται Ὠρείθυια·
ἕκτην δ' Εὐρυνόμη καρύων ἐδρέψατο μοίρην·
τρισσαὶ δ' ἓξ ἑκατὸν Χάριτες διεμοιρήσαντο·
ἐννάκι δ' ἐννέα Μοῦσαι ἐμεῦ λάβον· ἑπτὰ δὲ λοιπὰ
δήεις ἀκρεμόνεσσιν ἐφήμενα τηλοτέροισιν.

121. ΑΛΛΟ.

Ἑπτάλοφον ποτὶ ἄστυ Γαδειρόθεν, ἕκτον ὁδοῖο
Βαίτιος εὐμύκους ἄχρις ἐς ἠϊόνας·
κεῖθεν δ' αὖ πέμπτον Πυλάδου μετὰ Φώκιον οὖδας,
Ταύρη χθών, βοέης οὔνομ' ἀπ' εὐετίης·
Πυρήνην δέ τοι ἔνθεν ἐπ' ὀρθόκραιρον ἰόντι
ὄγδοον· ἡ δὲ μιῆς δωδέκατον δεκάδος.
Πυρήνης δὲ μεσηγὺ καὶ Ἄλπιος ὑψικαρήνου
τέτρατον· Αὐσονίης αἶψα δυωδέκατον
ἀρχομένης ἤλεκτρα φαείνεται Ἠριδανοῖο.
ὦ μάκαρ, ὃς δισσὰς ἤνυσα χιλιάδας,
πρὸς δ' ἔτι πέντ' ἐπὶ ταῖς ἑκατοντάδας ἔνθεν ἐλαύνων·
ἡ γὰρ Ταρπείη μέμβλετ' ἀνακτορίη.

---

Nr. 120. V. 5. ωρίθυια. P. V. 6. εὐρυνομείη. P. Nr. 121. V. 4. εὐεπίης. P. V. 6. Fort. δεκάτης cum Kriesio. V. 9. ἀρχομένους. P. V. 12. ταρπαίη. P.

[P] 122. *ΑΛΛΟ.*

Εὐβλεφάροιο Δίκης ἱερὰ κρήδεμνα μιῆνας,
ὄφρα σε, πανδαμάτωρ χρυσέ, βλέποιμι τόσον,
οὐδὲν ἔχω, πίσυρας γὰρ ἐπ' οὐκ ἀγαθοῖσι ταλάντων
οἰωνοῖσι μάτην δῶκα φίλοις δεκάδας·
ἥμισυ δ' αὖ, τρίτατόν τε καὶ ὄγδοον, ὦ πολύμορφοι
ἀνθρώπων κῆρες, ἐχθρὸν ἔχοντα βλέπω.

123. *ΑΛΛΟ.*

Πέμπτον μοι κλήρου, παῖ, λάμβανε· δωδέκατον δὲ
δέξο, δάμαρ· πίσυρες δ' υἱέος οἰχομένου
παῖδες, ἀδελφειοί τε δύω, καὶ ἀγάστονε μῆτερ,
ἑνδεκάτην κλήρου μοῖραν ἕκαστος ἔχε.
αὐτὰρ ἀνεψιαδοῖ δυοκαίδεκα δέχθε τάλαντα·
Εὔβουλος δ' ἐχέτω πέντε τάλαντα φίλος.
πιστοτάτοις δμώεσσιν ἐλευθερίην καὶ ἄποινα,
μισθὸν ὑπηρεσίης, τοῖςδε δίδωμι τάδε.
ὧδε δὲ λαμβανέτωσαν· Ὀνήσιμος εἴκοσι πέντε
μνᾶς ἐχέτω· Δάος δ' εἴκοσι μνᾶς ἐχέτω·
πεντήκοντα Σύρος, Συνέτη δέκα, Τίβιος ὀκτώ·
ἑπτὰ δὲ μνᾶς Συνέτῳ παιδὶ δίδωμι Σύρου.

---

Nr. 123. V. 2. υἱέες. P. V. 4. ἕκτος ἔχε. P. V. 5. ἀνεψιοί. P. V. 6. εὔβολος. P. V. 9. ὧδε λαμβ. P. V. 10. δαός. P. V. 11. συνετή. P. τίμιος. Ib.

ἐκ δὲ τριηκόντων κοσμήσατε σῆμα ταλάντων·
    ῥέζετε δ' Οὐδαίῳ Ζανὶ θυηπολίην·
δισσῶν ἔς τε πυρήν, καὶ ἄλφιτα, καὶ τελαμῶνας·
    εἰκαίην δοιῶν σῶμα χάριν λαβέτω.

[P] 124. ΑΛΛΟ.

Ἠέλιος, μήνη τε καὶ ἀμφιθέοντος ἀλῆται
ζωοφόρου τοίην τοι ἐπεκλώσαντο γενέθλην·
ἕκτην μὲν βιότοιο φίλῃ παρὰ μητέρι μεῖναι
ὀρφανόν· ὀγδοάτην δὲ μετ' ἀντιβίοισιν ἀνάγκη
θητεύειν, νόστον δὲ γυναῖκά τε παῖδά τ' ἐπ' αὐτῇ
τηλύγετον δώσουσι θεοὶ τριτάτῃ ἐπὶ μοίρῃ.
δὴ τότε σοι Σκυθικοῖσιν ὑπ' ἔγχεσι παῖς τε δάμαρ τε
ὄλλυνται, σὺ δὲ τοῖσιν * ἐπάλλιστα δάκρυα χεύσας,
ἑπτὰ καὶ εἴκοσ' ἔτεσσι βίου ποτὶ τέρμα περήσεις.

125. ΑΛΛΟ.

Τύμβος ἐγώ, κεύθω δὲ πολύστονα τέκνα Φιλίννης,
    τοῖον μαψιτόκων καρπὸν ἔχων λαγόνων·
πέμπτον ἐν ἠϊθέοις, τρίτατον δ' ἐνὶ παρθενικῇσιν,
    τρεῖς δέ μοι ἀρτιγάμους δῶκε Φίλιννα κόρας·
λοιποὶ δ' ἠελίοια πανάμμοροι ἠδὲ καὶ αὐδῆς
    τέσσαρες ἐκ λαγόνων εἰς Ἀχέροντα πέσον.

---

V. 15. Fort. καὶ ἐς ἄλφ. c. Herm. Nr. 124. V. 2. ζωοφόρον. P. V. 4. ὀγδοατ' ἤδε. P. V. 7. ὑπέγχεϊ. P. V. 8. σοὶ δε. P. ἐπ' ἄλγεσι corr. Huschke. Fort. ἐφ' ἁλμυρὰ δ.

126. ΑΛΛΟ.

Οὗτός τοι Διόφαντον ἔχει τάφος. ἃ μέγα θαῦμα·
καὶ τάφος ἐκ τέχνης μέτρα βίοιο λέγει.
ἕκτην κουρίζειν βιότου θεὸς ὤπασε μοίρην·
δωδεκάτην δ' ἐπιθείς, μῆλα πόρεν χλοάειν·
[P] τῇ δ' ἄρ' ἐφ' ἑβδομάτῃ τὸ γαμήλιον ἥψατο φέγγος,
ἐκ δὲ γάμων πέμπτῳ παῖδ' ἐπένευσεν ἔτει.
αἴ, αἴ, τηλύγετον δειλὸν τέκος, ἥμισυ πατρὸς
* τοῦδε καὶ ἡ κρυερὸς μέτρον ἑλὼν βιότου.
πένθος δ' αὖ πισύρεσσι παρηγορέων ἐνιαυτοῖς
τῇδε πόσου σοφίῃ τέρμ' ἐπέρησε βίου;

127. ΑΛΛΟ.

Παντὸς ὅσου βεβίωκε χρόνου παῖς μὲν τὸ τέταρτον
Δημοχάρης βεβίωκε· νεηνίσκος δὲ τὸ πέμπτον·
τὸ τρίτον εἰς ἄνδρας· πολιὸν δ' ὅτ' ἀφίκετο γῆρας,
ἔζησεν λοιπὰ τρεῖς καὶ δέκα γήραος οὐδῷ.

128. ΑΛΛΟ.

Οἷον ἀδελφειός μ' ἐβιήσατο, πέντε τάλαντα
οὐχ ὁσίῃ μοίρῃ πατρικὰ δασσάμενος.

---

Nr. 126. V. 3. ἕκτη. P. ὅπασε. Ib. V. 4. δωδεκάτη. P. V. 5. ἐπ' ἑβδ. P. V. 6. ἐπέλευσεν. corr. Br. V. 8. Fort. (φεῦ Μοίρης κρυερᾶς) μέτρον... V. 10. ἐπέρησα. P. Nr. 127. V. 1. ὅσον. Br.

ἑπτὰ κασιγνήτοιο τόδ᾽ ἑνδεκάτων πολύδακρυς
    πέμπτον ἔχω μοίρης. Ζεῦ, βαθὺν ὕπνον ἔχεις.

[P] 129. ΑΛΛΟ.

Εἶπε κυβερνητῆρι, πλατὺν πόρον Ἀδριακοῖο
τέμνων νηΐ ἁλὸς πόσα λείπεται εἰσέτι μέτρα;
τὸν δ᾽ ἀπαμείβετο· ναῦτα, μέσον Κριοῖο μετώπου
Κρηταίου, Σικελῆς τε Πελωρίδος ἑξάκι μέτρα
χίλια, δοιῶν δ᾽ αὖτε παροιχομένοιο δρόμοιο
πέμπτων διπλάσιον Σικελὴν ἐπὶ πορθμίδα λείπει.

130. ΑΛΛΟ.

Τῶν πισύρων κρουνῶν ὁ μὲν ἤματι πλῆσεν ἅπασαν
δεξαμενήν, δυσὶ δ᾽ οὗτος, ὃ δ᾽ ἐν τρισὶν ἤμασιν οὗτος,
τέτρατος ἐν τετόρεσσι· πόσῳ πλήσουσιν ἅπαντες;

131. ΑΛΛΟ.

Οἶγέ με, καὶ πισύρεσσιν ἐνιπλήσω παρεοῦσαν
    δεξαμενὴν ὥραις, κρουνὸς ἅλις προρέων·
δεξιτερὸς δ᾽ ἄρ᾽ ἐμεῖο τόσαις ἀπολείπεται ὥραις,
    ὄφρα μιν ἐμπλήσει· δὶς δὲ τόσαις ὁ τρίτος.
εἰ δ᾽ ἄμφω σὺν ἐμοὶ προχέειν ῥόον εἰς ἓν ἀνώγοις,
    εἰν ὀλίγῃ μοίρῃ πλήσομεν ἠματίῃ.

---

Nr. 130. V. 2. δύο. P. V. 3. κλήσουσιν. P. Nr. 131. V. 5. ἐαμὸν ἀνώγ. P.

### 132. *ΑΛΛΟ.*

*Κύκλωψ τοι Πολύφημος ὁ χάλκεος· οἷα δ᾽ ἐπ᾽ αὐτῷ*
*τεῦξέ τις ὀφθαλμόν, καὶ στόμα, καὶ παλάμην,*
[Ƥ] *κρουνοῖς συζεύξας, στάζοντι δὲ πάμπαν ἔοικεν,*
*ἠδ᾽ ἔτι καὶ βλύζων φαίνετ᾽ ἀπὸ στόματος.*
*κρουνῶν δ᾽ οὔτις ἄτακτος· ὁ μὲν παλάμης, τρισὶ μούνοις*
*ἤμασιν ἐμπλήσει δεξαμενὴν προρέων·*
*ἠμάτιος γλήνης· στόμα δ᾽, ἤματος ἐν δύο πέμπτοις.*
*τίς κ᾽ ἐνέποι τρισσοῖς ἶσα θέοντα χρόνον;*

### 133. *ΑΛΛΟ.*

*Ὡς ἀγαθὸν κρητῆρι θοοὶ κερόωσι ῥέεθρον*
*οἵδε δύω ποταμοί, καὶ Βρομίοιο χάρις.*
*ἶσος δ᾽ οὐ πάντεσσι ῥόου δρόμος· ἀλλά μιν οἶος*
*Νεῖλος μὲν προρέων ἠμάτιος κορέσει,*
*τόσσον ὕδωρ μαζῶν ἀπερεύγεται· ἐκ δ᾽ ἄρα Βάκχου*
*θύρσος ἐνὶ τρισσοῖς ἤμασιν οἶνον ἱείς·*
*σὸν δὲ κέρας, Ἀχελῶε, δύ᾽ ἤμασι. νῦν δ᾽ ἅμα πάντες*
*ῥεῖτε, καὶ εἰν ὥραις πλήσετέ μιν ὀλίγαις.*

### 134. *ΑΛΛΟ.*

*Ὦ γύναι, ὡς πενίης ἐπελήσαο· ἣ δ᾽ ἐπίκειται*
*αἰὲν ἀναγκαίῃ κέντρα φέρουσα πόνων.*

---

Nr. 132. V. 1. *Κύκλωψ ἐγὼ Π.* P. Nr. 133. V. 1. *θεοί.* P. V. 5. *ἀπερεύεται.* P. V. 7. *ἤμασιν ἦν δ.* P. V. 8. *μὴν ὀλ.* P. Nr. 134. V. 2. *ἀναγκαίη.* P.

μνᾶν ἐρίων νήθεσκες ἐν ἤματι· πρεσβυτέρη δὲ
    θυγατέρων καὶ μνᾶν καὶ τρίτον εἷλκε κρόκης·
ὁπλοτέρη δὲ μιῆς φέρεν ἥμισυ. νῦν δ᾽ ἅμα πάσαις
    δόρπον ἐφοπλίζεις μνᾶν ἐρύσασα μόνον.

[P] 135. ΑΛΛΟ.

Οἵδε λοετροχόοι τρεῖς ἕσταμεν ἐνθάδ᾽ Ἔρωτες,
καλλιρόου πέμποντες ἐπ᾽ εὐρίποιο λοετρά.
δεξιτερὸς μὲν ἔγωγε τανυπτερύγων ἀπὸ ταρσῶν
ἤματος ἑκταίῃ μοίρῃ ἔνι τόνδε κορέσσω·
λαιὸς δ᾽ αὖ πισύρεσσιν ἀπ᾽ ἀμφιφορῆος ἐν ὥραις·
ἐκ δ᾽ ὁ μέσος τόξοιο κατ᾽ ἤματος αὐτὸ τὸ μέσσον.
φράζεο δ᾽, ὡς ὀλίγῃ κεν ἐνιπλήσαιμεν ἐν ὥρῃ,
ἐκ πτερύγων, τόξου τε, καὶ ἀμφιφορῆος ἱέντες.

136. ΑΛΛΟ.

Πλινθουργοί, μάλα τοῦτον ἐπείγομαι οἶκον ἐγεῖραι·
ἦμαρ δ᾽ ἀννέφελον τόδε σήμερον, οὐδ᾽ ἔτι πολλῶν
χρηΐζω, πᾶσαν δὲ τριηκοσίῃσι δέουσαν
πλίνθον ἔχω. σὺ δὲ μοῦνος ἐν ἤματι τόσσον ἔτευ-
χες·
παῖς δέ τοι ἐκ καμάτοιο διηκοσίαις ἀπέληγεν·
γαμβρὸς δ᾽ αὖ τόσσῃσι καὶ εἰςέτι πεντήκοντα.
τρισσαῖς συζυγίαις πόσσαις τόδε τεύχεται ὥραις;

---

Nr. 136. V. 2. ἀννέφελλον. P.

[Ρ] 137. ΑΛΛΟ.

Δάκρυ παρὰ στάξαντες ἀμείβετε. οἵδε γὰρ ἡμεῖς,
οὓς τόδε δῶμα πεσὸν ὤλεσεν Ἀντιόχου
δαιτυμόνας, οἷσιν * θεὸς δαιτός τε τάφου τε
τόνδ' ἔπορεν χῶρον, τέσσαρες ἐκ Τεγέης
κείμεθα· Μεσσήνης δὲ δυώδεκα· ἐκ δέ τε πέντε
Ἄργεος· ἐκ Σπάρτης δ' ἥμισυ δαιτυμόνων,
αὐτός τ' Ἀντίοχος· πέμπτου δέ τε πέμπτον ὄλοντο
Κεκροπίδαι· σὺ δ' Ὕλαν κλαῖε, Κόρινθε, μόνον.

138. ΑΛΛΟ.

Νικαρέτη παίζουσα σὺν ἡλικιώτισι πέντε,
ὧν εἶχεν καρύων * Κλεῖτ' ἔπορεν τὸ τρίτον,
καὶ Σαπφοῖ τὰ τέταρτον, Ἀριστοδίκη δὲ τὸ πέμπτον,
εἰκοστὸν Θεανοῖ καὶ πάλι δωδέκατον,
εἰκοστὸν τέτρατον δὲ Φιλιννίδι· καὶ περιῆν δὲ
πεντήκοντ' αὐτῇ Νικαρέτῃ κάρυα.

139. ΑΛΛΟ.

Γνωμονικῶν Διόδωρε μέγα κλέος, εἰπέ μοι ὥρην
ἠνίκ' ἀπ' ἀντολίης πόλον ἥλατο χρύσεα κύκλα

---

Nr. 137. V. 2. πεσών. P. V. 3. Fort. τοῖσίν γε θεός. V. 4. ἔπορε. P. Nr. 138. V. 2. δῶκε Κλιτοῖ. P. Nr. 139. V. 2. πόλιν. P.

ἠελίου, τοῦ δ' ἤτοι ὅσον τρία πέμπτα δρόμοιο,
τετράκι τόσσον· ἔπειτα μεθ' Ἑσπερίην ἅλα λείπει.

140. ΑΛΛΟ.

Ζεῦ μάκαρ, ἦ ῥά τοι ἦ ῥα τάδ' εὔαδεν, οἷα γυναῖκες
Θεσσαλικαὶ παίζουσι; μαραίνεται ὄμμα Σελήνης
ἐκ μερόπων· ἴδον αὐτός. ἔην δ' ἔτι νυκτὸς ἐπ' ἠῶ
δὶς τόσον, ὅσσα δύ' ἕκτα καὶ ἕβδομον οἰχομένοιο.

[P] 141. ΑΛΛΟ.

Ἀπλανέων ἄστρων, παρόδους τ' ἐπὶ τοῖσιν ἀλητῶν
εἰπέ μοι, ἡνίκ' ἐμὴ χθιζὸν ἔτικτε δάμαρ·
ἦμαρ ἔην, ὅσσον τε δὶς ἕβδομον ἀντολίηθεν,
ἑξάκι τόσσον ἔην Ἑσπερίην ἐς ἅλα.

142. ΑΛΛΟ.

Ἔγρεσθ', Ἠριγένεια παρέδραμε· πέμπτον, ἔριθοι,
λειπομένης τρισσῶν οἴχεται ὀγδοάτων.

143. ΑΛΛΟ.

Σύρτιος ἐν τενάγεσσι πατὴρ θάνεν, ἐκ δ' ἄρ' ἐκείνης
πέντε τάλαντα φέρων ἤλυθε ναυτιλίης
οὗτος ἀδελφειῶν προφερέστατος· ἢ γὰρ ἔμοιγε
δῶκεν ἑῆς μοίρης διπλάσιον τριτάτων
δοιῶν, ἡμετέρης δὲ δύ' ὄγδοα μητέρι μοίρης
ὤπασεν, οὐδὲ δίκης ἤμβροτεν ἀθανάτων.

---

Nr. 143. V. 5. μητέρη. P.

144. ΑΛΛΟ.

α. Ἁ βάσις ἂν πατέω σὺν ἐμοὶ βάρος ἅλικον ἕλκει·
β. χἁ κρηπὶς σὺν ἐμοὶ τόσσα τάλαντα φέρει.
α. ἀλλ' ἐγὼ οἶος ἅπαξ τὰν σὰν βάσιν ἐς δὶς ἀνέλκω.
β. κἠγὼ μοῦνος ἐὼν σὰν βάσιν ἐς τρὶς ἄγω.

[Ƥ] 145. ΑΛΛΟ.

α. Δός μοι δέκα μνᾶς, καὶ τριπλοῦς σοῦ γίνομαι.
β. κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ πενταπλοῦς.

146. ΑΛΛΟ.

α. Δός μοι δύο μνᾶς, καὶ διπλοῦς σοῦ γίνομαι.
β. κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ τετραπλοῦς.

147. ΑΛΛΟ.

Ὅμηρος Ἡσιόδῳ ἐρωτήσαντι, πόσων τὸ τῶν Ἑλλήνων πλῆθος τὸ κατὰ τῆς Ἰλίου στρατεῦσαν.

Ἑπτ' ἔσσαν μαλεροῦ πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

---

Nr. 145. V. 2. πενθαπλοῦς. P. Nr. 146. V. 1. σοι. P. Nr. 147. V. 1. ἔσαν. P.

148. *Χρησμὸς δοθεὶς Ἰουλιανῷ τῷ ἀποστάτῃ, ὅτε τὴν γενέθλιον ἡμέραν ἐπιτελῶν ἑαυτοῦ διῆγε περὶ Κτησιφῶντα ἀγῶνας ἱππικοὺς θεώμενος.*

Γηγενέων ποτὲ φῦλον ἐνήρατο μητίετα Ζεύς,
ἔχθιστον μακάρεσσιν Ὀλύμπια δώματ' ἔχουσιν,
Ῥωμαίων βασιλεὺς Ἰουλιανὸς θεοειδής,
μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ
ἀγχεμάχων διέπερσε πυρί, κρατερῷ τε σιδήρῳ,
νωλεμέως δ' ἐδάμασσε καὶ ἔθνεα πολλὰ καὶ ἄλλα,
ὅς ῥα καὶ ἑσπερίων ἀνδρῶν ἀλμανικὸν οὖδας
ὑσμίναις πυκναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

149. *Χρησμὸς δοθεὶς Τιμοκράτῃ Ἀθηναίῳ ἐρωτήσαντι περὶ ἐπιληψίας.*

Μεῖζον ἀειράμενος κεφαλῆς ποιμνήϊον εὐλήν,
μηκάδος ἀγρονόμοιο δέμας περικάββαλε μήλου,
ἑρπηστὰν πολύπλαγκτον εὐῤῥήνου ἀπὸ κόρσης.

150. *Χρησμὸς δοθεὶς τῷ Αἰγεῖ ἐρωτήσαντι περὶ παιδοποιΐας.*

Ἀσκοῦ τὸν προὔχοντα ποδαιόνα, φίλτατε λαῶν,
μὴ λῦσαι, πρὶν γοῦνον Ἀθηναίων ἀφικέσθαι.

---

Nr. 148. V. 7. Fort. Ἀλαμανικὸν cum Schaefero.

[P] 122. ΑΛΛΟ.

Εὐβλεφάροιο Δίκης ἱερὰ κρήδεμνα μιήνας,
ὄφρα σε, πανδαμάτωρ χρυσέ, βλέποιμι τόσον,
οὐδὲν ἔχω, πίσυρας γὰρ ἐπ' οὐκ ἀγαθοῖσι ταλάντων
οἰωνοῖσι μάτην δῶκα φίλοις δεκάδας·
ἥμισυ δ' αὖ, τρίτατόν τε καὶ ὄγδοον, ὦ πολύμορφοι
ἀνθρώπων κῆρες, ἐχθρὸν ἔχοντα βλέπω.

123. ΑΛΛΟ.

Πέμπτον μοι κλήρου, παῖ, λάμβανε· δωδέκατον δὲ
δέξο, δάμαρ· πίσυρες δ' υἱέος οἰχομένου
παῖδες, ἀδελφειοί τε δύω, καὶ ἀγάστονε μῆτερ,
ἑνδεκάτην κλήρου μοῖραν ἕκαστος ἔχε.
αὐτὰρ ἀνεψιαδοῖ δυοκαίδεκα δέχθε τάλαντα·
Εὔβουλος δ' ἐχέτω πέντε τάλαντα φίλος.
πιστοτάτοις δμώεσσιν ἐλευθερίην καὶ ἄποινα,
μισθὸν ὑπηρεσίης, τοῖςδε δίδωμι τάδε.
ὧδε δὲ λαμβανέτωσαν· Ὀνήσιμος εἴκοσι πέντε
μνᾶς ἐχέτω· Δάος δ' εἴκοσι μνᾶς ἐχέτω·
πεντήκοντα Σύρος, Συνέτη δέκα, Τίβιος ὀκτώ·
ἑπτὰ δὲ μνᾶς Συνέτῳ παιδὶ δίδωμι Σύρου.

Nr. 123. V. 2. υἱέες. P. V. 4. ἕκτος ἔχε. P. V. 5. ἀνεψιοί. P. V. 6. εὔβολος. P. V. 9. ὧδε λαμβ. P. V. 10. δαός. P. V. 11. συνετή. P. τίμιος. Ib.

Digitized by Google

ἐκ δὲ τριηκόντων κοσμήσατε σῆμα ταλάντων·
ῥέζετε δ' Οὐδαίῳ Ζανὶ θυηπολίην·
δισσῶν ἔς τε πυρήν, καὶ ἄλφιτα, καὶ τελαμῶνας·
εἰκαίην δρυῶν σῶμα χάριν λαβέτω.

[P] 124. ΑΛΛΟ.

Ἥλιος, μήνη τε καὶ ἀμφιθέοντος ἀλῆται
ζωοφόρου τοίην τοι ἐπεκλώσαντο γενέθλην·
ἕκτην μὲν βιότοιο φίλῃ παρὰ μητέρι μεῖναι
ὀρφανόν· ὀγδοάτην δὲ μετ' ἀντιβίοισιν ἀνάγκη
θητεύειν, νόστον δὲ γυναῖκά τε παῖδά τ' ἐπ' αὐτῇ
τηλύγετον δώσουσι θεοὶ τριτάτῃ ἐπὶ μοίρῃ.
δὴ τότε σοι Σκυθικοῖσιν ὑπ' ἔγχεσι παῖς τε δάμαρ τε
ὄλλυνται, σὺ δὲ τοῖσιν * ἐπάλλιστα δάκρυα χεύσας,
ἑπτὰ καὶ εἴκοσ' ἔτεσσι βίου ποτὶ τέρμα περήσεις.

125. ΑΛΛΟ.

Τύμβος ἐγώ, κεύθω δὲ πολύστονα τέκνα Φιλίννης,
τοῖον μαψιτόκων καρπὸν ἔχων λαγόνων·
πέμπτον ἐν ἠϊθέοις, τρίτατον δ' ἐνὶ παρθενικῇσιν,
τρεῖς δέ μοι ἀρτιγάμους δῶκε Φίλιννα κόρας·
λοιποὶ δ' ἠελίοιο πανάμμοροι ἠδὲ καὶ αὐδῆς
τέσσαρες ἐκ λαγόνων εἰς Ἀχέροντα πέσον.

---

V. 15. Fort. καὶ ἐς ἄλφ. c. Herm. Nr. 124. V. 2. ζωοφόρον. P. V. 4. ὀγδοατ' ἤδε. P. V. 7. ὑπέγχεϊ. P. V. 8. σοὶ δε. P. ἐπ' ἄλγεσι corr. Huschke. Fort. ἐφ' ἁλμυρὰ δ.

126. ΑΛΛΟ.

Οὗτός τοι Διόφαντον ἔχει τάφος. ἃ μέγα θαῦμα·
καὶ τάφος ἐκ τέχνης μέτρα βίοιο λέγει.
ἕκτην κουρίζειν βιότου θεὸς ὤπασε μοίρην·
δωδεκάτην δ' ἐπιθείς, μῆλα πόρεν χλοάειν·
[P] τῇ δ' ἄρ' ἐφ' ἑβδομάτῃ τὸ γαμήλιον ἥψατο φέγγος,
ἐκ δὲ γάμων πέμπτῳ παῖδ' ἐπένευσεν ἔτει.
αἴ, αἴ, τηλύγετον δειλὸν τέκος, ἥμισυ πατρὸς
* τοῦδε καὶ ἡ κρυερὸς μέτρον ἑλὼν βιότου.
πένθος δ' αὖ πισύρεσσι παρηγορέων ἐνιαυτοῖς
τῇδε πόσου σοφίῃ τέρμ' ἐπέρησε βίου;

127. ΑΛΛΟ.

Παντὸς ὅσου βεβίωκε χρόνου παῖς μὲν τὸ τέταρτον
Δημοχάρης βεβίωκε· νεηνίσκος δὲ τὸ πέμπτον·
τὸ τρίτον εἰς ἄνδρας· πολιὸν δ' ὅτ' ἀφίκετο γῆρας,
ἔζησεν λοιπὰ τρεῖς καὶ δέκα γήραος οὐδῷ.

128. ΑΛΛΟ.

Οἷον ἀδελφειός μ' ἐβιήσατο, πέντε τάλαντα
οὐχ ὁσίῃ μοίρῃ πατρικὰ δασσάμενος.

---

Nr. 126. V. 3. ἕκτη. P. ὄπασε. Ib. V. 4. δωδεκάτη. P. V. 5. ἐπ' ἑβδ. P. V. 6. ἐπέλευσεν. corr. Br. V. 8. Fort. (φεῦ Μοίρης κρυερᾶς) μέτρον... V. 10. ἐπέρησα. P. Nr. 127. V. 1. ὅσαν. Br.

ἑπτὰ κασιγνήτοιο τόδ' ἐνδεκάτων πολύδακρυς
πέμπτον ἔχω μοίρης. Ζεῦ, βαθὺν ὕπνον ἔχεις.

[P] 129. ΑΛΛΟ.

Εἰπὲ κυβερνητῆρι, πλατὺν πόρον Ἀδριακοῖο
τέμνων νηΐ· ἁλὸς πόσα λείπεται εἰσέτι μέτρα;
τὸν δ' ἀπαμείβετο· ναῦτα, μέσον Κριοῖο μετώπου
Κρηταίου, Σικελῆς τε Πελωρίδος ἑξάκι μέτρα
χίλια, δοιῶν δ' αὖτε παροιχομένοιο δρόμοιο
πέμπτων διπλάσιον Σικελὴν ἐπὶ πορθμίδα λείπει.

130. ΑΛΛΟ.

Τῶν πισύρων κρουνῶν ὁ μὲν ἤματι πλῆσεν ἅπασαν
δεξαμενήν, δυσὶ δ' οὗτος, ὁ δ' ἐν τρισὶν ἤμασιν οὗτος,
τέτρατος ἐν τετόρεσσι· πόσῳ πλήσουσιν ἅπαντες;

131. ΑΛΛΟ.

Οἶγέ με, καὶ πισύρεσσιν ἐνιπλήσω παρεοῦσαν
δεξαμενὴν ὥραις, κρουνὸς ἅλις προρέων·
δεξιτερὸς δ' ἄρ' ἐμεῖο τόσαις ἀπολείπεται ὥραις,
ὄφρα μιν ἐμπλήσει· δὶς δὲ τόσαις ὁ τρίτος.
εἰ δ' ἄμφω σὺν ἐμοὶ προχέειν ῥόον εἰς ἓν ἀνώγοις,
εἰν ὀλίγῃ μοίρῃ πλήσομεν ἠματίῃ.

---

Nr. 130. V. 2. δύο. P. V. 3. πλήσουσιν. P. Nr. 131. V. 5. ἐσμὸν ἀνώγ. P.

132. ΑΛΛΟ.

Κύκλωψ τοι Πολύφημος ὁ χάλκεος· οἷα δ' ἐπ' αὐτῷ
τεῦξέ τις ὀφθαλμόν, καὶ στόμα, καὶ παλάμην,
[P] κρουνοῖς συζεύξας, στάζοντι δὲ πάμπαν ἔοικεν,
ἠδ' ἔτι καὶ βλύζων φαίνετ' ἀπὸ στόματος.
κρουνῶν δ' οὔτις ἄτακτος· ὁ μὲν παλάμης, τρισὶ μούνοις
ἤμασιν ἐμπλήσει δεξαμενὴν προρέων·
ἠμάτιος γλήνης· στόμα δ', ἤματος ἐν δύο πέμπτοις.
τίς κ' ἐνέποι τρισσοῖς ἶσα θέοντα χρόνον;

133. ΑΛΛΟ.

Ὡς ἀγαθὸν κρητῆρι θοοὶ κερόωσι ῥέεθρον
οἵδε δύω ποταμοί, καὶ Βρομίοιο χάρις.
ἶσος δ' οὐ πάντεσσι ῥόου δρόμος· ἀλλά μιν οἷος
Νεῖλος μὲν προρέων ἠμάτιος κορέσει,
τόσσον ὕδωρ μαζῶν ἀπερεύγεται· ἐκ δ' ἄρα Βάκχου
θύρσος ἐνὶ τρισσοῖς ἤμασιν οἶνον ἱείς·
σὸν δὲ κέρας, Ἀχελῶε, δύ' ἤμασι. νῦν δ' ἅμα πάντες
ῥεῖτε, καὶ εἰν ὥραις πλήσετέ μιν ὀλίγαις.

134. ΑΛΛΟ.

Ὦ γύναι, ὡς πενίης ἐπελήσαο· ἡ δ' ἐπίκειται
αἰὲν ἀναγκαίη κέντρα φέρουσα πόνων.

---

Nr. 132. V. 1. Κύκλωψ ἐγὼ Π. P. Nr. 133. V. 1. θεοί. P. V. 5. ἀπερεύεται. P. V. 7. ἤμασιν ην δ. P. V. 8. μὴν ὀλ. P. Nr. 134. V. 2. ἀναγκαίη. P.

Digitized by Google

μνᾶν ἐρίων νήθεσκες ἐν ἤματι· πρεσβυτέρη δὲ
θυγατέρων καὶ μνᾶν καὶ τρίτον εἷλκε κρόκης·
ὁπλοτέρη δὲ μιῆς φέρεν ἥμισυ. νῦν δ᾽ ἅμα πάσαις
δόρπον ἐφοπλίζεις μνᾶν ἐρύσασα μόνον.

[P] 135. ΑΛΛΟ.

Οἵδε λοετροχόοι τρεῖς ἕσταμεν ἐνθάδ᾽ Ἔρωτες,
καλλιρόου πέμποντες ἐπ᾽ εὐρίποιο λοετρά.
δεξιτερὸς μὲν ἔγωγε τανυπτερύγων ἀπὸ ταρσῶν
ἤματος ἑκταίῃ μοίρῃ ἔνι τόνδε κορέσσω·
λαιὸς δ᾽ αὖ πισύρεσσιν ἀπ᾽ ἀμφιφορῆος ἐν ὥραις·
ἐκ δ᾽ ὁ μέσος τόξοιο κατ᾽ ἤματος αὐτὸ τὸ μέσσον.
φράζεο δ᾽, ὡς ὀλίγῃ κεν ἐνιπλήσαιμεν ἐν ὥρῃ,
ἐκ πτερύγων, τόξου τε, καὶ ἀμφιφορῆος ἱέντες.

136. ΑΛΛΟ.

Πλινθουργοί, μάλα τοῦτον ἐπείγομαι οἶκον ἐγεῖραι·
ἦμαρ δ᾽ ἀννέφελον τόδε σήμερον, οὐδ᾽ ἔτι πολλῶν
χρηΐζω, πᾶσαν δὲ τριηκοσίῃσι δέουσαν
πλίνθον ἔχω. σὺ δὲ μοῦνος ἐν ἤματι τόσσον ἔτευχες·
παῖς δέ τοι ἐκ καμάτοιο διηκοσίαις ἀπέληγεν·
γαμβρὸς δ᾽ αὖ τόσσῃσι καὶ εἰσέτι πεντήκοντα.
τρισσαῖς συζυγίαις πόσσαις τόδε τεύχεται ὥραις;

---

Nr. 136. V. 2. ἀννέφελλον. P.

[P] 137. ΑΛΛΟ.

Δάκρυ παρὰ στάξαντες ἀμείβετε. οἵδε γὰρ ἡμεῖς,
οὓς τόδε δῶμα πεσὸν ὤλεσεν Ἀντιόχου
δαιτυμόνας, οἷσιν * θεὸς δαιτός τε τάφου τε
τόνδ' ἔπορεν χῶρον, τέσσαρες ἐκ Τεγέης
κείμεθα· Μεσσήνης δὲ δυώδεκα· ἐκ δέ τε πέντε
Ἄργεος· ἐκ Σπάρτης δ' ἥμισυ δαιτυμόνων,
αὐτός τ' Ἀντίοχος· πέμπτου δέ τε πέμπτον ὄλοντο
Κεκροπίδαι· σὺ δ' Ὕλαν κλαῖε, Κόρινθε, μόνον.

138. ΑΛΛΟ.

Νικαρέτη παίζουσα σὺν ἡλικιώτισι πέντε,
ὧν εἶχεν καρύων * Κλεῖτ' ἔπορεν τὸ τρίτον,
καὶ Σαπφοῖ τὰ τέταρτον, Ἀριστοδίκῃ δὲ τὸ πέμπτον,
εἰκοστὸν Θεανοῖ καὶ πάλι δωδέκατον,
εἰκοστὸν τέτρατον δὲ Φιλιννίδι· καὶ περιῆν δὲ
πεντήκοντ' αὐτῇ Νικαρέτῃ κάρυα.

139. ΑΛΛΟ.

Γνωμονικῶν Διόδωρε μέγα κλέος, εἰπέ μοι ὥρην
ἡνίκ' ἀπ' ἀντολίης πόλον ἥλατο χρύσεα κύκλα

---

Nr. 137. V. 2. πεσών. P. V. 3. Fort. τοῖσίν γε θεός. V. 4. ἔπορε. P. Nr. 138. V. 2. δῶκε Κλιτοῖ. P. Nr. 139. V. 2. πόλιν. P.

Digitized by Google

ἠελίου, τοῦ δ' ἤτοι ὅσον τρία πέμπτα δρόμοιο,
τετράκι τόσσον· ἔπειτα μεθ' Ἑσπερίην ἅλα λείπει.

140. ΑΛΛΟ.

Ζεῦ μάκαρ, ἦ ῥά τοι ἦ ῥα τάδ' εὔαδεν, οἷα γυναῖκες
Θεσσαλικαὶ παίζουσι; μαραίνεται ὄμμα Σελήνης
ἐκ μερόπων· ἴδον αὐτός. ἔην δ' ἔτι νυκτὸς ἐπ' ἠῶ
δὶς τόσον, ὅσσα δύ' ἕκτα καὶ ἕβδομον οἰχομένοιο.

[P] 141. ΑΛΛΟ.

Ἀπλανέων ἄστρων, παρόδους τ' ἐπὶ τοῖσιν ἀλητῶν
εἰπέ μοι, ἡνίκ' ἐμὴ χθιζὸν ἔτικτε δάμαρ·
ἦμαρ ἔην, ὅσσον τε δὶς ἕβδομον ἀντολίηθεν,
ἑξάκι τόσσον ἔην Ἑσπερίην ἐς ἅλα.

142. ΑΛΛΟ.

Ἔγρεσθ', Ἠριγένεια παρέδραμε· πέμπτον, ἔριθοι,
λειπομένης τρισσῶν οἴχεται ὀγδοάτων.

143. ΑΛΛΟ.

Σύρτιος ἐν τενάγεσσι πατὴρ θάνεν, ἐκ δ' ἄρ' ἐκείνης
πέντε τάλαντα φέρων ἤλυθε ναυτιλίης
οὗτος ἀδελφειῶν προφερέστατος· ἦ γὰρ ἔμοιγε
δῶκεν ἑῆς μοίρης διπλάσιον τριτάτων
δοιῶν, ἡμετέρης δὲ δύ' ὄγδοα μητέρι μοίρης
ὤπασεν, οὐδὲ δίκης ἤμβροτεν ἀθανάτων.

---

Nr. 143. V. 5. μητέρῃ. P.

144. ΑΛΛΟ.

α. Ἁ βάσις ἂν πατέω σὺν ἐμοὶ βάρος ἅλικον ἕλκει·
β. χἁ κρηπὶς σὺν ἐμοὶ τόσσα τάλαντα φέρει.
α. ἀλλ' ἐγὼ οἶος ἅπαξ τὰν σὰν βάσιν ἐς δὶς ἀνέλκω.
β. κἠγὼ μοῦνος ἐὼν σὰν βάσιν ἐς τρὶς ἄγω.

[P] 145. ΑΛΛΟ.

α. Δός μοι δέκα μνᾶς, καὶ τριπλοῦς σοῦ γίνομαι.
β. κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ πενταπλοῦς.

146. ΑΛΛΟ.

α. Δός μοι δύο μνᾶς, καὶ διπλοῦς σοῦ γίνομαι.
β. κἀγὼ λαβὼν σοῦ τὰς ἴσας, σοῦ τετραπλοῦς.

147. ΑΛΛΟ.

Ὅμηρος Ἡσιόδῳ ἐρωτήσαντι, πόσων τὸ τῶν Ἑλλήνων πλῆθος τὸ κατὰ τῆς Ἰλίου στρατεῦσαν.

Ἑπτ' ἔσσαν μαλεροῦ πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ
πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα·
τρὶς δὲ τριηκόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί.

---

Nr. 145. V. 2. πενθαπλοῦς. P. Nr. 146. V. 1. σοι. P. Nr. 147. V. 1. ἔσαν. P.

148. Χρησμὸς δοθεὶς Ἰουλιανῷ τῷ ἀποστάτῃ, ὅτε τὴν γενέθλιον ἡμέραν ἐπιτελῶν ἑαυτοῦ διῆγε περὶ Κτησιφῶντα ἀγῶνας ἱππικοὺς θεώμενος.

Γηγενέων ποτὲ φῦλον ἐνήρατο μητίετα Ζεύς,
ἔχθιστον μακάρεσσιν Ὀλύμπια δώματ' ἔχουσιν,
Ῥωμαίων βασιλεὺς Ἰουλιανὸς θεοειδής,
μαρνάμενος Περσῶν πόλιας καὶ τείχεα μακρὰ
ἀγχεμάχων διέπερσε πυρί, κρατερῷ τε σιδήρῳ,
νωλεμέως δ' ἐδάμασσε καὶ ἔθνεα πολλὰ καὶ ἄλλα,
ὅς ῥα καὶ ἑσπερίων ἀνδρῶν ἀλμανικὸν οὖδας
ὑσμίναις πυκναῖσιν ἑλὼν ἀλάπαξεν ἀρούρας.

149. Χρησμὸς δοθεὶς Τιμοκράτῃ Ἀθηναίῳ ἐρωτήσαντι περὶ ἐπιληψίας.

Μεῖζον ἀειράμενος κεφαλῆς ποιμνήϊον εὐλήν,
μηκάδος ἀγρονόμοιο δέμας περικάββαλε μήλου,
ἑρπηστὰν πολύπλαγκτον ἐὐῤῥήνου ἀπὸ κόρσης.

150. Χρησμὸς δοθεὶς τῷ Αἰγεῖ ἐρωτήσαντι περὶ παιδοποιΐας.

Ἀσκοῦ τὸν προὔχοντα ποδαιόνα, φίλτατε λαῶν,
μὴ λῦσαι, πρὶν γοῦνον Ἀθηναίων ἀφικέσθαι.

---

Nr. 148. V. 7. Fort. Ἀλαμανικὸν cum Schaefero.

# XV.

# ΣΥΜΜΙΚΤΑ ΤΙΝΑ.



Digitized by Google

Digitized by Google

# XV.

## ΣΥΜΜΙΚΤΑ ΤΙΝΑ.

[P] 1. *Εἰς τὸ ποίημα Ἰωάννου Γραμματικοῦ.*

Ζωοτύπος τόλμησεν ἃ μὴ θέμις εἰκόνι γράψαι,
εὐεπίη δ' ἐτέλεσσε φύσιν ψευδήμονα κόσμου,
ἐγγὺς ἀληθείης τε· γραφὴ δ' ἐψεύσατο πάντα.

2. *Ἐπίγραμμα εἰς τὴν πόλιν τῶν Μύρων τῆς Λυκίας.*

Καλλιχόρου τόδε τεῖχος ἀνηέξησε πόληος
Μαρκιανὸς σκηπτοῦχος, ὑπ' ἐννεσίῃσιν ὑπάρχου
Παλλαδίου, θεσμοῖς τε περίφρονος Ἀρτεμεῶνος·
ἡ δὲ πόλις παλίνορσον ἑὸν χρόνῳ εὕρατο μέτρον.

---

Nr. 1. V. 3. Fort. γε.

3. *Εἰς τὸν τάφον τοῦ ἁγίου Νικάνδρου.*

Ἑπτά με καὶ δέκα παῖδ' ἐτέων ἀκέραιον, ἄχραντον,
Νίκανδρον πιστὸν μάρτυρα θῆκε θεός.

[P] 4. *Ἐπιτύμβιον ἐν Νικαίᾳ πλησίον τῆς λίμνης ἐν τῷ ὀβελίσκῳ.*

Αὔχησον, Νίκαια, τὸν οὐρανομάκεα τύμβον,
καὶ τὰν ἀελίῳ γείτονα πυραμίδα·
ἃ τὸν ἐνὶ ζωοῖς βεβοαμένον ἱεροφάνταν
κρύπτει ἀμετρήτῳ σάματι θαπτόμενον.
ἔστι Σακέρδωτος τόσον ἠρίον, ἔστι Σεουήρας
μνᾶμα τόδ', ᾧ γείτων οὐρανός, οὐκ ἀΐδας.

5. *ΑΛΛΟ.*

Οὐράνιον τὸ μνᾶμα καὶ ἁ χρυσήλατος ἀκτὶς
ἀνδρός, ἴσον βιότῳ καὶ τάφον εὑραμένου,
ἄστροις γειτονέοντα· φέρει δ' ὅσον οὔτινα τύμβος
ἀνέρα, τὸν τελετᾶς οὐρανίδος ζάκορον,
τὸν πάτραν ἐριποῦσαν ἀπὸ χθονὸς ὑψώσαντα,
τὸν φρενὸς ἢ γλώσσας ἄκρα λαχόντα γέρα·
ᾧ πέρι δηρίσαντο καὶ ἁ νέκυν ἐν πυρὶ θεῖσα
Ἀτθίς, χ' ἁ κόλποις ὀστέα δεξαμένα.

---

Nr. 4. V. 6. τόδε. P.

6. ΑΛΛΟ.

Τοῦτο Σακέρδωτος μεγάλου μέγα σῆμα τέτυκται
παμφαές, Ἀσκανίης ἄστρον ἐπιχθόνιον,
ἀκτίνων ἀντωπόν· ὁ δ' ἥσυχος ἔνδοθι δαίμων
κεῖται, ὁ καὶ πάτρῃ δεξιτερὴν τανύσας
κεκλιμένῃ, καὶ στέμμα περὶ κροτάφοισιν ἀνάψας
ἱερὸν ἐκ πατρὸς παιδὶ νεαζόμενον·
ὃν πάτρη μὲν ἔδεκτο φίλον νέκυν, ἥγνισε δ' Ἀτθὶς
πυρκαϊῇ, σέβεται δ' Ἑλλὰς ἅπασα πόλις.

7. ΑΛΛΟ.

Ἁ πάτρα Νίκαια, πατὴρ δέ μοι ὀργιοφάντας
οὐρανοῦ, αὐτὰρ ἐγὼ κλαρονόμος τελετᾶς·
οὗτος ὁ καὶ σεισθεῖσαν ἐμὰν πόλιν ἐξ ἀΐδαο
ῥυσάμενος δώροις Αὐσονίοιο Διός·
θνάσκω δ' Ἀσκανίας μὲν ἀπόπροθεν, ἠδ' ἐπὶ γαίας
Ἀτθίδος ἀρχεγόνου πυρκαϊᾶς ἐπέβαν·
Μνᾶμα δέ μοι περίσαμον ὁμώνυμος εὕρατο πάππῳ
παῖς ἐμός· ἁ δ' ἀρετὰ λεύσει ἐς ἀμφοτέρους.

8. ΑΛΛΟ.

Εἷς γάμος ἀμφοτέρων, ξυνὸς βίος, οὐδὲ θανόντων
μνήμονες ἀλλήλων ἔσχον ἀποικεσίην·

. . .

---

Nr. 7. V. 5. εἰδ' (ἠ) ἐπί. P. Nr. 8. V. 1. εἰ γάμος. P.

Digitized by Google

καὶ σὲ μὲν αἱ τελεταί τε καὶ ἄῤῥενος ἔργα, Σακέρδως,
[Ϝ] κηρύξει βιότου πάντας ἐς ἠελίους·
αὐτὰρ ἐμὲ Σευουήραν ἀνήρ, τέκος, ἤθεα, κάλλος,
τῆς πρὶν Πηνελόπης θήσει ἀριδοτέρην.

## 9. ΚΥΡΟΥ ΠΟΙΗΤΟΥ.

*Ἐγκώμιον εἰς Θεοδόσιον τὸν βασιλέα.*

Πάντα μὲν Αἰακίδαο φέρεις ἀριδείκετα ἔργα,
νόσφι λοχαίου ἔρωτος· ὀϊστεύεις δ᾽ ἅτε Τεῦκρος,
ἀλλ᾽ οὔ τοι νόθον ἦμαρ· ἔχεις δ᾽ ἐρικυδέα μορφήν,
τὴν Ἀγαμεμνονέην, ἀλλ᾽ οὐ φρένας οἶνος ὀρίνει·
ἐς πινυτὴν δ᾽ Ὀδυσῆϊ δαΐφρονι πάντα σ᾽ ἐΐσκω,
ἀλλὰ κακῶν ἀπάνευθε δόλων· Πυλίου δὲ γέροντος
ἶσον ἀποστάζεις, βασιλεῦ, μελιηδέα φωνήν,
πρὶν χρόνον ἀθρήσεις τριτάτης ψαύοντα γενέθλης.

## 10. ΑΛΛΟ.

Μάρτυρας ἐν πελάγει πόθεν εὕρομεν, εἴπατε πέτραι,
εἴπατε κύματα μακρά, πόσαις ἐμάχοντο θυέλλαις·
ναῦς ἐάγη, πέσεν ἱστός, ἔδυ τρόπις, ὤλετο φόρτος.

---

V. 3. καὶ σεῦ μὲν τε. P. σακέρδων. P. V. 5. Fort. αὐτὰρ ἀνὴρ ἐμὲ Σευ. τέκος. Nr. 9. V. 2. λοχαίου καὶ ἔρ. P. V. 5. πᾶν σε
αι
εΐσκω. P. Nr. 10. V. 2. θυέλλης. P.

### 11. Ἐν τῷ Κάστρῳ τῆς Λίνδου ἐν τῷ
### δ
### ἄκρον.

Ἐσσὶ μὲν ἀρχαίης Λίνδου κλέος, Ἀτρυτώνη,
    δεξαμένης ὄχθοις οὐρανίοισιν ἄκρας·
μέζων δ' αὖ κατὰ γαῖαν ἐπηράτου ἔπλετο φήμη
    παρθενικῆς, γλαυκῶν πλησαμένης χαρίτων·
νῦν γὰρ Ἀθηναίης βοάᾳ θαλερὸς ἔμεν οἶκος,
    χῶρος καρπογόνους δερκόμενος σκοπέλους·
ἄνθεμα γὰρ τόδε λαρὸν Ἀθηναίῃ πόρε Νιρεὺς
    ἀγλαόχαρτος, ἑῶν νειμάμενος κτεάνων·
κρέσσον καὶ Κελεοῖο καὶ Ἰκαρίοιο κατ' αἶαν
    πάμπαν ἀεξῆσαι τὴν πιαρὴν ἐλάην.

### 12. ΛΕΟΝΤΟΣ ΦΙΛΟΣΟΦΟΥ.

Εὖγε τύχη με ποεῖς, ἀπραγμοσύνη μ' Ἐπικούρου
ἡδίστη κομέουσα, καὶ ἡσυχίῃ τέρπουσα·
τίπτε δέ μοι χρέος ἀσχολίης πολυκηδέος ἀνδρῶν;
οὐκ ἐθέλω πλοῦτον, τυφλὸν φίλον, ἀλλοπρόσαλλον·
οὐ τιμάς· τιμαὶ δὲ βροτῶν ἀμενηνὸς ὄνειρος·
ἔῤῥε μοι, ὦ Κίρκης δνοφερὸν σπέος· αἰδέομαι γὰρ

---

Nr. 11. V. 2. λεξαμένης et ἄκροις. P. V. 3. μέζον. P. Ib. ἐπήρατος ἔπλεο φήμης. P. V. 4. πλησαμένη. P. V. 5. Fort. θαλερᾶς.
      ει                                                  ε
V. 7. νηρεύς. P. V. 10. πιερὴν ἐλαίην. P. Nr. 12. V. 6. κηρκ. P.

οὐράνιος γεγαὼς βαλάνους ἅτε θηρίον ἔσθειν·
μισῶ Λωτοφάγων γλυκερὴν λιπόπατριν ἐδωδήν·
Σειρήνων τε μέλος καταγωγὸν ἀναίνομαι ἐχθρόν·
ἀλλὰ λαβεῖν θεόθεν ψυχοσσόον εὔχομαι ἄνθος,
[|] μῶλυ, κακῶν δοξῶν ἀλκτήριον· ὦτα δὲ κηρῷ
ἀσφαλέως κλείσας προφυγεῖν γενετήσιον ὁρμήν.
ταῦτα λέγων τε γράφων τε πέρας βιότοιο κιχείην.

### 13. ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΣΙΚΕΛΟΥ.

εἰς τὸν θρόνον αὐτοῦ.

Εἰ μέν τις σοφὸς ἐσσί, ἐφέζεο, εἰ δέ γε Μούσης
δακτύλῳ ἀκροτάτῳ ἀπεγεύσαο * * * *
πόῤῥω στῆθ' ἀπ' ἐμεῖο, καὶ ἄλλοθι δίζεο ἕδρην·
κλισμὸς ἐγὼ φορέειν σοφίης ἐπιΐστορας ἄνδρας.

### 14. ΘΕΟΦΑΝΟΥΣ.

ἀντίγραφον πρὸς ταῦτα.

Καὶ τί γε σῆμα φέρεις ἐξαίρετον, ὦ κενεαυχές,
ὅττι σοφοὺς φιλέεις μέν, ἀμούσους δ' ἀνταπερύκεις;
οὐ χρυσὸν φορέεις, οὐκ ἄργυρον, οὐκ ἐλέφαντα·
ἀλλά σε τεκτονίης ἡγήτορες ἄνδρες ἔτευξαν,
Καλλιόπης ἀΐδρεις καὶ ἀπευθέες Ἡφαίστοιο,
πᾶσι σοφοῖς τ' ἀσόφοις τε δορήϊον ἔμμεναι ἕδρην.

---

Nr. 13. V. 4. κλεισμός et φορίαν. P. Nr. 14. V. 6. δωρήϊον (ο superscript over ω). P.

## 15. ΚΩΝΣΤΑΝΤΙΝΟΥ ΤΟΥ ΡΟΔΙΟΥ.

εἰς τὸν σταυρὸν ὃν ἀνέθετο ἐν τῇ Λίνδῳ.

*Κωνσταντῖνος Ἰωάννου ἠδ' Εὐδοκίης με*
*τέκνον ἔτευξεν ἀγακλυτὸν, ὃν Λίνδος μεγάλαυχος*
*ἤνεγκε προτέρης γενεῆς προφερέστερον ἄνδρα,*
*καὶ πιστὸν θεράποντα σκηπτούχοιο Λέοντος·*
*ᾧ Ἀλέξανδρος ἀδελφεὸς ἠδ' υἱὸς Κωνσταντῖνος*
*σκῆπτρα Βυζαντιάδος συμμεθέπουσι Ῥώμης.*
*σκῆπτρα θεοστήρικτα συνεξαγέτην βασιλείης.*

## 16. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸν αὐτὸν σταυρόν.

*Ἅπαν μὲν ἔργον οὐ πρὸς ἀξίαν πέλει*
*τὴν σὴν, ὑπερθαύμαστε κόσμου δεσπότι·*
*ἔργων γὰρ ἔξω καὶ φθορᾶς τὸ σὸν κλέος·*
*τὸ δ' ἔργον, ὃ προσῆξέ σοι Κωνσταντῖνος,*
*ἐπάξιον πέφυκεν, εἰ δὴ, Παρθένε,*
*τοῦ σοῦ τόκου τὸ σκῆπτρον εὖ διαγράφει,*
*καὶ σαρκὸς αὐτοῦ τὸ τρισόλβιον πάθος.*

## 17. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὴν εἰκόνα τῆς Θεοτόκου.

*Εἰ ζωγραφεῖν τις ἤθελέν σε, Παρθένε,*
*ἄστρων ἐδεῖτο μᾶλλον ἀντὶ χρωμάτων,*
*ἵν' ἐγράφης φωστῆρσιν, ὡς φωτὸς πύλη·*
*ἀλλ' οὐχ ὑπείκει ταῦτα τοῖς βροτῶν λόγοις·*

Digitized by Google

ἃ δ᾽ οὖν φύσις παρέσχε καὶ γραφῆς νόμος,
τούτοις παρ᾽ ἡμῶν ἱστορῇ τε καὶ γράφῃ.

[P] 18. Εἰς τὴν τάβλαν.

Ὀστέα σου, Παλάμηδες, ἔδει πρισθέντα γενέσθαι,
ὄργανα τῆς τέχνης τῆς ἀπὸ τοῦ πολέμου·
ἐν πολέμοις γὰρ ἐὼν ἕτερον πόλεμον κατέδειξας
ἐν ξυλίνῳ σταδίῳ τὸν φιλικὸν πόλεμον.

19. Εἴς τινα ἰατρὸν Ἀσκληπιάδην.

Ἀσκληπιάδης ἰατρὸς ἥρπασεν κόρην·
μετὰ τὴν φθορὰν δὲ τοῦ γάμου τῆς ἁρπαγῆς,
ἐκάλεσε πλῆθος εἰς τὸν αὐθέντην γάμον
ἀνδρῶν χορευτῶν καὶ γυναικῶν ἀθλίων·
τῆς οἰκίας δὲ συμπεσούσης ἑσπέρας,
πάντες κατηνέχθησαν εἰς ᾅδου δόμους,
νεκροὶ δ᾽ ἔκειντο περὶ νεκροῖς πεπτωκότες·
νυμφῶν δὲ σεμνός, ἐκ ῥόδων πεπλεγμένος,
ἐκ τῶν φόνων ἔσταξεν αἷμα φοίνιον.

20. ΠΑΛΛΑΔΑ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Σιγῶν παρέρχου τὸν ταλαίπωρον βίον
αὐτὸν σιωπῇ τὸν βίον μιμούμενος,
λαθὼν δὲ καὶ βίωσον, εἰ δὲ μή, θανών.

---

Nr. 19. V. 2. μετὰ δὲ τὴν φθ. P. V. 3. ἐκάλεσεν. P.

Digitized by Google

## 21. ΣΥΡΙΓΞ ΘΕΟΚΡΙΤΟΥ.

Οὐδενὸς εὐνάτειρα, μακροπτολέμοιο δὲ μάτηρ
μαίας ἀντιπέτροιο θοὸν τέκεν ἰθυντῆρα,
οὐχὶ κεράσταν, ὅν ποτ' ἐθρέψατο ταυροπάτωρ,
ἀλλ' οὗ πιλιπὲς αἶθε πάρος φρένα τέρμα σάκους
οὔνομ' ὅλον, δίζωον, ὃς τᾶς Μέροπος πόθον
κούρας γηρυγόνας ἔχε τᾶς ἀνεμώκεος,
ὃς μούσᾳ λιγὺ πᾶξεν ἰοστεφάνῳ
ἕλκος, ἄγαλμα Πόθοιο πυρισμαράγου,
ὃς σβέσεν ἀνορέαν ἰσαυδέα
παπποφόνου Τυρίας τε * * *
ᾧ τόδε τυφλοφόρων ἐρατὸν
πᾶμα πάρις θέτο Σιμιχίδας·
ψυχὰν ἀεί, βροτοβάμων,
στήτας οἶστρε σαέττας,
κλοποπάτωρ, ἀπάτωρ,
λαρνακόγυιε χαίροις,
ἁδὺ μελίσδοις
ἔλλοπι κούρᾳ,
καλλιόπᾳ,
νηλεύστῳ.

---

Nr. 21. V. 5. F. ὃ τᾶς. c. Salm. V. 6. γηρυγόνος. P. ἀνεμώδεος. Schol. V. 11. Τυρίαν τ' ἐῤῥύσατο. Salm. V. 16. χάροις. Salm.

[P] 25. ΒΩΜΟΣ (Δ.)

Ὁλὸς οὔ με λιβρὸς ἱρῶν
Λιβάδεσσιν, οἷα κάλχη,
Ὑπὸ φοινίησι τέγγει·
Μαύλιες δ' ὕπερθε πέτρης Ναξίας θοούμεναι
Παμάτων φίδοντο Πανός· οὐ στροβίλῳ λιγνύϊ
Ἶξος εὐώδης μελαίνει τρεχνέων με Νυσίων.
Ἐς γὰρ βωμὸν ὁρῇς με, μήτε * ταγχούρου
Πλίνθοις, μήτ' Ἀλύβης παγέντα βώλοις·
Οὐδ' ὃν Κυνθογενὴς ἔτευξε φύτλη
Λαβὼν τὰ μηκάδων κέρα,
Λισσαῖσιν ἀμφὶ δειράσιν
Ὅσσαι νέμονται Κυνθίαις,
Ἰσόῤῥοπος πέλοιτό μοι.
Σὺν Οὐρανοῦ γὰρ ἐκγόνοις
Εἰνάς μ' ἔτευξε γηγενής·
Τάων δ' ἀείζωον τέχνην
Ἔνευσε πάλμυς ἀφθίτων.
Σὺ δ' ὦ πιὼν κρήνηθεν, ἣν
Ἶνις κόλαψε Γοργόνος,
Θύοις τ' ἐπισπένδοις τέ μοι
Ὑμηττιαδᾶν πολὺ λαροτέρην
Σπονδήν· ἄδην ἴθι δὴ θαρσέων
Ἐς ἐμὴν τεῦξιν· καθαρὸς γὰρ ἐγὼ
Ἰὸν ἱέντων τεράων, οἷα κέκευθ' ἐκεῖνος
Ἀμφὶ Νέαις Θρηϊκίαις, ὃν σχεδόθεν Μυρίνης
Σοί, Τριπάτωρ, πορφυρέου φὼρ ἀνέθηκε κριοῦ.

---

Nr. 25. V. 2. κάχλην. P. V. 4. ναύλιες. P. V. 5. παμμάτων [ου] φειδοντο [ται]. P. στροβίλων. Ib. V. 7. μήτε τ' αὔρου. Br. c. Salm. Fort. μήτε Λουρίου. V. 10. λαβόν. P. V. 23. εἰς ἐμήν. P.

[P]

## 26. ΔΟΣΙΑΔΑ ΒΩΜΟΣ (Β.)

*Εἰμάρσενός με στήτας*
*πόσις μέροψ, δίςαβος*
*τεῦξ', οὐ σποδεύνας, ἶνις ἐμπούσας, μόρος*
*Τεύκροιο βοῦτα, καὶ κυνὸς τεκνώματος,*
*Χρύσας δ' αἴτας· ἆμος ἔψανδρα*
*τὸν γυιόχαλκον οὖρον ἔῤῥαισεν,*
*ὃν ὠ' πάτωρ δίςευνος*
*μόρησε ματρόῤῥιπτος.*
*ἐμὸν δὲ τεῦγμ' ἀθρήσας*
*Θεοκρίτοιο κτάντας,*
*Τριεσπέροιο καύτας,*
*θώϋξεν αἰν' αἴξας·*
*χάλεψε γάρ νιν ἰῷ*
*σύργαστρος ἐκδὺς γῆρας.*
*τὸν δ' ἐλλινεῦντ' ἐν ἀμφικλύστῳ*
*Πανός τε ματρὸς εὐνέτας, φὼρ*
*δίζωος, ἶνίς τ' ἀνδροβρῶτος ἰλιοραίστας*
*ἦρ' ἀρδίων ἐς Τευκρίδ' ἄγαγον τρίπορθον.*

---

Nr. 26. V. 1. *εἰμ' ἄρσενος*. P. V. 3. *ἐμπούσσας*. P. V. 5. *δ'* om. P. V. 6. *ουνον*. P. V. 7. *ἀπάτωρ*. P. V. 8. *ματροριπνος*. P. V. 11. *τριςέσπεριοιο καύστας*. P. V. 12. *θώϋξεν ἀνιΰξας*. P. *ἄϊξεν ἀνϊΰξας*. Schol. *ἄϊξεν αἰν' ἰΰξας*. Br. c. Salm. V. 14. *σύγγαστρος*. P. V. 15. *τὸν δ' ἀεὶ λινεῦντ'*. P. V. 17. *ἀνδρόβροτος ἰναραίσταν*. P.

[P] 28. ΑΝΑΣΤΑΣΙΟΥ ΤΟΥ ΤΡΑΥΛΟΥ.

εἰς τὴν σταύρωσιν.

Χριστὸς ἐπὶ σταυροῖο πεπαρμένος ἦν ποτε γυμνός,
μεσσόθι, ληϊστῆρας ἔχων ἑκάτερθε παγέντας·
καί μιν ἀκηχεμένη λιγέως ὀλοφύρετο μήτηρ
λύγδην ἱσταμένη, καὶ παρθένος ἄλλος ἑταῖρος·
καί μιν καγχαλόωντες ἐνείκεον ἄνδρες ὁδῖται,
κάμμορον, οὐτιδανὸν καὶ ἀνάλκιδα φῶτα καλεῦντες·
καί οἱ διψαλέῳ στυγερὴν ὤρεξε ποτῆτα
λαὸς Ἰουδαίων ἀθεμίστιος, αἱματοχάρμης,
ὄξεϊ κιρνάμενος πικρὸν δέπας, εἶδαρ ὀλέθρου.
ἀλλ' ἀκέων τετάνυστο καὶ οὐκ ἀπαμύνετο Χριστός,
Χριστὸς, ὁ καὶ Μαρίης καὶ ἀθανάτου πατρὸς υἱός.
ταῦτα τίς ἀνθρώπων ἀγέρωχος νήπιος ἔσται
κῆρι λογιζόμενος καὶ ὁρώμενος ἐν πινάκεσσιν;
ἀνδρὸς γὰρ θεός ἐστιν· ὁ δὲ βροτὸς οὐδὲν ἀρείων.

29. ΙΓΝΑΤΙΟΥ.

εἰς ἑαυτόν.

Ἰγνάτιος πολλῇσιν ἐν ἀμπλακίῃσι βιώσας,
ἔλλιπον ἡδυφαοῦς ἠελίοιο σέλας·
καὶ νῦν ἐς δνοφερὸν κατακεύθομαι ἐνθάδε τύμβον·
οἴμοι ψυχή μου μακρὰ κολαζόμενος·

Nr. 29. V. 4. Fort. ψυχῆς — κολαζομένης. aut ψυχὴν — κολαζόμενος.

ἀλλά, κριτά, βροτός εἰμι, σὺ δ᾽ ἄφθιτος ἠδ᾽ ἐλεήμων,
ἵλαθι, ἵλαθί μοι ὄμματι εὐμενέϊ.

30. ΤΟΥ ΑΥΤΟΥ.

εἰς Παῦλον μοναχόν.

Σῶμα μέν, οὐκ ἀρετὴν ὅδε τύμβος νέρθε κέκευθε
κεδνοῦ Παύλοιο· ὥςτε γὰρ ἠελίου
τοῦ γ᾽ ἀπαστράπτουσιν ἀριπρεπέες λόγοι αἴγλῃ
ἠδ᾽ ἀρετῆς κάματοι εὖχος ἔχουσι μέγα.
εἴκοσιν ἐς λυκάβαντας ἰδὲ τρισὶν ἤρκεσε γαίῃ,
ζήσας δ᾽ αὖ λογικῶς ἐσθλὸν ἔδεκτο τέλος.

31. ΤΟΥ ΑΥΤΟΥ.

εἰς Σαμουὴλ διάκονον τῆς μεγάλης ἐκκλησίας.

Ἱερὸς ἐν λαγόνεσσι Σαμουὴλ κεύθεται γαίης,
πάντα λιπὼν βιότου, ὅσσα περ εἶχε, θεῷ·
καὶ νῦν εὐσεβέων εἰςέδραμε φαίδιμον αὐλήν,
δόξαν ὑπὲρ μεγάλων ληψόμενος καμάτων.

32. ΑΡΕΘΑ ΔΙΑΚΟΝΟΥ.

ἐπὶ τῇ ἰδίᾳ ἀδελφῇ.

Εἰ καί μοι λύχνον αἰῶνος ταχὺς ἔσβεσεν οἶτος,
λαμπάδος ἡμετέρης φέγγος ἀμερσάμενος,

---

Nr. 30. V. 1. δὲ κεύθει. P. V. 5. Fort. ἐπὶ τρισίν. Nr. 31. V. 1. Fort. κεύθεται αἴῃς.

ἀλλὰ γὰρ ἤρκεσε λύσσῃ ἑῆς κακότητος ὁ δαίμων
    πᾶσαν ἐμὴν τελέσαι στυγναλέην βιοτήν·
θῆκέ με χήρην ἐγγὺς ἀειρομένου μοι μαζοῦ,
    οὐδέ τι τέκνον ἴδον καλὸν ἀθυρόμενον,
ἡδὺ τοκεῦσιν ἄγαλμα παραγκάς· τῷ κέ με πένθος
    ἄτλητον μαλερῷ τηκεδόνος δάμασε
πυρσῷ· τρεῖς πρὸς ἐείκοσ᾽ ἐποιχομένην ἐνιαυτοὺς
    ἔσχεν τύμβος ὅδε ξεινοδόκος γενέθλης
ἡμετέρης· ἔνθ᾽ ὕφηνον γενετῆρες ἅπασι
    γηραλέοι θρῆνον τειρόμενοι πολιήν,
[Ρ] καὶ χορὸς εὐγενέων στενάχοντες ἀδελφῶν Ἄννης,
    μνώμενοι ἀσπασίως εἴδεος ἀγλαΐης.

## 33. ΤΟΥ ΑΥΤΟΥ.

Τὸ σεμνὸν ἦθος, τὴν φιλάνθρωπον χάριν,
τὸ πρὸς τεκόντας τοῦ τρόπου πειθήνιον·
αἰδὼς γὰρ ἦγεν ὡς διδάσκαλος μέγας
παρών· τὰ λαμπρὰ τοῦ γένους γνωρίσματα,
καὶ τὰς φιλάνδρους ἐνστάσεις πρὸς τὴν φύσιν
κλονοῦσαν ἀστήρικτα χηρίας βίᾳ,
ἀντεμπλοκῇ δὲ κρειττόνων ἡττωμένης·
ἀφ᾽ ὧν τὰ φαιδρὰ στέμματα πρὸς ἀξίαν

Nr. 32. V. 3. λύσση. P. κακ. δαίμων. P. V. 7. Fort. παρ᾽ ἀγκάσι. V. 8. δάμασσε. P. V. 10. ἔσχε. P. Nr. 33. V. 2. πιθήνιον. P. V. 8. ἀφῶν. P.

μονάνδρον ἐκλάμποντα· τὴν παῤῥησίαν
Ἄννης ἀμαυροῦν οὐ δυνήσεται τάφος·
πάντων γὰρ αὐτῆς οὐδαμῶς λάθοι στόμα
καλὸν φερούσης νουθέτημα τῷ βίῳ·
εἰ δ' οὖν λαλήσει καὶ γραφὴ πάντων πλέον
αὕτη παρ' αὐτὸν τὸν τάφον τεθειμένη.

### 34. ΤΟΥ ΑΥΤΟΥ.

εἰς Φεβρωνίαν μοναχήν.

Δρᾶσέ τι που καὶ νερτερίοις μετὰ πνεύμασιν ἀνδρῶν
Φεβρωνία ἑῆς σύμβολα συμπαθίης,
εἴτις κἀνθάδε χρειὼ ἀφνειῶν ἠὲ πένησιν·
οὐδὲ γὰρ οὐδ' αὐτοῦ τῆς σφετέρης ἐς ἅπαν
ψυχαὶ λήθονται μεγαθύμων εὐεργείης·
ἔμπα γε μὴν αἰὼν ἡμετέρου βιότου
ἄρκιος εἴη θεῖον ἐπιπροέμεν θάλαμόν μιν
Χριστοῦ, τόν ῥα νυὸν σεμνὸν ἕλ' ἀφθορίης,
λαμπάδ' ἐλαίῳ φαιδρύνουσα φιλοπτωχείης·
ἧς τόδε σῆμ' ὕπνου γνῶθι πολυχρονίου.

### 35. ΘΕΟΦΑΝΟΥΣ.

Εἴθε κρίνον γενόμην ἀργεννάον, ὄφρα με χερσὶν
ἀρσαμένη μᾶλλον σῆς χροτιῆς κορέσῃς.

---

V. 13. Fort. εὖ δ' οὖν λαλ. Nr. 34. V. 2. συμπαθείης. P. V. 3. Fort. ἦκε πένησιν. V. 7. Fort. ἐπὶ προίμεν. V. 10. σῆμα. P. Nr. 35. V. 2. Fort. σῇ χροιῇ κομίσῃς.

36. ΚΟΜΗΤΑ.

Ἀμφοτέρας, πολύμυθε, Κομητᾶς σεῖο ἀθρήσας
κύρβεις γηραλέας, θῆκεν ἀειθαλέας.

37. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς τὴν ὑπ' αὐτοῦ διωρθωμένην Ὁμήρου ποίησιν.

Σεῖο βίβλους, μεγάθυμε, Κομητᾶς, Ὅμηρε, δὺ ἄρδην
εὑρὼν γηραλέας τεύξατο ὁπλοτέρας.
γῆρας ἀποξύσας γὰρ ἀριπρεπέας γε βροτοῖσι
πάμπαν ἔδειξε σοφοῖς, οἷσιν ἔνεστι νόος.

[P] 38. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸ αὐτό.

Εὑρὼν Κομητᾶς τὰς Ὁμηρείους βίβλους
ἐφθαρμένας τε κοὐδαμῶς ἐστιγμένας,
στίξας διεσμίλευσα ταύτας ἐντέχνως,
τὴν σαπρίαν ῥίψας μὲν ὡς ἀχρηστίαν,
γράψας δ' ἐκαινούργησα τὴν εὐχρηστίαν.
ἐντεῦθεν οἱ γράφοντες οὐκ ἐσφαλμένως
μαθητιῶσιν, ὡς ἔοικε μανθάνειν.

---

Nr. 36. V. 1. ἀμφοτέραις. P. ἀθροίσας. P. Nr. 37. V. 3. ἀρ. μερόπεσσι. Br. Nr. 38. V. 4. Fort. ῥύψας. V. 5. δ' om. P.

Digitized by Google

## 39. ΙΓΝΑΤΙΟΥ.

Ἰγνάτιος τάδε τεῦξε σοφῆς πολύϊδρις ἀοιδῆς·
Ἰγνάτιος τάδε τεῦξεν, ὃς ἐς φάος ἤγαγε τέχνην
γραμματικήν, λήθης κευθομένην πελάγει.

## [?] 40. ΚΟΜΗΤΑ.

Ὁππότε Παμμεδέοντος ἐῢς παῖς, ὄρχαμος ἀνδρῶν,
ὃς πᾶσι θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
ἀσπαλιεῦσιν ἔειπε μαθητῇσιν πινυτοῖσι·
Λάζαρος ἄμμι φίλος φάος ἔλλιπεν ἠελίοιο,
οὔποτε τόφρα ἔκευθε τεθρήμερον ἄπλετος αἶα·
ἀλλὰ νέον μὲν ἔκειτο, μεμυκὼς χείλεα σιγῇ,
σῶμά τε πυθόμενος καὶ ὀστέα καὶ χρόα καλόν,
ψυχὴ δ' ἐκ ῥεθέων πταμένη ἄϊδόςδε κατῆλθεν,
ἄῤῥητον δὲ φίλοισι γόον καὶ πένθος ἔθηκεν,
ἐκ πάντων δὲ μάλιστα Μάρθῃ Μαρίῃ τε ὁμαίμοις
αὐτοκασιγνήταις·
ψυχῆς γὰρ φιλέεσκον ἀδελφεόν, ὅςτις ἔκειτο
μεσσόθι ἐν νεκάδεσσιν ἀκήριος, ἄψυχος αὔτως·
τοῦ πότμον γοόωσαι ὀδυρόμεναί τε ἐθρήνευν,
σήματος ἔκτοθι οὖσαι καὶ ἑζόμεναι περὶ τύμβῳ.
ὄφρα μὲν ἠέλιος τρίτον ἤνυσεν ἦμαρ ἐς αἶαν,
τόφρα δὲ καὶ νεκάδεσσιν ἐτήκετο Λάζαρος ἄπνους·
ἀλλ' ὅτε δὴ τετράτη ῥοδοειδὴς ἤλυθεν ἠώς,

Nr. 39. V. 1. σοφίης. P. Nr. 40. V. 17. Fort. κἀν. c. Schaefero.

καὶ τότε δὴ προσέειπε θεοῖο πάϊς μεγάλοιο
εὐπατρίδῃσι φίλοις, οἳ πὰρ θεοῦ ἐκγεγάαντο,
οἵ πέρι μὲν βουλῇ μερόπων, πέρι δ' ἦον ἁπάντων,
οὓς ἔκπαγλ' ἐφίλησ', ὡσεὶ θεοῦ υἷας ἐόντας,
ὧν καὶ ἀπὸ γλώσσης γλυκίων μέλιτος ῥέεν αὐδή,
καὶ ἔπεα νιφάδεσσιν ἐοικότα χειμερίῃσιν·
Ὦ φίλοι ἀγλαόθυμοι, ἐπεὶ θεὸς ἐστὶ σὺν ἄμμι·
κέκλυτέ μευ πάντες τε ὅσοι θεὸν ἔνδον ἔχοιτε,
ὄφρ' εἴπω τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει·
δεῦτ' ἐς Βιθανίην, ὅθι Λάζαρον ἔλλιπε θυμός,
σπεύσομεν ὄττι τάχιστα, ὄφρα κλέος ἄφθιτον ἴσχω·
ἀνστῆσαι γὰρ ἄπειμι καὶ ἐξ Ἐρέβευς φίλον ἀμόν·
τὸν δ' αὖτε προσέειπον εὐήνορες ἀγλαόθυμοι·
Ἴομεν, ὡς ἐκέλευσας, ἀλίγκιε πατρὸς ἑοῖο.
[P] εἶπον, ὁ δ' αὐτὸς ἔβαινε, καὶ ἡγεμόνευε μαθηταῖς.
σπερχόμενοι δ' εἵποντο μετ' ἴχνια Παμμεδέοντος,
ἠΰτε ἔθνεα εἶσι μελισσάων ἀδινάων,
πέτρης ἐκ γλαφυρῆς αἰεὶ νέον ἐρχομενάων,
ὣς εἵποντο ὄπισθε θεοῦ μεγάλοιο μαθηταί.
Ἀλλ' ὅτε δή ῥ' ἱκάνοντο πολυκλαύστῳ ἐνὶ τύμβῳ,
καὶ τότε δὴ λίσσοντο κυλινδόμεναι παρὰ ποσσὶν
Χριστὸν παμμεδέοντα κασίγνηταί τε ἔται τε·
γουνούμεσθά σ', ἄναξ, ὃς ὑπέρτατα δώματα ναίεις,
Λάζαρον ὃν φιλέεσκες ἐν ἔγκασιν, ἤλυθεν ᾅδου·

---

V. 20. φίλοισιν. P. V. 21. Fort. ἦθος. V. 22. ἐφίλησεν. P. θεούς. Ib. V. 29. Fort. τάχιστ'. P. V. 31. προσέειπεν. P. V. 41. γουνούμεθα. P. V. 42. Fort. ἦλθεν ἐς.

Digitized by Google

εἰ γὰρ τῇδε ἔησθα, ἄναξ νεκάδων αϊδωνεὺς
οὔποτ' ἔτλη μεῖναι, ἐπειὴ πολὺ φέρτατος ἦσθα·
ἀλλὰ καὶ ὣς ἐθέλων δύνασαι πάλιν αὐτὸν ἐγεῖραι.
Καὶ τότε δὴ ὕψιστος ἀμείβετο· ποῦ ποτε κεῖται;
Αἳ δ' ἄρα ὀτραλέως ἀνὰ ἠρίον ἤλυθον ἄρδην·
δὴ τότ' ἐπεὶ δεῖξαν θεὸν αὐτὸν σῆμά τε λυγρόν,
εἶπεν ἄρ', ὁρμηθέντες ἀείρατε πῶμα τάφοιο.
Αὐτὰρ ἐπεὶ ἀνέῳκτο τάφος λυγρὸς φθιμένοιο,
καὶ τότε δὴ μέγ' ἄϋσε θεὸς μέγας ἠδὲ καὶ ἀνήρ·
Λάζαρε, δεῦρ' ἴθι, κλῦθι ἐμεῖο, καὶ ἔρχεο ἔξω.
Ὣς οὖν νεκρὸς ἄκουσε θεοῖο λόγου φήσαντος,
λυσιμελὴς ἀνέδυ πεπεδημένος * ἔμπνους ὀδωδώς.
τὸν καὶ ἰδόντες ὅμιλοι ἐθάμβεον ἐν κραδίῃσιν,
αὐτίκα δ' ὑψιμέδοντα ἐκύδαινον θεὸν ἐσθλόν,
καὶ κλέος ἄφθιτον ἔσχε πατὴρ μέγας υἱὸς ἔῆος.

[¶] Ἐπιγράμματα ἐν τῷ ἱπποδρόμῳ Κωνσταντινουπόλεως. εἰς τὰς εἰκόνας τῶν ἡνιόχων.

41. ΑΔΗΛΟΝ.

Χάλκεος οὐκ ἔστης βιόων ἔτι Κωνσταντῖνε·
ἀντὶ γὰρ εὐκλείης ἤρκεσε βασκανίη.

---

V. 44. ἐπεὶ. P. V. 48. Fort. λίθον αὐτόν.

ὡς δ' ἔθανες, τότε δή σε πόλις ξύμπασα γεραίρει
 οἷς δύναται· τί δὲ σῆς ἄξιον ἱπποσύνης;

42. ΑΛΛΟ.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
 ᾤχετο σὺν κείνῳ πᾶν κλέος ἡνιόχων.

43. ΑΛΛΟ.

Χρύσεον ἀντ' ἀρετῆς γέρας ἔπρεπε Κωνσταντίνῳ,
 οὐδένα τῆς τέχνης τοῖον ἐνεγκαμένης.
κουρίζων νίκησεν ἀειδομένους ἐλατῆρας·
 γηραλέος δὲ νέους δεῖξεν ἀφαυροτέρους.
[ὅντινα καὶ μετὰ πότμον ἀειμνήστῳ τινὶ θεσμῷ
 δῆμος καὶ βασιλεὺς ἵδρυσαν ἀζόμενοι.]

44. ΑΛΛΟ.

Πορφύριον λήξαντα πόνων, λύσαντά τε μίτρην,
 καὶ πάρος ἀντ' ἀρετῆς χάλκεον ἑσταότα,
τῇδε πάλιν χαλκοῦ τε καὶ ἀργύρου ἱδρύσαντο.
 πρέσβυ, σὺ δὲ ξείνων ἀντιάσας γεράων,
δήμου μὲν βοόωντος ἕλες παλίνορσον ἱμάσθλην,
 ὡς δὲ δὶς ἡβήσας μαίνεαι ἐν σταδίοις.

---

Nr. 43. V. 5. 6. om. P. ἵδρυσαν. Vulgo. Nr. 44. V. 3. ἱδρύσατο πρέσβυν. P.

45. ΑΛΛΟ.

Τοῦτον Ἰουλιανὸν Τυρίης βλάστημα τιθήνης,
ἡνίοχον πολλοὺς δεξάμενον στεφάνους,
αὐτὸς ἄναξ, καὶ δῆμος ἅπας, καὶ πότνια βουλὴ
ἔστησαν, κοινὴν ψῆφον ἐνεγκάμενοι.
γήραϊ γὰρ σταδίων ἀπεπαύσατο· πᾶσι δὲ φίλτρον
κάλλιπεν, οἷσιν ἔρως ἤνθεεν ἀντιπάλων.

[P] 46. ΑΛΛΟ.

Πορφύριος Λίβυς οὗτος· ἀεθλοφόρων δ᾽ ἐπὶ δίφρων
μοῦνος παντοδαποὺς ἀμφέθετο στεφάνους.
Νίκη γὰρ βασίλεια μεριζομένη κατὰ δῆμον,
χρώμασι καὶ πέπλοις συμμετάβαλλε τύχας·
ἥρμοσε δ᾽ αὐτὸν ἔχειν Βενέτοις πλέον, ἔνθεν ἀνέστη
χρύσεος ἀντ᾽ ἀρετῆς, χάλκεος ἀντὶ πόνων.

47. ΑΛΛΟ.

Τοῦτον Πορφύριον Λιβύη τέκε, θρέψε δὲ Ῥώμη,
Νίκη δ᾽ ἐστεφάνωσεν ἀμοιβαδὸν, ἄλλοτ᾽ ἀπ᾽ ἄλλου
χρώματος, ἄκρα φέροντα καρήατι σύμβολα νίκης.
πολλάκι γὰρ δήμους ἠλλάξατο, πολλάκι πώλους·
νῦν μὲν ἐὼν πρῶτος, τοτὲ δ᾽ ὕστατος, ἄλλοτε μέσσος,
πάντας ὁμοῦ νίκησε καὶ ἀντιπάλους καὶ ἑταίρους.

---

Nr. 46. V. 3. δήμους. Br.

Digitized by Google

48. ἌΛΛΟ.

Ἶσον κυδαλίμοις, Φαυστινιάδη τε καὶ αὐτῷ
    Φαυστίνῳ, βασιλεὺς στῆσε παρ' ἀμφοτέροις
Οὐράνιον, τῷ δῆμος ἀμετρήτους διὰ νίκας
    ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.
Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον,
    τούσδε τις εἰσορόων φθέγξεται ἀτρεκέως.

49. ἌΛΛΟ.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ' ἀέθλων
    τοῦτο γέρας Νίκη δὶς πόρεν, Οὐράνιε,
δήμου ἀπ' ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν Βενέτοις
μὲν
    εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων.
παύσαο δ' ἱπποσύνης· Πρασίνων δέ σε δίζετο δῆμος·
    τοῖσδε σὺ μὲν νίκην· σοὶ δ' ἄρα σοὶ τὸ γέρας.

[T] 50. ἌΛΛΟ.

Ὤφελες ὅπλα φέρειν, σὺ φάρεα ταῦτα κομίζειν,
    οἷς ἐλατὴρ τελέθων, καὶ πολέμου πρόμαχος.
εὖτε γὰρ ἦλθεν ἄνακτος ὀλεσσιτύραννος ἀκωκή,
    καὶ σὺ συναιχμάζων ἥψαο τευμαχίης·
καὶ διπλῆς, πολύμητι, σοφῶς ἐδράξαο νίκης,
    τῆς μέν, πωλομάχου, τῆς δέ, τυραννοφόνου.

61, ἈΡΧΙΟΥ.

εἰς τὸν Καλυδώνιον σῦν.

Χάλκεος, ἀλλ' ἄθρησον ὅσον θράσος ἄνυσε κάπρου
ὁ πλάστας, ἔμπνουν θῆρα τυπωσάμενος,
χαίτας αὐχενίους πεφρικότα, θηκτὸν ὀδόντα
βρύχοντα, γλήναις φρικτὸν ἱέντα σέλας,
ἀφρῷ χείλεα πάντα δεδευμένον· οὐκέτι θάμβος,
εἰ λογάδα στρατιὴν ὤλεσεν ἡμιθέων.

Τέλος.

Digitized by Google

Digitized by Google

# ANTHOLOGIAE PLANUDEAE
## EPIGRAMMATA
QUAE
IN CODICE PALATINO
NON
REPERIUNTUR.

Digitized by Google

Digitized by Google

# ANTHOLOGIA PLANUDEA.

## EX LIBRO PRIMO.

### 1. ΔΑΜΑΓΗΤΟΥ.

Οὔτ᾽ ἀπὸ Μεσσάνας, οὔτ᾽ Ἀργόθεν εἰμὶ παλαιστάς·
Σπάρτα μοι Σπάρτα κυδιάνειρα πατρίς.
κεῖνοι τεχνάεντες· ἐγὼ γε μέν, ὡς ἐπέοικε
τοῖς Λακεδαιμονίων παισί, βίᾳ κρατέω.

### 2. ΣΙΜΩΝΙΔΟΥ.

Γνῶθι Θεόκριτον προσιδών, τὸν Ὀλυμπιονίκαν
παῖδα, παλαισμοσύνας δεξιὸν ἡνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ᾽ οὐ χείρονα μορφῆς,
ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

---

Nr. 2. V. 3. μορφᾶς. Ex.

48. ΑΛΛΟ.

Ἶσον κυδαλίμοις, Φαυστινιάδῃ τε καὶ αὐτῷ
Φαυστίνῳ, βασιλεὺς στῆσε παρ᾽ ἀμφοτέροις
Οὐράνιον, τῷ δῆμος ἀμετρήτους διὰ νίκας
ἠγαθέου Πέλοπος θῆκεν ἐπωνυμίην.
Ὡς αἰεὶ τὸν ὁμοῖον ἄγει θεὸς ὡς τὸν ὁμοῖον,
τούςδε τις εἰςορόων φθέγξεται ἀτρεκέως.

49. ΑΛΛΟ.

Σοὶ καὶ ἀεθλεύοντι μόνῳ, λήξαντί τ᾽ ἀέθλων
τοῦτο γέρας Νίκη δὶς πόρεν, Οὐράνιε,
δήμου ἀπ᾽ ἀμφοτέροιο. σὺ γὰρ πάρος ἐν Βενέτοις μὲν
εἴκοσι κυδίστων στέμμα φέρεις ἐτέων.
παύσαο δ᾽ ἱπποσύνης· Πρασίνων δέ σε δίζετο δῆμος·
τοῖςδε σὺ μὲν νίκην· οἳ δ᾽ ἄρα σοὶ τὸ γέρας.

[P] 50. ΑΛΛΟ.

Ὤφελες ὅπλα φέρειν, οὐ φάρεα ταῦτα κομίζειν,
ὡς ἐλατὴρ τελέθων, καὶ πολέμων πρόμαχος.
εὖτε γὰρ ἦλθεν ἄνακτος ὀλεσσιτύραννος ἀκωκή,
καὶ σὺ συναιχμάζων ἥψαο ναυμαχίης·
καὶ διπλῆς, πολύμητι, σοφῶς ἐδράξαο νίκης,
τῆς μέν, πωλομάχου, τῆς δέ, τυραννοφόνου.

Digitized by Google

61. ἈΡΧΙΟΥ.

εἰς τὸν Καλυδώνιον σῦν.

Χάλκεος, ἀλλ' ἄθρησον ὅσον θράσος ἄνυσε κάπρου
ὁ πλάστας, ἔμπνουν θῆρα τυπωσάμενος,
χαίτας αὐχενίους πεφρικότα, θηκτὸν ὀδόντα
βρύχοντα, γλήναις φρικτὸν ἰέντα σέλας,
ἀφρῷ χείλεα πάντα δεδευμένον· οὐκέτι θάμβος,
εἰ λογάδα στρατιὴν ὤλεσεν ἡμιθέων.

Τέλος.

Digitized by Google

Digitized by Google

# ANTHOLOGIAE PLANUDEAE
## EPIGRAMMATA
QUAE
IN CODICE PALATINO
NON
REPERIUNTUR.

Digitized by Google

Digitized by Google

# ANTHOLOGIA PLANUDEA.

## EX LIBRO PRIMO.

### 1. ΔΑΜΑΓΗΤΟΥ.

Οὔτ' ἀπὸ Μεσσάνας, οὔτ' Ἀργόθεν εἰμὶ παλαιστάς·
    Σπάρτα μοι Σπάρτα κυδιάνειρα πατρίς.
κεῖνοι τεχνάεντες· ἐγώ γε μέν, ὡς ἐπέοικε
    τοῖς Λακεδαιμονίων παισί, βίᾳ κρατέω.

### 2. ΣΙΜΩΝΙΔΟΥ.

Γνῶθι Θεόκριτον προσιδών, τὸν Ὀλυμπιονίκαν
    παῖδα, παλαισμοσύνας δεξιὸν ἡνίοχον,
κάλλιστον μὲν ἰδεῖν, ἀθλεῖν δ' οὐ χείρονα μορφῆς,
    ὃς πατέρων ἀγαθῶν ἐστεφάνωσε πόλιν.

Nr. 2. V. 3. μορφᾶς. Εκ.

Digitized by Google

### 3. ΤΟΥ ΑΥΤΟΥ.

Ἴσθμια καὶ Πυθοῖ Διοφῶν ὁ Φίλωνος ἐνίκα,
ἅλμα, ποδωκείην, δίσκον, ἄκοντα, πάλην.

### [P] 4. ΑΔΗΛΟΝ.

Τίνας ἂν εἴποι λόγους Ἕκτωρ τιτρωσκόμενος ὑπὸ Ἑλλήνων.

Βάλλετε νῦν μετὰ πότμον ἐμὸν δέμας, ὅττι καὶ αὐτοὶ
νεκροῦ σῶμα λέοντος ἐφυβρίζουσι λαγωοί.

### 5. ΑΛΚΑΙΟΥ.

Ἄγαγε καὶ Ξέρξης Πέρσαν στρατὸν Ἑλλάδος ἐς γᾶν,
καὶ Τίτος εὐρείας ἄγαγ' ἀπ' Ἰταλίας.
ἀλλ' ὁ μὲν Εὐρώπᾳ δοῦλον ζυγὸν αὐχένι θήσων
ἦλθεν· ὁ δ' ἀμπαύσων Ἑλλάδα δουλοσύνας.

### 6. ΑΔΗΛΟΝ.

Κοίρανος Εὐρώπας, ὁ καὶ εἰν ἀλὶ καὶ κατὰ χέρσον
τόσσον ἄναξ θνατῶν, Ζεὺς ὅσον ἀθανάτων,
Εἰνοδίᾳ τὰ λάφυρα κατὰ θρασέος Κιροάδα
καὶ τέκνων. καὶ ὅλας γᾶς ἔθετ' Ὀδρυσίδος,
υἱὸς ἐϋμμελία Δαματρίου· ἁ δὲ Φιλίππου
δόξα πάλαι θείων ἄγχι βέβακε θρόνων.

---

Nr. 6. V. 4. Ὀδριάδος. Vulgo.

Digitized by Google

[P] 7. ΑΛΚΑΙΟΥ.

Σύμφωνον μαλακοῖσι κερασσάμενος θρόον αὐλοῖς
    Δωρόθεος γοεροὺς ἔπνεε Δαρδανίδας,
καὶ Σεμέλας ὠδῖνα κεραύνιον, ἔπνεε δ' ἵππου
    ἔργματ', ἀειζώων ἁψάμενος Χαρίτων·
μοῦνος δ' εἰν ἱεροῖσι Διωνύσοιο προφήταις
    Μώμου λαιψηρὰς ἐξέφυγε πτέρυγας,
Θηβαῖος γενεήν, Σωσικλέος· ἐν δὲ Λυαίου
    νηῷ φόρμιγγα θήκατο καὶ καλάμους.

8. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκέτ' ἀνὰ Φρυγίην πιτυοτρόφον, ὥς ποτε, μέλψεις,
    κροῦμα δι' εὐτρήτων φθεγγόμενος δονάκων,
οὐδ' ἐνὶ σαῖς παλάμαις Τριτωνίδος ἔργον Ἀθάνας,
    ὡς πρίν, ἐπανθήσει, νυμφογενὲς Σάτυρε.
δὴ γὰρ ἀλυκτοπέδαις σφίγγῃ χέρας, οὕνεκα Φοίβῳ,
    θνατὸς ἐών, θείαν εἰς ἔριν ἠντίασας.
λωτοὶ δ' οἱ κλάζοντες ἴσον φόρμιγγι μελιχρόν,
    ὤπασαν ἐξ ἀέθλων οὐ στέφος, ἀλλ' ἀΐδαν.

[P] 9. ΑΔΗΛΟΝ.

Ὦ γαστὴρ κυνόμυια, δι' ἣν κόλακες παράσιτοι
    ζωμοῦ πωλοῦσιν θεσμὸν ἐλευθερίης.

---

Nr. 7. V. 2. ἔννεπε. Br. V. 8. φόρμιγγας corr. Passow. φορβειὰς Graef. Nr. 8. V. 2. δι' ἐντρήτων et διὰ τρητῶν. Vulgo. Fort. κρούμασιν εὐτρήτων θελγόμενος δ. Nr. 9. V. 2. πωλοῦσι. Plan. Br.

[P] 10. ΘΕΟΓΝΙΔΟΣ.

Ὤ μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

[P] 11. ΕΡΜΟΚΡΕΟΝΤΟΣ.

Ἵζευ ὑπὸ σκιερὰν πλάτανον, ξένε, τάνδε παρέρπων,
ἇς ἁπαλῷ Ζέφυρος πνεύματι φύλλα δονεῖ,
ἔνθα με Νικαγόρας κλυτὸν εἵσατο Μαιάδος Ἑρμᾶν,
ἀγροῦ καρποτόκου ῥύτορα καὶ κτεάνων.

12. ΑΔΗΛΟΝ.

Εἰς ἄγαλμα Πανὸς ἐπὶ πηγῆς ἱσταμένου.

Ἔρχεο καὶ κατ' ἐμὰν ἵζευ πίτυν, ἃ τὸ μελιχρὸν
πρὸς μαλακοὺς ἠχεῖ κεκλιμένα Ζεφύρους.
ἠνίδε καὶ κρούνισμα μελισταγές, ἔνθα μελίσδων
ἡδὺν ἐρημαίοις ὕπνον ἄγω καλάμοις.

13. ΠΛΑΤΩΝΟΣ.

Ὑψίκομον παρὰ τάνδε καθίζεο φωνήεσσαν
φρίσσουσαν πυκινοῖς κῶμον ὑπὸ Ζεφύροις,
καί σοι καχλάζουσιν ἐμοῖς παρὰ νάμασι σύριγξ
θελγομένων ἄξει κῶμα κατὰ βλεφάρων.

---

Nr. 10. Βισαντίνου. edd. vett. V. 2. ἀπονεισσομένης. Vulg. Nr. 12. V. 1. ἔρχευ. Br. Nr. 13. V. 2. κῶνον. corr. Scaliger.

Digitized by Google

14. ΖΗΝΟΔΟΤΟΥ.

Τίς γλύψας τὸν Ἔρωτα παρὰ κρήνῃσιν ἔθηκεν;
    οἰόμενος παύσειν τοῦτο τὸ πῦρ ὕδατι.

[?] 15. ΑΔΗΛΟΝ.

Ὁ πρὶν ἀεὶ Βρομίου μεμεθυσμένος οἰνάδι πηγῇ,
    σύντροφος εὐάσταις, αἰγοπόδης Σάτυρος
διχθάδιον κατὰ κῶλον ἀλυκτοπέδῃσι λυγωθείς,
    ἔντεα παιδὶ θεᾶς χαλκοτορεῖ Θέτιδος,
οὐ σοφὸν ἐκ τέχνας ἀσκῶν πόνον, ἀλλὰ πενιχρὰν
    ἐργάτιν ἐκ μόχθων ῥυόμενος βιοτάν.

15.* ΑΔΗΛΟΝ.

α. Ποῦ σοι κεῖνα κύπελλα, λαφύστιε; ποῦ καλὰ θύρσων
    πήγματα καὶ κῶμοι, σκιρτοπόδη Σάτυρε;
τίς σε παρὰ σμίλαισι, ποδίκροτον ἅμμα καθάψας,
    θήκατο, τὸν Βρομίῳ σπάργαν' ἑλιξάμενον;
β. ἀσχήμων ἔνδεια, καὶ ἁ πάντολμος ἀνάγκα,
    ἅ με παρ' Ἡφαίστῳ θῆκε μαριλοπόταν.

16. ΑΔΗΛΟΝ.

Πᾶν τὸ περιττόν, ἄκαιρον· ἐπεὶ λόγος ἐστὶ παλαιός,
    ὡς καὶ τοῦ μέλιτος τὸ πλέον ἐστὶ χολή.

---

Nr. 15.* V. 5. αἰσχρήμων. Vulgo.

[ᴾ] 17. ἈΔΕΣΠΟΤΟΝ.

Εἰς Πανὸς ἄγαλμα.

Ὦ Πάν, φερβομέναις ἱερὰν φάτιν ἄπυε ποίμναις,
κυρτὸν ὑπὲρ χρυσέων χεῖλος ἱεὶς δονάκων,
ὄφρ' αἱ μὲν λευκοῖο βεβριθότα δῶρα γάλακτος
οὔθασιν ἐς Κλυμένου πυκνὰ φέρωσι δόμον,
σοὶ δὲ καλῶς βωμοῖσι παριστάμενος πόσις αἰγῶν
φοίνιον ἐκ λασίου στήθεος αἷμ' ἐρύγῃ.

[ᴾ] 18. ἈΔΗΛΟΝ.

Τέρπε δανειζόμενος τὴν σὴν φρένα· τοῖς δὲ δανεισταῖς
κάλλιπε τὴν ψῆφον δακτυλοκαμψόδυνον.

---

## EX LIBRO SECUNDO.

---

19. ἈΔΗΛΟΝ.

Εἰρήνη πάντεσσιν, ἐπίσκοπος εἶπεν ἐπελθών·
πῶς δύναται πᾶσιν, ἣν μόνος ἔνδον ἔχει;

20. ἈΜΜΙΑΝΟΥ.

Ῥήτορα Μαῦρον ἰδὼν ἀπεθαύμασα, τὸν βαρύχειλον,
τέχνης ῥητορικῆς δαίμονα λευκοφόρον.

---

Nr. 17. V. 3. βεβριθόσι. Br. Nr. 18. V. 2. δάκτυλι καμψοδύνῳ. Vulgo.

Digitized by Google

## EX LIBRO TERTIO.

### 21. ΑΔΗΛΟΝ.

*Εἰς Νικόλαον Πατριάρχην Ἀλεξανδρείας.*

Ὃς βασιλεῖς ἐδάμασσε, καὶ ἠνορέην κατέπαυσεν
ἀντιπάλων, πατέρων εἵνεκεν εὐνομίης,
οὗτος ὑπὸ σμικρῷ κατάκειται σήματι τῷδε,
ἀρχιερεὺς Χριστοῦ Νικόλεως γεγαώς.
ἀλλ' ἀρετὴ πολύολβος ἐπέπτατο πείρατα κόσμου,
καὶ ψυχὴ μακάρων ἀμφιπολεῖ θαλάμους.
τοίην γὰρ βιοτὴν ποθέεσκεν ἐὼν ἐπὶ γαίης,
σῶμα καλὸν πιέσας κυδαλίμοις καμάτοις.

### 22. ΑΔΗΛΟΝ.

Στήλην εὐνομίης, καὶ σωφροσύνης ἀνάθημα,
εἰκόνα Νικόλεω στήσατο Γρηγόριος.

### 23. ΣΙΜΩΝΙΔΟΥ.

Εἰπόν, τίς, τίνος ἐσσί, τίνος πατρίδος, τί δὲ νικῇς;
Κασμύλος, Εὐαγόρου, Πύθια πύξ, Ῥόδιος.

### 24. ΤΟΥ ΑΥΤΟΥ.

Μίλωνος τόδ' ἄγαλμα καλοῦ καλόν, ὅς ποτε Πίσῃ
ἑπτάκι νικήσας, ἐς γόνατ' οὐκ ἔπεσεν.

Digitized by Google

### 25. ΦΙΛΙΠΠΟΥ.

*Τὸν ἐκ Σινώπης εἰ κλύεις Δαμόστρατον,*
*πίτυν λαβόντα τὴν κατ' Ἰσθμὸν ἑξάκις,*
*τοῦτον δέδορκας· οὗ κατ' εὔγυρον πάλην*
*ψάμμος πεσόντος νῶτον οὐκ ἐσφράγισεν.*
*Ἴδ' αὖ πρόσωπον θηρόθυμον, ὡς ἔτι*
*σώζει παλαιὰν τὰν ὑπὲρ νίκας ἔριν.*
*λέγει δ' ὁ χαλκός· ἁ βάσις με λυσάτω,*
*χὡς ἔμπνοος νῦν ἕβδομον κονίσομαι.*

### 26. ΣΙΜΩΝΙΔΟΥ.

*Δίρφυος ἐδμήθημεν ὑπὸ πτυχί· σῆμα δ' ἐφ' ἡμῖν*
*ἐγγύθεν Εὐρίπου δημοσίᾳ κέχυται,*
*οὐκ ἀδίκως· ἐρατὴν γὰρ ἀπωλέσαμεν νεότητα,*
*τρηχείην πολέμου δεξάμενοι νεφέλην.*

### 27. ΑΔΕΣΠΟΤΟΝ.

*Εἰς Σαρδανάπαλον.*

*Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, τὸν θυμὸν ἄεξε,*
*τερπόμενος θαλίῃσι· θανόντι σοι οὔτις ὄνησις.*
*καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.*
*τόσσ' ἔχω, ὅσσ' ἔφαγον, καὶ ἐφύβρισα, καὶ μετ' ἔρω-*
*τος*

---

Nr. 25. V. 4. Fort. *ψαμμον* c. Schaefero. V. 8. *κονίσσομαι.* Codd. nonnulli.

τέρπν' ἐδάην· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισιν.

[ꝑ] 28. ΑΔΕΣΠΟΤΟΝ.

*Εἰς ἀνδριάντα Προνόμου τοῦ Θηβαίου αὐλητοῦ.*

Ἑλλὰς μὲν Θήβας προτέρας προὔκρινεν ἐν αὐλοῖς·
Θῆβαι δὲ Πρόνομον παῖδα τὸν Οἰνιάδου.

[ꝑ] 29. ΑΔΕΣΠΟΤΟΝ.

Εἴ τινα πώποτ' ἄκουσας Ἐνυαλίου φίλον υἱόν,
καὶ κρατερὸν δυνάμει, καὶ θαρσαλέον πολεμίζειν,
Ἕκτορα τὸν Πριάμοιο νόει μοῦνον γεγενῆσθαι,
ὅν ποτε μαρνάμενον Διομήδης ἔκτανεν ἀνήρ,
Αἴας πρὸ Τρώων, Δαναοῖσι μάχην προφέροντα·
ὃν καὶ τῇδε θανόντα τάφος ὅδε ἀμφικαλύπτει.

30. ΓΕΜΙΝΟΥ.

Χείρ με Πολυκλείτου Θασίου κάμεν, εἰμὶ δ' ἐκεῖνος
Σαλμωνεύς, βρονταῖς ὃς Διὸς ἀντεμάνην,
ὅς με καὶ εἰν Ἀΐδῃ πορθεῖ πάλι, καί με κεραυνοῖς
βάλλει, μισῶν μου κοὐ λαλέοντα τύπον.
ἴσχε, Ζεῦ, πρηστῆρα, μέθες χόλον· εἰμὶ γὰρ ἄπνους
ὁ σκοπός· ἀψύχοις εἰκόσι μὴ πολέμει.

---

Nr. 29. V. 5. μάχης. Vulgo. Nr. 30. V. 1. Πολυγνώτου. corr. Grot.

Digitized by Google

### 31. ΣΠΕΥΣΙΠΠΟΥ.

Σῶμα μὲν ἐν κόλποις κατέχει τόδε γαῖα Πλάτωνος·
ψυχὴ δ' ἰσοθέων τάξιν ἔχει μακάρων.

## EX LIBRO QUARTO.

### 32. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα Γαβριηλίου ὑπάρχου ἐν Βυζαντίῳ.

Καὶ Φαέθων γραφίδεσσιν ἔχει τύπον· ἀλλὰ χαράσσει
ἠέλιον τέχνη, κρυπτομένων φαέων.
καὶ σὲ σοφὲ πτολίαρχε γράφει Γαβριήλιε τέχνη
ἐκτὸς σῶν ἀρετῶν, ἐκτὸς ὅλων καμάτων.

### 33. ΤΟΥ ΑΥΤΟΥ.

Εἰς εἰκόνα Καλλινίκου Κουβικουλαρίου.

Κάλλεϊ μὲν νικᾷς κραδίης τόσον, ὅσσον ὀπωπῆς.
τῆς γὰρ ἐπωνυμίης ἄξια πάντα φέρεις.
αἰεὶ δ' ἐν θαλάμοισι κατευνάζων βασιλῆα
πᾶσαν ὑποσπείρεις οὔασι μειλιχίην.

### 34. ΘΕΟΔΩΡΗΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Εἰς τὴν εἰκόνα Φιλίππου ἄρχοντος ἐν Σμύρνῃ.

Ἐκ Φιλαδελφείης ξεινήϊα ταῦτα Φιλίππῳ.
φράζεο πῶς μνήμων ἡ πόλις εὐνομίης.

### 35. ἈΔΕΣΠΟΤΟΝ.

Μνήμονες οἱ Κᾶρες πολέων εὐεργεσιάων
Παλμᾶν ἰθυδίκην στῆσαν ἀγασσάμενοι.

### 36. ἈΓΑΘΙΟΥ.

Εἰς εἰκόνα τινὸς σοφιστοῦ ἐν Περγάμῳ δοθεῖσαν ἐπὶ πρεσβείᾳ πολιτικῇ.

Τὰς μὲν ὑπὲρ μύθων τε καὶ εὐτροχάλοιο μελίσσης
εἰκόνας ἰλήκοις δηρὸν ὀφειλόμενος·
νῦν δ' ὑπὲρ ἱδρώτων τε καὶ ἀστυόχοιο μερίμνης
τῇδέ σε τῇ γραφίδι στήσαμεν, Ἡράκλαμον.
εἰ δ' ὀλίγον τὸ γέρας, μὴ μέμφεο· τοῖςδε γὰρ ἡμεῖς
αἰεὶ τοὺς ἀγαθοὺς ἄνδρας ἀμειβόμεθα.

### 37. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ ΤΟΥ ΜΙΝΩΤΑΥΡΟΥ.

Πέτρον ὁρᾷς χρυσέοισιν ἐν εἵμασιν· αἱ δὲ παρ' αὐτὸν
ἀρχαί, ἀμοιβαίων μάρτυρές εἰσι πόνων.
ἀντολίης πρώτη, καὶ διχθαδίη μετὰ τήνδε
κόχλου πορφυρέης, καὶ πάλιν ἀντολίης.

---

Nr. 35. V. 2. Πάλματον. Vulgo. Nr. 37. V. 4. κόλχου. Vulgo. πορφυρέου. Br.

38. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

Εἰς εἰκόνα Συνεσίου Σχολαστικοῦ ἐπὶ νίκῃ
μάχης ἀνατεθεῖσαν ἐν Βηρυτῷ.

Οὐχὶ παρ' Εὐρώτᾳ μόνον ἀνέρες εἰσὶ μαχηταί,
οὐδὲ παρ' Ἰλισσῷ μνάμονές εἰσι δίκας.
ὡς ἀπὸ τᾶς Σπάρτας, ὡς αὐτᾶς ἀστὸν Ἀθάνας
Συνέσιον Νίκα καὶ Θέμις ἠγάσατο.

39. ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰς εἰκόνα Λογγίνου ὑπάρχου ἐν Βυζαντίῳ.

Νεῖλος, Περσίς, Ἴβηρ, Σόλυμοι, δύσις, Ἀρμενίς, Ἰνδοί,
καὶ Κόλχοι σκοπέλων ἐγγύθι Καυκασίων,
καὶ πεδία ζείοντα πολυσπερέων Ἀγαρηνῶν
Λογγίνου ταχινῶν μάρτυρές εἰσι πόνων.
ὡς δὲ ταχὺς βασιλῆϊ διάκτορος ἤεν ὁδεύων,
καὶ ταχὺς εἰρήνην ὤπασε κευθομένην.

40. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰς εἰκόνα Κρίσπου.

Γείτονες οὐ τρισσαὶ μοῦνον Τύχαι ἔπρεπον εἶναι,
Κρίσπε, βαθυπλούτου σῆς ἕνεκεν κραδίης,
ἀλλὰ καὶ αἱ πάντων πᾶσαι· τί γὰρ ἀνδρὶ τοσῷδε
ἀρκέσει εἰς ἑτάρων μυρίον εὐφροσύνην;
νῦν δέ σε καὶ τούτων κρέσσων ἐπὶ μεῖζον ἀέξοι
Καῖσαρ. τίς κείνου χωρὶς ἄρηρε τύχη;

### 41. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

*Εἰς εἰκόνα ἀνατεθεῖσαν ἐν τοῖς Πλακιδίας ὑπὸ τῶν τοῦ νέου σκρινίου.*

Θωμᾶν, παμβασιλῆος ἀμεμφέα κηδεμονῆα,
ἄνθεσαν οἱ τὸ νέον τάγμα μετερχόμενοι,
θεσπεσίης ἄγχιστα συνωρίδος, ὄφρα καὶ αὐτῇ
εἰκόνι χῶρον ἔχῃ γείτονα κοιρανίης.
αὐτὸς γὰρ ζαθέοιο θρόνους ὕψωσε μελάθρου,
πλοῦτον ἀεξήσας, ἀλλὰ μετ' εὐσεβίης.
εὔγνωμον τὸ πόνημα. τί γὰρ γραφὶς οἶδεν ὀπάσσαι,
εἰ μὴ τοῖς ἀγαθοῖς μνῆστιν ὀφειλομένην.

### 42. ΑΛΛΟ.

*Εἰς εἰκόνα Θεοδοσίου ἄρχοντος ἐν Σμύρνῃ.*

Τὸν μέγαν ἐν βουλαῖς Θεοδώσιον, Ἀσίδος ἀρχόν,
εἰκόνι μαρμαρέῃ στήσαμεν Ἀνθύπατον,
οὕνεκα Σμύρναν ἔγειρε, καὶ ἤγαγεν ἐς φάος αὖθις,
ἔργοις θαυμασίοις πολλὸν ἀειδομένην.

### 43. ΑΛΛΟ.

*Εἰς εἰκόνα Δαμοχάριδος ἐν Σμύρνῃ.*

Δαμόχαρι κλυτόμητι, δικασπόλε, σοὶ τόδε κῦδος,
ὅττι γε τὴν Σμύρναν μετὰ λοίγια πήματα σεισμοῦ,
ἐσσυμένως πονέων, αὖθις πόλιν ἐξετέλεσσας.

---

Nr. 41. ἐν τοῖς Πλακίδου. Vulgo.

Digitized by Google

44. ΑΔΗΛΟΝ.

Πᾶσα φύσις, βασίλεια, τεὸν κράτος αἰὲν ἀείδει,
οὕνεκα δυσμενέων στίχας ὤλεσας, οὕνεκα φέγγος
ἀνδράσι σωφρονέουσι κακὴν μετὰ δῆριν ἀνῆψας,
ἱππολύτης δ' ἐκέδασσας ὁμόγνια πήματα χάρμης.

45. ΑΛΛΟ.

Εἰς εἰκόνα Θεοδώρου ἄρχοντος.

Ῥητῆρες Θεόδωρον ἐμέλλομεν εἰς ἓν ἰόντες
χρυσείαις γραφίδεσσιν ἀειμνήστοισι γεραίρειν,
εἰ μὴ χρυσὸν ἔφευγε καὶ ἐν γραφίδεσσιν ἐόντα.

46. ΑΔΗΛΟΝ.

Νικήταν δορίτολμον ἄναξ, στρατός, ἄστεα, δῆμος
στῆσαν ὑπὲρ μεγάλων Μηδοφόνων καμάτων.

47. ΑΛΛΟ.

Τὸν μέγαν ἐν πολέμοισι, τὸν ἄτρομον ἡγεμονῆα,
Νικήταν ἀρετῶν εἵνεκεν οἱ Πράσινοι.

48. ΑΛΛΟ.

Πρόκλος ἐγὼ Παύλου, Βυζάντιος, ὃν περὶ δῶμα
τηλεθάοντα Δίκης βασιλήϊος ἥρπασεν αὐλή,
ὄφρ' εἴην στόμα πιστὸν ἐρισθενέος βασιλῆος.
ἀγγέλλει δ' ὅδε χαλκός, ὅσον γέρας ἐστὶν ἀέθλων.

Digitized by Google

καὶ τὰ μὲν εἴκελα πάντα καὶ υἱέϊ καὶ γενετῆρι·
ἐν δ' Ὑπάτων ῥάβδοισι πάϊς νίκησε τοκῆα.

49. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Θαύμασε τὸν Κινύρην ὁ πάλαι χρόνος, ἢ Φρύγας ἄμφω,
σὸν δέ, Λέων, ἡμεῖς κάλλος ἀεισόμεθα,
Κερκαφίδη περίβωτε· μακαρτάτη ἔστ' ἄρα νήσων
καὶ Ῥόδος, ἣ τοίῳ λάμπεται ἠελίῳ.

50. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ τοιόςδε Λέων λάχεν ἀντίος Ἡρακλῆϊ,
οὐκ ἦν Ἀλκίδεω τοῦτο τὸ δωδέκατον.

[?] 51. ΜΑΚΕΔΟΝΙΟΥ ΥΠΑΤΟΥ.

Τῷ ξοάνῳ τὸν παῖδα Θυώνιχον, οὐχ ἵνα λεύσσῃς,
ὡς καλὸς ἐν τῇδε μνάματος ἀγλαΐᾳ,
ἀλλ' ἵνα σοὶ τὸν ἄεθλον ὃν ἐξεπόνησε μαθόντι,
ὦ 'γαθέ, τᾶς αὐτᾶς ζᾶλος ἔοι μανίας.
οὗτος ὁ μὴ κλίνας καμάτῳ πόδα, πάντα δ' ἀγῶνι
ἅλικα νικήσας, ὁπλότερον, πρότερον.

---

Nr. 49. V. 3. ἐσσ' ἄρα. V. 4. λάμπεαι. ed. princ. Nr. 50. V. 2. Ἀλκείδεω. Br.

### 52. ΦΙΛΙΠΠΟΥ.

Ἴσως με λεύσσων, ξεῖνε, ταυρογάστορα,
καὶ στεῤῥόγυιον, ὡς Ἄτλαντα δεύτερον,
θαμβεῖς, ἀπιστῶν εἰ βρότειος ἡ φύσις.
ἀλλ᾽ ἴσθι μ᾽ Ἡρᾶν Λαδικῆα πάμμαχον,
ὃν Σμύρνα καὶ δρῦς Περγάμου κατέστεφεν,
Δελφοί, Κόρινθος, Ἦλις, Ἄργος, Ἄκτιον,
λοιπῶν δ᾽ ἀέθλων ἣν ἐρευνήσῃς κράτος,
καὶ τὴν Λίβυσσαν ἐξαριθμήσεις κόνιν.

### 53. ΑΔΗΛΟΝ.

Λάδας τὸ στάδιον εἴθ᾽ ἥλατο, εἴτε διέπτη,
δαιμόνιον τὸ τάχος, οὐδὲ φράσαι δυνατόν.

### 54. ΑΛΛΟ.

Οἷος ἔης φεύγων τὸν ὑπήνεμον, ἔμπνοε Λάδα,
Θῦμον, ἐπ᾽ ἀκροτάτῳ πνεύματι θεὶς ὄνυχα,
τοῖον ἐχάλκευσέν σε Μύρων, ἐπὶ παντὶ χαράξας
σώματι Πισαίου προσδοκίην στεφάνου.
πλήρης ἐλπίδος ἐστίν, ἄκροις δ᾽ ἐπὶ χείλεσιν ἄσθμα
ἐμφαίνει κοίλων ἔνδοθεν ἐκ λαγόνων.
πηδήσει τάχα χαλκὸς ἐπὶ στέφος, οὐδὲ καθέξει
ἁ βάσις· ὢ τέχνη πνεύματος ὠκυτέρα.

---

Nr. 53. V. 1. Fort. *Τὸ στάδιον Λάδας εἴθ᾽.* V. 2. Fort. *κοὐδέ.* Nr. 54. V. 2. *Θυμόν.* Vulgo. Ib. Fort. *πνεύματι θεὶς ὄνυχι.* V. 3. *ἐχάλκευσε M.* Vulg.

## 55. ΤΡΩΪΛΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

α. Εἰκών, τίς σ' ἀνέθηκε, τίνος χάριν, ἢ τίνι, λέξον.
β. ἀντὶ παλαισμοσύνης θῆκε Λύρωνι πόλις.

## 56. ΑΔΗΛΟΝ.

Ταύτην Εὐσεβίῳ Βυζαντιὰς εἰκόνα Ῥώμη
πρὸς δισσαῖς ἑτέραις, εἵνεκεν ἱπποσύνης.
οὐ γὰρ ὅ γ' ἀμφήριστον ἑλὼν ἐστέψατο νίκην,
ἀλλὰ πολὺ κρατέων ποσσὶ καὶ ἠνορέῃ.
τοὔνεκεν ἀντιβίων ἔριν ἔσβεσεν· ἀλλὰ καὶ αὐτὴν
δήμου τὴν προτέρην παῦσε διχοστασίην.

## [P] 57. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Εἰς βάκχην ἐν Βυζαντίῳ.

Ἔκφρονα τὴν βάκχην οὐχ ἡ φύσις, ἀλλ' ἡ τέχνη
θήκατο, καὶ μανίην ἐγκατέμιξε λίθῳ.

## 58. ΑΔΗΛΟΝ.

Εἰς Βάκχην ἐν Βυζαντίῳ.

Ἴσχετε τὴν Βάκχην, μὴ λαϊνέη περ ἐοῦσα
οὐδὸν ὑπερθεμένη, νηὸν ὑπεκπροφύγῃ.

Digitized by Google

59. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Οὔπω ἐπισταμένην τάχα κύμβαλα χερσὶ τινάξαι
Βάκχην αἰδομένην στήσατο λαοτύπος.
οὕτω γὰρ προνένευκεν· ἔοικε δὲ τοῦτο βοώσῃ·
ἔξιτε, καὶ παταγῶ, μηδενὸς ἱσταμένου.

60. ΣΙΜΩΝΙΔΟΥ.

α. Τίς ἅδε; β. Βάκχα. α. τίς δέ μιν ξέσε; β. Σκόπας.
α. τίς δ' ἐξέμηνε, Βάκχος, ἢ Σκόπας; β. Σκόπας.

[⁋] 61. ΚΡΙΝΑΓΟΡΟΥ.

Εἰς εἰκόνα Νέρωνος.

Ἀντολίαι, δύσιες, κόσμου μέτρα· καὶ τὰ Νέρωνος
ἔργα δι' ἀμφοτέρων ἵκετο γῆς περάτων.
ἥλιος Ἀρμενίην ἀνιὼν ὑπὸ χερσὶ δαμεῖσαν
κείνου, Γερμανίην δ' εἶδε κατερχόμενος.
δισσὸν ἀειδέσθω πολέμου κράτος· οἶδεν Ἀράξης
καὶ Ῥῆνος, δούλοις ἔθνεσι πινόμενοι.

62. ΑΔΗΛΟΝ.

Εἰς στήλην Ἰουστινιανοῦ βασιλέως ἐν τῷ ἱπποδρόμῳ.

Ταῦτά σοι, ὦ βασιλεῦ Μηδοκτόνε, δῶρα κομίζει
σῆς Ῥώμης γενέτης καὶ πάϊς Εὐστάθιος,

---

Nr. 59. V. 1. ἐπισταμέναις corr. Heyne. Nr. 61. V. 4. εἶχε. Vulg. Nr. 62. In tit. ἐν τῷ Αὐγουστιῶνι. Br.

Digitized by Google

πῶλον ὑπὲρ νίκης, Νίκην στεφανηφόρον ἄλλην,
καὶ σὲ μετηνεμίῳ πώλῳ ἐφεζόμενον.
ὑψόσ' Ἰουστινιανὲ τεὸν κράτος, ἐν χθονὶ δ' αἰεὶ
δεσμὸς ἔχοι Μήδων καὶ Σκυθέων προμάχους.

63. ΑΛΛΟ.

Εἰς τὴν αὐτήν.

Πῶλον ὁμοῦ καὶ ἄνακτα καὶ ὀλλυμένην Βαβυλῶνα
χαλκὸς ἀπὸ σκύλων ἔπλασεν Ἀσσυρίων·
ἔστι δ' Ἰουστινιανός, ὃν ἀντολίης ζυγὸν ἕλκων
στῆσεν Ἰουλιανός, μάρτυρα Μηδοφόνον.

64. ΑΛΛΟ.

Εἰς στήλην Ἰουστίνου βασιλέως ἐν τῷ λιμένι.

Τοῦτο παρ' αἰγιαλοῖσιν ἐγὼ Θεόδωρος ὕπαρχος
στῆσα φαεινὸν ἄγαλμα Ἰουστίνῳ βασιλῆϊ,
ὄφρα καὶ ἐν λιμένεσσιν ἑὴν πετάσειε γαλήνην.

65. ΑΛΛΟ.

Εἰς στήλην Θεοδοσίου βασιλέως.

Ἔκθορες ἀντολίηθε, φαεσφόρος ἥλιος ἄλλος,
Θευδόσιε, θνητοῖσι, πόλου μέσον, ἠπιόθυμε,
Ὠκεανὸν παρὰ ποσσὶν ἔχων μετ' ἀπείρονα γαῖαν,

---

V. 5. ὕψος. Vulgo. Nr. 64. V. 1. ἔπαρχος. Br.

πάντοθεν αἰγλήεις, κεκορυθμένος, ἀγλαὸν ἵππον
ῥηϊδίως μεγάθυμε καὶ ἐσσύμενον κατερύκων.

66. ΑΛΛΟ.

Καλλιάδης στρατηγὸς Βυζαντίου τὸ περιβόητον τοῦ Βύζαντος ἄγαλμα κατὰ τὴν καλουμένην βασιλικὴν ἀνέθηκεν, ἐπιγράψας οὕτως·

Τὸν κρατερὸν Βύζαντα καὶ ἱμερτὴν Φιδάλειαν
εἰν ἑνὶ κοσμήσας ἄνθετο Καλλιάδης.

67. ΑΛΛΟ.

Ἱμερτὴ Φιδάλεια δάμαρ Βύζαντος ἐτύχθην·
εἰμὶ δὲ βουπάλεως δῶρον ἀεθλοσύνης.

68. ΑΣΚΛΗΠΙΑΔΟΥ, οἱ δὲ ΠΟΣΕΙΔΙΠΠΟΥ.

Κύπριδος ἅδ' εἰκών· φέρ' ἰδώμεθα μὴ Βερενίκας.
διστάζω ποτέρα φῇ τις ὁμοιοτέραν.

69. ΑΔΗΛΟΝ.

Ζήνωνα πτολίαρχος Ἰουλιανὸς βασιλῆα·
Ζήνωνος παράκοιτιν Ἰουλιανὸς Ἀριάδνην.

70. ΑΔΗΛΟΝ.

Οἶκον ἄναξ Ἑλικῶνος ἀνηβήσαντα νοήσας
κυδαλίμοις καμάτοισιν Ἰουλιανοῦ πολιάρχου,
Πιερικῶν προπάροιθε δόμων παγχρύσεος ἔστη.

Digitized by Google

### 71. ΑΔΗΛΟΝ.

Κῦδος Ἰουλιανοῦ παναοίδιμον, ὃς μετὰ κόσμον
 Πιερίδων χρυσέην στῆσεν Ἀναστασίην.

### 72. ΑΛΛΟ.

Ἄλλον ὑπὲρ νίκας ἐναρηφόρον ἔντοθι Σούσων
 ὁ θρασὺς ἀνστήσει Μῆδος ἄνακτι τύπον·
ἄλλον ἀκειρεκόμας Ἀβάρων στρατὸς ἔκτοθεν Ἴστρου,
 κείρας ἐκ κεφαλῆς βόστρυχον αὐσταλέης·
τὸν δ' ὑπὲρ εὐνομίας ἐριθηλέος ἐνθάδε τοῦτον
 ἐξ ὑπάτου μίτρης στῆσεν ἄνασσα πόλις.
ἔμπεδος ἀλλὰ μένοις Βυζαντιὰς ἔμπορε Ῥώμα,
 θεῖον Ἰουστίνου κάρτος ἀμειψαμένα.

### 73. ΑΔΗΛΟΝ.

Οὗτος ὁ κοσμήσας Ὑπάτων θρόνον, ὃν τρισέπαρχον
καὶ πατέρα βασιλῆες ἑὸν καλέσαντο μέγιστοι,
χρύσεος ἕστηκεν Αὐρηλιανός, τὸ δὲ ἔργον
τῆς βουλῆς, ἧς αὐτὸς ἑκὼν κατέπαυσεν ἀνίας.

---

Nr. 71. V. 2. χρύσεον στ. Ἀναστάσιον. Br. χρυσέην στ. Ἀναστασίου. Band. Nr. 72. V. 5. Fort. τούτων. V. 6. ῥήτρης. corr. Scaliger. V. 7. ἄμμορε. Plan. ἄφθορε. Scalig.

74. ΑΔΗΛΟΝ.

Παραίνεσις πρὸς ἄρχοντα.

Μίξον μειλιχίῃ βαιὸν φόβον, ὄττι καὶ αὐτὴ
βομβήεσσα μέλισσα κορύσσεται ὀξέϊ κέντρῳ.
οὐ γὰρ ἄτερ μάστιγος ἰθύνεται ἵππος ἀγήνωρ·
οὐδὲ συῶν ἀγέλη ἐπιπείθεται ἀνδρὶ νομῆϊ,
πρὶν καὶ ἐριγδούποιο καλαύροπος ἦχον ἀκούσῃ.

75. ΑΝΤΙΠΑΤΡΟΥ.

Ζηνί, καὶ Ἀπόλλωνι, καὶ Ἄρεϊ τέκνον ἀνάκτων
εἴκελον, εὐκταίῃ μητέρος εὐτοκίῃ,
πάντα τοι ἐκ Μοιρέων βασιλήϊα, πάντα τέλεια
ἦλθεν· ἐποιήθης δ' ἔργον ἀοιδοπόλων.
Ζεὺς σκῆπτρον βασίλειον, Ἄρης δόρυ, καλλοσύνην δὲ
Φοῖβος ἔχει· παρὰ σοὶ δ' ἀθρόα πάντα, Κότυ.

76. ΣΥΝΕΣΙΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Οἱ τρεῖς Τυνδαρίδαι, Κάστωρ, Ἑλένη, Πολυδεύκης.

[P] 77. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

Ὄμματα μὲν κούρης μόλις ἡ γραφίς, οὔτε δὲ χαίτην,
οὔτε σέλας χροιῆς ἄκρον ἀπεπλάσατο.
εἴ τις μαρμαρυγὴν δύναται φαεθοντίδα γράψαι,
μαρμαρυγὴν γράψει καὶ Θεοδωριάδος.

Digitized by Google

78. ΑΛΛΟ.

Βάσκανος ἡ γραφὶς ἐσσὶ, καὶ εἰσορόωσι μεγαίρεις,
χρύσεα κεκρυφάλοις βόστρυχα κρυψαμένη.
εἰ δ' ὑπάτης κεφαλῆς ὑπάτην χάριν εἰκόνι κεύθεις,
οὐδ' ἐπὶ τῷ λοιπῷ κάλλεϊ πίστιν ἔχεις.
πᾶσα γραφὶς μορφῆσι χαρίζεται· ἀλλὰ σὺ μούνη
τῆς Θεοδωριάδος κλέψας ἀπ' ἀγλαΐας.

79. ΣΥΝΕΣΙΟΥ ΦΙΛΟΣΟΦΟΥ.

Εἰς τὴν εἰκόνα τῆς αὑτοῦ ἀδελφῆς.

Τῆς χρυσῆς εἰκὼν ἢ Κύπριδος, ἢ Στρατονίκης.

80. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Μαχλὰς ἐγὼ γενόμην Βυζαντίδος ἔνδοθι Ῥώμης,
ὠνητὴν φιλίην πᾶσι χαριζομένη·
εἰμὶ δὲ Καλλιρόη πολυδαίδαλος, ἣν ὑπ' ἔρωτος
οἰστρηθεὶς Θωμᾶς τῇδ' ἔθετο γραφίδι,
δεικνὺς ὅσσον ἔχει πόθον ἐν φρεσίν· ἶσα γὰρ αὐτῷ
κηρῷ τηκομένῳ τήκεταί οἱ κραδίη.

[P] 81. ΦΙΛΙΠΠΟΥ.

Εἰς τὸ ἐν Ὀλυμπίᾳ Διὸς ἄγαλμα.

Ἢ θεὸς ἦλθ' ἐπὶ γῆν ἐξ οὐρανοῦ, εἰκόνα δείξων,
Φειδία, ἢ σύ γ' ἔβης τὸν θεὸν ὀψόμενος.

---

Nr. 80. V. 6. τήκετό οἱ κρ. corr. Herm. Fort. τήκεται ἡ κραδίη.

82. ΣΙΜΩΝΙΔΟΥ.

Τὸν ἐν Ῥόδῳ κολοσσὸν ὀκτάκις δέκα
Λάχης ἐποίει πήχεων ὁ Λίνδιος.

83. ΑΔΕΣΠΟΤΟΝ.

Εἰς Αἴαντος εἰκόνα.

Αἶαν, Τιμομάχου πλέον ἢ πατρός. ἥρπασε τέχνα
τὴν φύσιν. ὁ γράψας εἶδέ σε μαινόμενον,
καὶ συνελυσσήθη χεὶρ ἀνέρι, καὶ τὰ κεραστὰ
δάκρυα τοὺς λύπης πάντας ἔμιξε πόνους.

84. ΑΔΗΛΟΝ.

Οὐκ ἀδαὴς ἔγραψε Κίμων τάδε· παντὶ δ' ἐπ' ἔργῳ
μῶμος, ὃν οὐδ' ἥρως Δαίδαλος ἐξέφυγεν.

85. ΑΔΕΣΠΟΤΟΝ.

Ἁ τέχνα τὸν ἔλεγχον ἀπώλεσεν· οὐδὲ γὰρ αὐτὰ
μανῦσαι δύναται τῷ πόρε τὰν κεφαλάν.

[P] 86. ΑΔΗΛΟΝ.

Εἰς τὸ αὐτό.

Τοὺμπρασίῃ φύλακος μακρὰν ἀποτῆλε φύλαξαι·
τοῖος, ὁποῖον ὁρᾷς, ὦ παρ' ἐμ' ἐρχόμενε,

Nr. 83. V. 1. αἶσαν. Vulgo. Nr. 86. V. 2. τοῖος ὁ κύων ὤν. editt. vett. τοῖος ἐὼν ὤν. Steph.

σύκινος, οὐ ῥίνῃ πεπονημένος, οὐδ' ἀπὸ μίλτου,
ἀλλ' ἀπὸ ποιμενικῆς αὐτομαθοῦς ξοΐδος,
ἀγρεῖος· γέλασόν με, τὰ δ' εὔκηλος πεφύλαξο
σίνεσθαι, μὴ καὶ σαρδάνιον γελάσῃς.

[P] 87. ΙΟΥΛΙΑΝΟΥ.

Εἰς Προμηθέα.

Τέχνης πυρσὸν ὄπασσα φερέσβιον, ἐκ δ' ἄρα τέχνης
καὶ πυρός, ἀλλήκτου πήματος ὄψιν ἔχω.
ἦ μερόπων ἀχάριστον ἀεὶ γένος, εἴ γε Προμηθεὺς
ἀντ' εὐεργεσίης ταῦθ' ὑπὸ χαλκοτύπων.

88. ΤΟΥ ΑΥΤΟΥ.

Χαλκὸν μὲν καλέεσκεν ἀτειρέα βίβλος Ὁμήρου·
ἀλλά μιν ὁ πλάστης δεῖξεν ἐλεγχομένην.
δεῦρ' ἴδε γὰρ στενάχοντα Προμηθέα, δεῦρ' ἴδε χαλκοῦ
τειρομένου σπλάγχνων ἐκ μυχάτων ὀδύνας.
Ἥρακλες νεμέσησον, ἐπεὶ μετὰ σεῖο φαρέτρην
Ἰαπετιονίδης ἄλγος ἄπαυστον ἔχει.

89. ΓΑΛΛΟΥ.

Εἰς Τάνταλον ἐπὶ ποτηρίου γεγλυμμένον.

Οὗτος ὁ πρὶν μακάρεσσι συνέστιος, οὗτος ὁ νηδὺν
πολλάκι νεκταρέου πλησάμενος πόματος,

---

V. 5. ἀχρείως γ. Br. μετὰ δ' εὐκλείους. Vulgo.

νῦν λιβάδος θνητῆς ἱμείρεται. ἡ φθονερὴ δὲ
κρᾶσις ἀεὶ χείλευς ἐστὶ ταπεινοτέρη.
πῖνε, λέγει τὸ τόρευμα, καὶ ὄργια μάνθανε σιγῆς·
οἱ γλώσσῃ προπετεῖς ταῦτα κολαζόμεθα.

90. ἈΔΗΛΟΝ.

Εἰς ἄγαλμα Ἡρακλέους νηπίου ὄντος ἔτι, καὶ ταῖς χερσὶ θλίβοντος δράκοντας δύο.

Θλῖβε δρακοντείους περιμήκεας, ὄβριμε, δειράς,
Ἥρακλες, δακέτων ἄγχε βαθεῖς φάρυγας,
ἐξέτι νηπιάχοιο χόλον ζηλήμονος Ἥρης
ἄμπαυσον· μοχθεῖν γνῶθι καὶ ἐκ βρέφεος.
οὐ γάρ σοι κρητὴρ χαλκήλατος, οὐδὲ λέβητες,
ἀλλ᾽ ὁδὸς εἰς αὐλὴν Ζηνὸς, ἔπαθλον ἔφυ.

91. ἈΔΗΛΟΝ.

Εἰς τοὺς Ἡρακλέους ἄθλους.

Ἀέρκεο μυριόμοχθε τεούς, Ἥρακλες, ἀγῶνας,
οὓς τλάς, ἀθανάτων οἶκον, Ὄλυμπον ἔβης·
Γηρυόνην, κλυτὰ μῆλα, μέγαν πόνον Αὐγείαο,
πώλους, Ἱππολύτην, πουλυκάρηνον ὄφιν,

---

Nr. 91. V. 2. ἔχεις. ed. pr.

Digitized by Google

κάπρον, θωΰκτῆρα χάους κύνα, θῆρα Νεμείης,
οἰωνούς, ταῦρον, Μαιναλίην ἔλαφον.
νῦν δὲ κατ' ἄκρα πόληος ἀπορθήτοιο βεβηκὼς
Περγαμίης, μεγάλους ῥύεο Τηλεφίδας.

### 92. ΑΔΗΛΟΝ.

Ἡρακλέους ἆθλοι.

Πρῶτα μὲν ἐν Νεμέῃ βριαρὸν κατέπεφνε λέοντα.
δεύτερον, ἐν Λέρνῃ πολυαύχενον ὤλεσεν ὕδραν.
τὸ τρίτον αὖτ' ἐπὶ τοῖς Ἐρυμάνθιον ἔκτανε κάπρον.
χρυσόκερων ἔλαφον μετὰ ταῦτ' ἤγρευσε, τέταρτον.
πέμπτον δ', ὄρνιθας Στυμφαλίδας ἐξεδίωξεν.
ἕκτον, Ἀμαζονίδος κόμισε ζωστῆρα φαεινόν.
ἕβδομον, Αὐγείου πολλὴν κόπρον ἐξεκάθηρεν.
ὄγδοον, ἐκ Κρήτης δὲ πυρίπνοον ἤλασε ταῦρον.
εἴνατον, ἐκ Θρῄκης Διομήδεος ἤγαγεν ἵππους.
Γηρυόνου, δέκατον, βόας ἤγαγεν ἐξ Ἐρυθείης.
Κέρβερον, ἑνδέκατον, κύν' ἀνήγαγεν ἐξ Ἀΐδαο.
δωδέκατον, ἐκόμισσεν ἐς Ἑλλάδα χρύσεα μῆλα.
τὸ τρισκαιδέκατον, τοῖον λυγρὸν ἔσχεν ἄεθλον·
μουνονυχὶ πεντήκοντα ξυνελέξατο κούραις.

### 93. ΦΙΛΙΠΠΟΥ.

Εἰς τοὺς Ἡρακλέους ἄθλους.

Ὤλεσα τὸν Νεμέας θῆρ' ἄπλετον, ὤλεσα δ' ὕδρην
καὶ ταῦρον, κάπρου δ' ἀμφετίναξα γένυν·

Digitized by Google

ζωστῆρ' ἑλκύσσας, πώλους Διομήδεος εἷλον·
χρύσεα μᾶλα κλάσας, Γηρυόνην ἔλαβον.
Αὐγείας ἐδάμη· κεμὰς οὐ φύγεν· ἔκτανον ὄρνις·
Κέρβερον ἠγαγόμην· αὐτὸς Ὄλυμπον ἔχω.

### 94. ΑΡΧΙΟΥ.

Εἰς Ἡρακλέα φονεύσαντα τὸν ἐν Νεμέᾳ λέοντα.

Μηκέτι ταυροβόροιο βαρὺ βρύχημα λέοντος
πτήσσετε, ληϊνόμοι γειαρόται Νεμέης·
ἦ γὰρ ὑφ' Ἡρακλῆος ἀριστάθλοιο δέδουπεν,
αὐχένα θηροφόνοις ἀγχόμενος παλάμαις.
ποίμνας ἐξελάσασθε· πάλιν μυκηθμὸν ἀκούοι
Ἠχώ, ἐρημαίης ἐνναέτειρα νάπης.
καὶ σύ, λεοντόχλαινε, πάλιν θωρήσσεο ῥινῷ,
Ἥρης πρηΰνων μισονόθοιο χόλον.

### 95. ΔΑΜΑΓΗΤΟΥ.

Εἰς Ἡρακλέα προςμαχόμενον τῷ ἐν Νεμέᾳ λέοντι.

Ἐκ Νεμέης ὁ λέων· ἀτὰρ ὁ ξένος Ἀργόθεν αἷμα,
πολλὸν ὁ μὲν θηρῶν * μείζων, ὁ δ' ἡμιθέων.
ἔρχονται δ' ἐς ἀγῶνα, καταντίον ὄμμα βαλόντες
λοξὸν ὑπὲρ ζωᾶς καὶ βιοτᾶς σφετέρας.
Ζεῦ πάτερ, ἀλλ' εἴη τὸν ἀπ' Ἄργεος ἀνέρα νικᾶν,
ἐμβατὸς ὡς ἄν τοι καὶ Νεμέα τελέθοι.

---

Nr. 93. V. 5. Αὐγείαν ἐδάην. Vulgo. Nr. 95. V. 2. μεῖζον. Steph.

## 96. ἈΔΗΛΟΝ.

*Εἰς Ἡρακλέα ἀγρεύοντα τὴν ἔλαφον.*

*Τί πρῶτον, τί δ' ἔπειτα φρεσίν, τί δὲ λοίσθιον ὅσσοις*
*θαυμάσσω τέχνης ἀνέρος ἠδ' ἐλάφου;*
*ὧν ὁ μὲν ἰξύϊ θηρὸς ἐπεμβεβαώς, γόνυ βρίθει,*
*εὐπτόρθων παλάμαις δραξάμενος κεράων·*
*ἡ δ' ὑπὸ χάσματι πολλὰ καὶ ἄσθματι φυσιόωσα,*
*γλώσσῃ σημαίνει θλιβομένην κραδίην.*
*Ἥρακλες γήθησον. ὅλη κεμὰς ἥδε τέθηλεν,*
*οὐ κέρασιν μούνοις, ἀλλὰ τέχνῃ χρυσέῃ.*

## 97. ἈΛΛΟ.

*Εἰς Ἡρακλέα καταπαλαίοντα τὸν Ἀνταῖον.*

*Χαλκὸν ἀποιμώζοντα τίς ἔπλασε; τίς δ' ὑπὸ τέχνας*
*καὶ πόνον ἐν μορφᾷ καὶ θράσος εἰργάσατο;*
*ἔμψυχον τὸ πλάσμα· καὶ οἰκτείρω μογέοντα,*
*καὶ φρίττω κρατερὸν τὸν θρασὺν Ἡρακλέην.*
*Ἀνταῖον γὰρ ἔχει πεπονημένον ἐκ παλαμάων·*
*ἱδρωθεὶς δὲ δοκεῖ καὶ στοναχὰν ἱέναι.*

---

Nr. 97. V. 2. ἐκ μορφᾶς. Vulgo. V. 4. φρίσσω. Br.

Digitized by Google

98. ΑΛΛΟ.

Εἰς Ἡρακλέα μεθύοντα.

Οὗτος ὁ νῦν ὕπνῳ βεβαρημένος ἠδὲ κυπέλλῳ,
Κενταύρους νήφων οἰνοβαρεῖς ὄλεσεν.

99. ΑΛΛΟ.

Οὗτος ὁ πανδαμάτωρ, ὁ παρ᾽ ἀνδράσι δωδεκάεθλος
μελπόμενος, κρατερῆς εἵνεκεν ἠνορέης,
οἰνοβαρὴς μετὰ δαῖτα μεθυσφαλὲς ἴχνος ἑλίσσει,
νικηθεὶς ἁπαλῷ λυσιμελεῖ Βρομίῳ.

100. ΑΛΛΟ.

Εἰς εἰκόνα Λυσιμάχου βασιλέως.

Χαίτην καὶ ῥόπαλον καὶ ἐν ὀφθαλμοῖσιν ἀταρβῆ
θυμὸν ὁρῶν, βλοσυρόν τ᾽ ἀνδρὸς ἐπισκύνιον,
ζήτει δέρμα λέοντος ἐπ᾽ εἰκόνι· κἢν μὲν ἐφεύρῃς,
Ἡρακλέης, εἰ δ᾽ οὔ, Λυσιμάχοιο πίναξ.

101. ΑΛΛΟ.

Εἰς εἰκόνα Ἡρακλέους.

Οἵῳ Θειοδάμας πρὶν ὑπήντεεν Ἡρακλῆϊ,
τοῖον ὁ τεχνίτης τὸν Διὸς εἰργάσατο,
βοῦν ἀρότην ἕλκοντα, καὶ ἀντανύοντα κορύνην·
ἀλλ᾽ οὐ τὴν ὁλοὴν γράψε βοοσφαγίην.

Digitized by Google

ναὶ τάχα Θειοδάμαντι γοήμονα χείλεσι φωνὴν
ἥρμοσεν, ἧς αἴων, φείδεται Ἡρακλέης.

102. *ΑΛΛΟ.*

*Εἰς ἄλλην εἰκόνα Ἡρακλέους.*

Οἷον καὶ Κρονίδης ἔσπειρέ σε τῇ τρισελήνῳ
νυκτί, καὶ Εὐρυσθεὺς εἶδεν ἀεθλοφόρον,
κὴκ πυρὸς εἰς Οὔλυμπον ἐκώμασας, ὦ βαρύμοχθε
Ἀλκείδη, τοίην εἰκόνα σου βλέπομεν.
Ἀλκμήνης δ' ὠδῖνας ἔχει λίθος· αἱ δὲ μεγαυχεῖς
Θῆβαι νῦν μύθων εἰσὶν ἀπιστότεραι.

103. *ΓΕΜΙΝΟΥ.*

*Εἰς ἄγαλμα Ἡρακλέους.*

Ἥρακλες, ποῦ σοι πτόρθος μέγας, ἥ τε Νέμειος
χλαῖνα, καὶ ἡ τόξων ἔμπλεος ἰοδόκη;
ποῦ σοβαρὸν βρίμημα; τί σ' ἔπλασεν ὧδε κατηφῆ
Λύσιππος, χαλκῷ τ' ἐγκατέμιξ' ὀδύνην;
ἄχθῃ γυμνωθεὶς ὅπλων σέο· τίς δέ σ' ἔπερσεν;
ὁ πτερόεις, ὄντως εἷς βαρὺς ἆθλος, Ἔρως.

104. *ΦΙΛΙΠΠΟΥ.*

*Εἰς ἄγαλμα Ἡρακλέους.*

Ἥρη τοῦτ' ἄρα λοιπὸν ἐβούλετο πᾶσιν ἐπ' ἄθλοις
ὅπλων γυμνὸν ἰδεῖν τὸν θρασὺν Ἡρακλέα.

---

Nr. 103. V. 3. μίμημα. Vulgo. τίς ἔπλ. Ib. V. 4. χαλκῷ δ'. Vulgo.

ποῦ χλαίνωμα λέοντος, ὅ τ' εὐροίζητος ἐπ' ὤμοις
ἰός, καὶ βαρύπους ὄζος ὁ θηρολέτης;
πάντα σ' Ἔρως ἀπέδυσε· καὶ οὐ ξένον, εἰ Δία κύκνον
ποιήσας, ὅπλων νοσφίσαθ' Ἡρακλέα.

105. ΑΔΗΛΟΝ.

Εἰς ἀνδριάντα Θησέως καὶ τοῦ Μαραθωνίου ταύρου.

Θαῦμα τέχνης ταύρου τε καὶ ἀνέρος, ὧν ὁ μεγαλκῆ
θῆρα βίῃ βρίθει, γυῖα τιταινόμενος·
ἶνας δ' αὐχενίους γνάμπτων, παλάμῃσιν ἔμαρψεν,
λαιῇ μυκτῆρας, δεξιτερῇ δὲ κέρας.
ἀστραγάλους δ' ἐλέλιξε, καὶ αὐχένα θὴρ ὑπὸ χερσὶν
δαμνάμενος κρατεραῖς ὤκλασεν εἰς ὀπίσω.
ἔστι δ' οἴσασθαι τέχνης ὕπο τῷδ' ἐνὶ χαλκῷ
θῆρα μὲν ἐμπνείειν, ἄνδρα δ' ἱδρῶτι ῥέειν.

106. ΑΔΗΛΟΝ.

Εἰς ἀνδριάντα Καπανέως.

Εἰ τοῖος Θήβης Καπανεὺς ἐπεμήνατο πύργοις,
ἄμβασιν ἠερίην κλίμακα μησάμενος,
εἷλεν ἂν ἄστυ βίῃ καὶ ὑπὲρ μόρον. αἴδετο γάρ ῥα
καὶ σκηπτὸς Κρονίδου τοῖον ἑλεῖν πρόμαχον.

---

Nr. 105. V. 1. μὲν ἀλκὰν. Vulgo. Nr. 106. V. 2. ἄμμασιν. Vulg. κλίμακι. corr. Scalig.

107. ΙΟΥΛΙΑΝΟΥ.

*Εἰς Ἴκαρον χαλκοῦν ἐν λουτρῷ ἱστάμενον.*

Ἴκαρε, κηρὸς μέν σε διώλεσε· νῦν δέ σε * κηρῷ
ἤγαγεν εἰς μορφὴν αὖθις ὁ χαλκοτύπος.
ἀλλά γε μὴ πτερὰ πάλλε κατ' ἠέρα, μὴ τὸ λοετρὸν,
ἠερόθεν πίπτων, Ἰκάριον τελέσῃς.

108. ΤΟΥ ΑΥΤΟΥ.

Ἴκαρε, χαλκὸς ἐὼν μιμνήσκεο· μηδέ σε τέχνη,
μηδ' ἀπάφῃ πτερύγων ζεῦγος ἐπωμάδιον.
εἰ γὰρ ζωὸς ἐὼν πέσες ἐν πελάγεσσι θαλάσσης,
πῶς ἐθέλεις πτῆναι χάλκεον εἶδος ἔχων;

109. ΑΓΑΘΙΟΥ.

*Εἰς Ἱππόλυτον διαλεγόμενον τῇ τροφῷ τῆς Φαίδρας.*

Ἱππόλυτος τῆς γρῃὸς ἐπ' οὔατι νηλέα μῦθον
φθέγγεται· ἀλλ' ἡμεῖς οὐ δυνάμεσθα κλύειν.
ὅσσον δ' ἐκ βλεφάροιο μεμηνότος ἐστὶ νοῆσαι,
ὅττι παρεγγυάᾳ μηκέτ' ἄθεσμα λέγειν.

110. ΦΙΛΟΣΤΡΑΤΟΥ.

*Εἰς εἰκόνα Τηλέφου τετρωμένου.*

Οὗτος ὁ Τευθρανίας πρόμος ἄσχετος, οὗτος ὁ τὸ πρὶν
Τήλεφος αἱμάξας φρικτὸν Ἄρη Δαναῶν,

---

Nr. 107. V. 1. δέ σε χαλκῷ. Br. V. 3. ἀλλ' ἄγε. Vulg.

Digitized by Google

Μυσὸν ὅτε πλήθοντα φόνῳ ἐκέρασσε Κάϋκον·
οὗτος ὁ Πηλιακοῦ δούρατος ἀντίπαλος.
νῦν ὀλοὸν μηρῷ κεύθων βάρος, οἷα λιπόπνους
τήκεται, ἐμψύχῳ σαρκὶ συνελκόμενος.
οὗ καὶ τειρομένοιο περιπτώσσοντες Ἀχαιοὶ
φύρδην Τευθρανίας νεῦνται ἀπ' ἠϊόνος.

111. ΓΛΑΥΚΟΥ.

Εἰς εἰκόνα Φιλοκτήτου.

Καὶ τὸν ἀπὸ Τρηχῖνος ἰδὼν πολυώδυνον ἥρω,
τόνδε Φιλοκτήτην ἔγραφε Παῤῥάσιος·
ἔν τε γὰρ ὀφθαλμοῖς ἐσκληκόσι κωφὸν ὑποικεῖ
δάκρυ, καὶ ὁ τρύχων ἐντὸς ἔνεστι πόνος.
ζωογράφων ὦ λῷστε, σὺ μὲν σοφός, ἀλλ' ἀναπαῦσαι
ἄνδρα πόνων ἤδη τὸν πολύδακρυν ἔδει.

112. ΑΔΗΛΟΝ.

Εἰς τὸν αὐτόν.

Ἐχθρὸς ὑπὲρ Δαναοὺς πλάστης ἐμός, ἄλλος Ὀδυσσεύς,
ὅς μ' ἔμνησε κακῆς οὐλομένης τε νόσου.
οὐκ ἤρκει πέτρη, τρῦχος, λύθρον, ἕλκος, ἀνίη·
ἀλλὰ καὶ ἐν χαλκῷ τὸν πόνον εἰργάσατο.

---

Nr. 112. V. 1. ἐμοί. Br.

### 113. ΙΟΥΛΙΑΝΟΥ.

*Εἰς τὸν αὐτόν.*

Οἶδα Φιλοκτήτην ὁρόων, ὅτι πᾶσι φαείνει
ἄλγος ἐόν, καὶ τοῖς τηλόθι δερκομένοις.
ἄγρια μὲν κομόωσαν ἔχει τρίχα· δεῦρ' ἴδε κόρσης
χαίτην τρηχαλέοις χρώμασιν αὐσταλέην.
δέρμα κατεσκληκὸς δὲ φέρει καὶ ῥικνὸν ἰδέσθαι,
καὶ τάχα καρφαλέον χερσὶν ἐφαπτομέναις.
δάκρυα δὲ ξηροῖσιν ὑπὸ βλεφάροισι παγέντα
ἵσταται, ἀγρύπνου σῆμα δυηπαθίης.

### 114. ΚΟΣΜΑ.

*Εἰς Πύῤῥον μέλλοντα σφάξαι τὴν Πολυξείνην.*

Πύῤῥος ἐγώ· σπεύδω δὲ πατρὸς χάριν. ἡ δὲ κυνῶπις
Παλλάδα κικλήσκει, γνωτὸν ἔχουσα Πάριν.

### 115. ΑΔΗΛΟΝ.

*Εἰς Ἱπποκένταυρον.*

Ἀνδρόθεν ἐκκέχυθ' ἵππος· ἀνέδραμε δ' ἱππόθεν ἀνήρ,
ἀνὴρ νόσφι ποδῶν, κεφαλῆς δ' ἄτερ αἰόλος ἵππος·
ἵππος ἐρεύγεται ἄνδρα, ἀνὴρ δ' ἀποπέρδεται ἵππον.

---

Nr. 113. V. 4. αὐαλέην. quaedam edd.

### 116. ΕΥΟΔΟΥ.

*Εἰς τὸν αὐτόν.*

Ἵππος ἔην ἀκάρηνος, ἀνὴρ δ' ἀτέλεστος ἔκειτο,
ὅν γε Φύσις παίζουσα θοῷ ἐνεκέντρισεν ἵππῳ.

### 117. ΚΟΡΝΗΛΙΟΥ.

*Εἰς Κυνέγειρον.*

Οὔ σε, μάκαρ Κυνέγειρ', ἐτύμως Κυνέγειρον ἔγραψε
Φῦσις, ἐπεὶ βριαραῖς ἄνθετο σὺν παλάμαις·
ἀλλὰ σοφός τις ἔην ὁ ζωγράφος, οὐδέ σε χειρῶν
νόσφισε, τὸν χειρῶν οὕνεκεν ἀθάνατον.

### 118. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

*Εἰς τὸν αὐτόν.*

Μηδοφόνους μὲν χεῖρας ὑπὲρ γαμψοῖο κορύμβου
ναὸς ἀπορνυμένης ἐξέταμον κοπίδες,
ἀνίκα που, Κυνέγειρε, φυγάς ποτε φορτὶς ἐκεῖνα,
ὥσπερ ἀπ' εὐναίας εἴχετο σᾶς παλάμας.
ἀλλὰ καὶ ὣς ἀπρὶξ δόρυ νήϊον ἀμφιδακοῦσαι,
ἄπνοον ὡμάρτευν τάρβος Ἀχαιμενίοις·
καὶ τὰς μέν τις ἀνὴρ ἕλε βάρβαρος· ἁ δέ γε χειρῶν
νίκα Μοψοπίοις μίμνε παρ' ἐνναέταις.

---

Nr. 117. V. 1. *Κυνέγειρε τὸν ὥς.* Vulgo. V. 2. Fort. *σ' ἄνθετο.* V. 4. *τῶν χειρῶν.* Vulgo. Nr. 118. V. 4. *σαῖς παλάμαις.* Br.

Digitized by Google

### 119. ΠΟΣΕΙΔΙΠΠΟΥ.

εἰς στήλην Ἀλεξάνδρου τοῦ Μακεδόνος.

Λύσιππε, πλάστα Σικυώνιε, θαρσαλέη χείρ,
δάϊε τεχνῖτα, πῦρ τοι ὁ χαλκὸς ὁρῇ,
ὃν κατ' Ἀλεξάνδρου μορφᾶς χέες· οὐκέτι μεμπτοὶ
Πέρσαι· συγγνώμη βουσὶ λέοντα φυγεῖν.

### 120. ΑΡΧΕΛΑΟΥ, οἱ δὲ ΑΣΚΛΗΠΙΑΔΟΥ.

εἰς τὸν αὐτόν.

Τόλμαν Ἀλεξάνδρου καὶ ὅλαν ὑπεμάξατο μορφὰν
Λύσιππος. τίν' ὅδε χαλκὸς ἔχει δύναμιν;
αὐδασοῦντι δ' ἔοικεν ὁ χάλκεος ἐς Δία λεύσσων·
Γᾶν ὑπ' ἐμοὶ τίθεμαι· Ζεῦ, σὺ δ' Ὄλυμπον ἔχε.

### 121. ΑΔΗΛΟΝ.

εἰς τὸν αὐτόν.

Αὐτὸν Ἀλέξανδρον τεκμαίρεο· ὧδε τὰ κείνου
ὄμματα καὶ ζωὸν θάρσος ὁ χαλκὸς ἔχει,
ὃς μόνος, ἣν ἐφορῶσιν ἀπ' αἰθέρος αἱ Διὸς αὐγαί,
πᾶσαν Πελλαίῳ γῆν ὑπέταξε θρόνῳ.

---

Nr. 121. V. 1. Fort. τεκμαίρεαι.



Digitized by Google

122. *ΑΔΗΛΟΝ.*

*εἰς τὸν αὐτόν.*

Τοῦτον Ἀλέξανδρον, μεγαλήτορος υἷα Φιλίππου,
δέρκεαι ἀρτιλόχευτον, Ὀλυμπιὰς ὃν ποτε μήτηρ
καρτερόθυμον ἔτικτεν· ἀπ' ὠδίνων δέ μιν Ἄρης
ἔργα μόθων ἐδίδαξε, Τύχη δ' ἐκέλευσεν ἀνάσσειν.

123. *ΑΔΗΛΟΝ.*

Μὰ τὸν βουθοίναν Ἡρακλέα, παῖδες ἀγρῶται,
οὐκέτι κερδαλέοις ἐμβατὰ ταῦτα λύκοις,
φῶρές τε στείχειν κλοπίην ὁδὸν ἀρνήσονται,
εἰ καὶ κωμήτας ἄκριτος ὕπνος ἔχοι.
ἦ γάρ μ' ἵδρυται Διονύσιος οὐκ ἄτερ εὐχῆς
χώρῳ τῷδ' ἀγαθὸν σύμμαχον Ἡρακλέα.

124. *ΑΔΗΛΟΝ.*

Μὴ τρέσσῃς, ὅτι τόξον, ὁδοιπόρε, καὶ νεοθηγεῖς
ἰοὺς γυμνώσας, πρόσθε ποδῶν ἐθέμην,
μηδ' ὅτι βαστάζω ῥόπαλον χερί, μηδ' ὅτι δέρμα
ἀμφ' ὤμοις χαροποῦ τοῦτο λέοντος ἔχω·
πημαίνειν οὐ πάντας ἐπίσταμαι, ἀλλὰ κακούργους·
καὶ σώζειν ἀγαθοὺς ἐξ ἀχέων δύναμαι.

---

Nr. 123. V. 1. ἀγρόται. Vulg. Fort. οὐ τὸν βουθ. c. Hermanno. V. 6. χαίρω. Vulgo.

Digitized by Google

### 125. ΑΔΗΛΟΝ.

*Αἰεὶ Λαρτιάδη πόντος βαρύς· εἰκόνα χεῦμα*
*ἔκλυσε, κὰκ δέλτων τὸν τύπον ἠφάνισεν.*
*τί πλέον; εἰν ἐπέεσσιν Ὁμηρείοις γὰρ ἐκείνου*
*εἰκὼν ἀφθάρτοις ἐγγράφεται σελίσιν.*

### 126. ΑΔΗΛΟΝ.

*εἰς τὸν Μινώταυρον.*

*Ὁ παῖς ὁ ταῦρος, ὁ κατὰ μηδὲν ἐντελής,*
*ὁ τῆς τεκούσης τοῦ πάθους κατήγορος,*
*ὁ μιξόθηρ ἄνθρωπος, ἡ διπλῆ φύσις,*
*ὁ ταυρόκρανος, ἡ πλάνη τῶν σωμάτων,*
*ὃς οὔτε βοῦς πέφυκεν, οὔτ' ἀνὴρ ὅλως.*

### 127. ΑΔΗΛΟΝ.

*εἰς Λυκοῦργον.*

*Τίς τὸν Θρήϊκα τόνδε μονοκρηπῖδα Λυκοῦργον*
*χάλκεον, Ἠδωνῶν ταγόν, ἀνεπλάσατο;*
*Βακχιακὸν παρὰ πρέμνον ἴδ' ὡς ἀγέρωχα μεμηνὼς*
*βριθὺν ὑπὲρ κεφαλᾶς ἀντέτακεν χάλυβα.*
*μαννύει μορφὰ τὸ πάλαι θράσος· ἁ δ' ἀγέρωχος*
*λύσσα καὶ ἐν χαλκῷ κεῖνο τὸ πικρὸν ἔχει.*

---

Nr. 125. V. 3. Fort. *εἰν ἔπεσιν γὰρ Ὁμηρείοισιν ἐκείνου.*

128. ΑΔΗΛΟΝ.

εἰς Ἰφιγένειαν.

Μαίνεται Ἰφιγένεια· πάλιν δέ μιν εἶδος Ὀρέστου
ἐς γλυκερὴν ἀνάγει μνῆστιν ὁμαιμοσύνης·
τῆς δὲ χολωομένης καὶ ἀδελφεὸν εἰσορωώσης
οἴκτῳ καὶ μανίῃ βλέμμα συνεξάγεται.

[?] 129. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Νιόβης.

Ἐκ ζωῆς με θεοὶ τεῦξαν λίθον· ἐκ δὲ λίθοιο
ζωὴν Πραξιτέλης ἔμπαλιν εἰργάσατο.

130. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

εἰς τὸ αὐτό.

Δυστήνου Νιόβης ὁράᾳς παναληθέα μορφήν,
ὡς ἔτι μυρομένης πότμον ἑῶν τεκέων.
εἰ δ' ἄρα καὶ ψυχὴν οὐκ ἔλλαχε, μὴ τόδε τέχνῃ
μέμφεο· θηλυτέρην εἴκασε λαϊνέην.

131. ΑΝΤΙΠΑΤΡΟΥ.

εἰς τὸ αὐτό.

Ταντταλὶς ἅδε ποχ' ἅδε, δὶς ἑπτάκι τέκνα τεκοῦσα
γαστρὶ μιῇ, Φοίβῳ θῦμα καὶ Ἀρτέμιδι.

---

Nr. 131. V. 1. ἑπτά. Vulgo.

κοῦρα γὰρ προὔπεμψε κόραις φόνον, ἄρσεσι δ' ἄρσην·
    δισσοὶ γὰρ δισσὰς ἔκτανον ἑβδομάδας.
ἁ δὲ τόσας ἀγέλας μάτηρ πάρος, ἁ πάρος εὔπαις,
    οὐδ' ἐφ' ἑνὶ τλάμων λείπετο γηροκόμῳ·
μάτηρ δ' οὐχ ὑπὸ παισίν, ὅπερ θέμις, ἀλλ' ὑπὸ ματρὸς
    παῖδες ἐς ἀλγεινοὺς πάντες ἄγοντο τάφους.
Τάνταλε, καὶ δὲ σὲ γλῶσσα διώλεσε, καὶ σέο κούραν.
    χᾶ μὲν ἐπετρώθη, σοὶ δ' ἔπι δεῖμα λίθος.

132. *ΘΕΟΔΩΡΙΔΟΥ.*

Στᾶθι πέλας, δάκρυσον ἰδών, ξένε, μυρία πένθη
    τᾶς ἀθυρογλώσσου Ταντλίδος Νιόβας,
ἇς ἐπὶ γᾶς ἔστρωσε δυωδεκάπαιδα λοχείην
    ἄρτι, τὰ μέν, Φοίβου τόξα, τὰ δ', Ἀρτέμιδος.
ἃ δὲ λίθῳ καὶ σαρκὶ μεμιγμένον εἶδος ἔχουσα,
    πετροῦται· στενάχει δ' ὑψιπαγὴς Σίπυλος.
θνατοῖς ἐν γλώσσᾳ δολία νόσος, ἇς ἀχάλινος
    ἀφροσύνα τίκτει πολλάκι δυστυχίαν.

133. *ΑΝΤΙΠΑΤΡΟΥ.*

Τίπτε, γύναι, πρὸς Ὄλυμπον ἀναιδέα χεῖρ' ἀνένεικας,
    ἔνθεον ἐξ ἀθέου κρατὸς ἀφεῖσα κόμαν;

---

V. 3. κούραις. Vulgo. V. 4. δισσοὶ δέ. Br. V. 6. λείπεται. Vulg. Nr. 132. V. 3. ἔτρωσε. Vulg. V. 7. ἁ ἀχάλ. Vulg. Nr. 133. V. 1. χεῖρα νένευκας. Vulg.

Digitized by Google

Λατοῦς παπταίνουσα πολὺν χόλον, ὦ πολύτεκνε,
νῦν στένε τὰν πικρὰν καὶ φιλάβουλον ἔριν.
ἃ μὲν γὰρ παίδων σπαίρει πέλας· ἃ δὲ λιπόπνους
κέκλιται· ᾇ δὲ βαρὺς πότμος ἐπικρέμαται.
καὶ μόχθων οὔπω τόδε σοι τέλος, ἀλλὰ καὶ ἄρσην
ἔστρωται τέκνων ἐσμὸς ἀποφθιμένων.
ὦ βαρὺ δακρύσασα γενέθλιον, ἄπνοος αὐτὰ
πέτρος ἔσῃ, Νιόβα, κἄϊδι τειρομένα.

### 134. ΜΕΛΕΑΓΡΟΥ.

Ταντάλι παῖ, Νιόβα, κλύ' ἐμὰν φάτιν, ἄγγελον ἄτας·
δέξαι σῶν ἀχέων οἰκτροτάταν λαλιάν.
λῦε κόμας ἀνάδεσμον, ἰώ, βαρυπενθέσι Φοίβου
γειναμένα τόξοις ἀρσενόπαιδα γόνον.
οὔ σοι παῖδες ἔτ' εἰσίν· ἀτὰρ τί τόδ' ἄλλο; τί λεύσσω;
αἶ, αἶ, πλημμυρεῖ παρθενικαῖσι φόνος.
ἁ μὲν γὰρ ματρὸς περὶ γούνασιν, ἁ δ' ἐνὶ κόλποις
κέκλιται, ἁ δ' ἐπὶ γᾶς, ἁ δ' ἐπιμαστίδιος·
ἄλλα δ' ἀντωπὸν θαμβεῖ βέλος· ἁ δ' ἐπ' ὀϊστοῖς
πτώσσει· τᾶς δ' ἔμπνουν ὄμμ' ἔτι φῶς ὁρᾷ.
ἁ δὲ λάλον στέρξασα πάλαι στόμα, νῦν ὑπὸ θάμβευς
μάτηρ σαρκοπαγὴς οἷα πέπηγε λίθος.

---

V. 10. Fort. κάδεϊ. vel κήδεϊ.

Digitized by Google

135. ἈΔΗΛΟΝ.

εἰς εἰκόνα Μηδείας ἐν Ῥώμῃ.

Τέχνη Τιμομάχου στοργὴν καὶ ζῆλον ἔδειξε
Μηδείης, τέκνων εἰς μόρον ἑλκομένων.
τῇ μὲν γὰρ συνένευσεν ἐπὶ ξίφος, ᾗ δ᾽ ἀνανεύει,
σώζειν καὶ κτείνειν βουλομένη τέκεα.

136. ἈΝΤΙΦΙΛΟΥ.

εἰς τὸ αὐτό.

Τὰν ὀλοὰν Μήδειαν ὅτ᾽ ἔγραφε Τιμομάχου χείρ,
ζάλῳ καὶ τέκνοις ἀντιμεθελκομέναν,
μυρίον ἄρατο μόχθον, ἵν᾽ ἤθεα δισσὰ χαράξῃ,
ὧν τὸ μὲν εἰς ὀργὰν νεῦε, τὸ δ᾽ εἰς ἔλεον.
ἄμφω δ᾽ ἐπλήρωσεν· ὅρα τύπον. ἐν γὰρ ἀπειλᾷ
δάκρυον, ἐν δ᾽ ἐλέῳ θυμὸς ἀναστρέφεται.
Ἀρκεῖ δ᾽ ἁ μέλλησις, ἔφα σοφός· αἷμα δὲ τέκνων
ἔπρεπε Μηδείῃ, κοὐ χερὶ Τιμομάχου.

137. ΦΙΛΙΠΠΟΥ.

εἰς τὸ αὐτό.

Τίς σου, Κολχὶς ἄθεσμε, συνέγραφεν εἰκόνι θυμόν;
τίς καὶ ἐν εἰδώλῳ βάρβαρον εἰργάσατο;
αἰεὶ γὰρ διψᾷς βρεφέων φόνον. ἤ τις Ἰήσων
δεύτερος, ἢ Γλαύκη τις πάλι σοι πρόφασις;

---

Nr. 137. V. 4. τίς. Vulgo.

ἔῤῥε καὶ ἐν κηρῷ παιδοκτόνε. σῶν γὰρ ἀμέτρων
ζήλων εἰς ἃ θέλεις καὶ γραφὶς αἰσθάνεται.

### 138. *ΑΔΕΣΠΟΤΟΝ.*

εἰς τὸ αὐτό.

*Δεῦρ' ἴδε παιδολέτειραν ἐν εἰκόνι, δεῦρ' ἴδ' ἄγαλμα,*
*Κολχίδα, Τιμομάχου χειρὶ τυπωσαμένου·*
*φάσγανον ἐν παλάμᾳ, θυμὸς μέγας, ἄγριον ὄμμα,*
*παισὶν ἐπ' οἰκτίστοις δάκρυ κατερχόμενον·*
*πάντα δ' ὁμοῦ συνέχευεν, ἀμικτότατ' εἰς ἓν ἀγείρας,*
*αἵματι μὴ χρῶσαι φεισάμενος παλάμαν.*

### 139. *ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.*

εἰς τὸ αὐτό.

*Τιμόμαχος Μήδειαν ὅτ' ἔγραφεν, εἰκόνι μορφᾶς*
*ἀψύχου ψυχᾶς θήκατο διχθαδίας.*
*ζᾶλον γὰρ λεχέων, τεκέων θ' ἅμα φίλτρα συνάψας,*
*δεῖξεν ἐν ὀφθαλμοῖς ἀντιμεθελκομέναν.*

### 140. *ΑΔΗΛΟΝ.*

εἰς τὸ αὐτό.

*Δεῦρ' ἴδε, καὶ θάμβησον ὑπ' ὀφρύσι κείμενον οἶκτον,*
*καὶ θυμόν, βλεφάρων καὶ πυρόεσσαν ἴτυν,*

---

V. 6. Fort. ζήλων λυσσώδης καί. Nr. 138. V. 5. ἄμικτά τε εἰς.

Digitized by Google

καὶ μητρὸς παλάμην ἀλόχοιό τε πικρὰ παθούσης
ὁρμῇ φειδομένῃ πρὸς φόνον ἑλκομένην.
ζωγράφος εὖ δ' ἔκρυψε φόνου τέλος, οὐκ ἐθελήσας
θάμβος ἀπαμβλῦναι πένθεϊ δερκομένων.

141. ΦΙΛΙΠΠΟΥ.

εἰς τὸ αὐτό.

Κολχίδα, τὴν ἐπὶ παισὶν ἀλάστορα, τραυλὲ χελιδών,
πῶς ἔτλης τεκέων μαῖαν ἔχειν ἰδίων;
ἧς ἔτι κανθὸς ὕφαιμος ἐπαστράπτει φόνιον πῦρ,
καὶ πολιὸς γενύων ἀφρὸς ἄπο σταλάει·
ἀρτιβρεχὴς δὲ σίδηρος ἐφ' αἵματι. φεῦγε πανώλη
μητέρα, κἂν κηρῷ τεκνοφονοῦσαν ἔτι.

142. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα τῆς αὐτῆς.

Μαίνῃ καὶ λίθος οὖσα, καὶ ἐκ κραδίης σέο θυμὸς
ὄμματα κοιλήνας ἐς χόλον ηὐτρέπισεν.
ἔμπης οὐδὲ βάσις σε καθέξεται, ἀλλ' ἄρα θυμῷ
πηδήσεις, τεκέων εἵνεκα μαινομένη.
ὢ, τίς ὁ τεχνίτης τόδε γ' ἔπλασεν, ἢ τίς ὁ γλύπτης,
ὃς λίθον εἰς μανίην ἤγαγεν εὐτεχνίῃ;

---

Nr. 141. V. 1. χελιδόν. Br. V. 3. Fort. ἀπαστράπτει. c. Schaef. V. 4. ἀποσταλάει. Br. Nr. 142. V. 2. Fort. ἐς φόνον. V. 4. Fort. λεχέων εἵνεκα. V. 5. τόδ' ἀνέπλασεν. Br.

Digitized by Google

### 143. ΑΝΤΙΠΑΤΡΟΥ ΜΑΚΕΔΟΝΟΣ.

Μηδείης τύπος οὗτος· ἴδ' ὡς τὸ μὲν εἰς χόλον αἴρει
ὄμμα, τὸ δ' εἰς παίδων ἔκλασε συμπαθίην.

### 144. ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς Ἀταλάντην καὶ Ἱππομένην.

Ἕδνα γάμων ἔῤῥιπτες, ἢ ἀμβολίην ταχυτῆτος,
τοῦτο γέρας κούρῃ χρύσεον, Ἱππόμενες;
ἄμφω μῆλον ἄνυσσεν, ἐπεὶ καὶ παρθένον ὁρμῆς
εἶργεν, καὶ ζυγίης σύμβολον ἦν Παφίης.

### 145. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Ἀριάδνης.

Οὐ βροτὸς ὁ γλύπτας· οἵαν δέ σε Βάκχος ἐραστὰς
εἶδεν ὑπὲρ πέτρας ἔξεσε κεκλιμέναν.

### 146. ΑΛΛΟ.

εἰς τὸ αὐτό.

Ξεῖνοι, λαϊνέας μὴ ψαύετε τᾶς Ἀριάδνας,
μὴ καὶ ἀναθρώσκῃ Θησέα διζομένη.

### 147. ΑΝΤΙΦΙΛΟΥ.

εἰς Ἀνδρομέδαν.

Αἰθιόπων ἁ βῶλος· ὁ δὲ πτερόεις τὰ πέδιλα,
Περσεύς· ἁ δὲ λίθῳ πρόσδετος, Ἀνδρομέδα·

ἁ προτομά, Γοργοῦς λιθοδερκέος· ἆθλον ἔρωτος,
κῆτος· Κασσιόπας, ἁ λάλος εὐτεκνία.
χἀ μὲν ἀπὸ σκοπέλοιο χαλᾷ * πόδας ἠθάδι νάρκᾳ
νωθρόν· ὁ δὲ μναστὴρ νυμφοκομεῖ τὸ γέρας.

148. ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς τὴν αὐτήν.

Κηφεὺς Ἀνδρομέδην, ἢ ζωγράφος ἄνθετο πέτραις;
καὶ γὰρ ἀπ' ὀφθαλμῶν ἡ κρίσις ἀμφίβολος.
κῆτος δὲ σπιλάδεσσιν ἐπὶ γναμπτῇσι χαράχθη,
ἢ ἀπὸ Νηρῆος γείτονος ἐξανέδυ;

149. ΤΟΥ ΑΥΤΟΥ.

εἰς εἰκόνα Ἑλένης.

Ἀργείης Ἑλένης ἐρόεις τύπος, ἣν ποτε βούτης
ἥρπασε, τὸν Ξένιον Ζῆνα παρωσάμενος.

150. ΠΟΛΛΙΑΝΟΥ.

Ἅδε Πολυκλείτοιο Πολυξένα, οὐδέ τις ἄλλα
χεὶρ ἔθιγεν τούτου δαιμονίου πίνακος.
Ἥρας ἔργον ἀδελφόν. ἴδ' ὡς πέπλοιο ῥαγέντος,
τὰν αἰδῶ γυμνὰν σώφρονι κρύπτε πέπλῳ.

---

Nr. 147. V. 5. πόδα σηπάδι. Br. Fort. ποδὸς ἴθματα ν. νωθροῦ. Nr. 148. V. 3. γναμπτῇς ἐχαράχθη. Br. Nr. 150. V. 4. Fort. κρύπτε πόνῳ.

Digitized by Google

λίσσεται ἁ τλάμων ψυχᾶς ὕπερ· ἐν βλεφάροις δὲ
παρθενικᾶς ὁ Φρυγῶν κεῖται ὅλος πόλεμος.

151. ΑΔΕΣΠΟΤΟΝ.

εἰς εἰκόνα Διδοῦς.

Ἀρχέτυπον Διδοῦς ἐρικυδέος, ὦ ξένε, λεύσσεις,
εἰκόνα θεσπεσίῳ κάλλεϊ λαμπομένην.
τοίη καὶ γενόμην, ἀλλ᾽ οὐ νόον οἷον ἀκούεις,
αἰσχρὸν ἐπ᾽ εὐφήμοις δόξαν ἐνεγκαμένη.
οὐδὲ γὰρ Αἰνείαν ποτ᾽ ἐσέδρακον, οὐδὲ χρόνοισι
Τροίης περθομένης ἤλυθον ἐς Λιβύην·
ἀλλὰ βίας φεύγουσα Ἰαρβαίων ὑμεναίων
πῆξα κατὰ κραδίης φάσγανον ἀμφίτομον.
Πιερίδες, τί μοι ἁγνὸν ἐφωπλίσσασθε Μάρωνα;
τοῖα καθ᾽ ἡμετέρης ψεύσατο σωφροσύνης.

[P] 152. ΓΑΥΡΑΔΑ.

ὡς παρὰ τοῦ Πανός.

α. Ἀχὼ φίλα μοι συγκαταίνεσόν τι. β. τί;
α. ἐρῶ κορίσκας· ἁ δέ μ᾽ οὐ φιλεῖ. β. φιλεῖ.
α. πρᾶξαι δ᾽ ὁ Καιρὸς καιρὸν οὐ φέρει. β. φέρει.
α. τὺ τοίνυν αὐτᾷ λέξον ὡς ἐρῶ. β. ἐρῶ.
α. καὶ πίστιν αὐτᾷ κερμάτων τὺ δός. β. τὺ δός.
α. Ἀχώ, τί λοιπόν, ἢ πόθου τυχεῖν; β. τυχεῖν.

---

Nr. 151. V. 3. τοίη γάρ. Br.

153. *ΣΑΤΥΡΟΥ.*

εἰς ἄγαλμα Ἠχοῦς.

Ποιμένιαν ἄγλωσσος ἀν' ὀργάδα μέλπεται Ἀχὼ
ἀντίθρουν πτανοῖς ὑστερόφωνον ὄπα.

154. *ΛΟΥΚΙΑΝΟΥ, οἱ δὲ ΑΡΧΙΟΥ.*

εἰς τὸ αὐτό.

Ἠχὼ πετρήεσσαν ὁρᾷς, φίλε, Πανὸς ἑταίρην,
ἀντίτυπον φθογγὴν ἔμπαλιν ᾀδομένην,
παντοίων στομάτων λάλον εἰκόνα, ποιμέσιν ἡδὺ
παίγνιον. ὅσσα λέγεις, ταῦτα κλύων ἄπιθι.

155. *ΕΥΟΔΟΥ.*

εἰς τὸ αὐτό.

Ἠχὼ μιμολόγον, φωνῆς τρύγα, ῥήματος οὐρήν.

156. *ΑΛΛΟ.*

εἰς τὸ αὐτό.

Ἀρκαδικὰ θεός εἰμι, παρὰ προθύροις δὲ Λυαίου
ναίω, φθεγγόμενον μῦθον ἀμειβομένα.
οὐκέτι γὰρ στυγέω, Βακχεῦ φίλε, τὸν θιασώταν
τὸν τεόν· ἔρχεο, Πάν· ξυνὰ λέγωμεν ἔπη.

---

Nr. 153. V. 1. ἄγλωσσον. Vulgo. Nr. 156. V. 3. *Βάκχε φίλε.* Br.

[P] 157. ΙΟΥΛΙΑΝΟΥ.

εἰς τὴν ἐν Ἀθήναις ἔνοπλον Ἀθηνᾶν.

Τίπτε Τριτογένεια κορύσσεαι ἄστεϊ μέσσῳ;
εἶξε Ποσειδάων· φείδεο Κεκροπίης.

158. ΔΙΟΤΙΜΟΥ.

Ὡς πρέπει, Ἄρτεμίς εἰμ'· εἰ δ' Ἄρτεμιν αὐτὸς ὁ χαλκεὺς
μανύει Ζηνός, κοὐχ ἑτέρου θύγατρα,
τεκμαίρου τὸ θράσος τᾶς παρθένου. ἦ ῥά κεν εἴποις·
πᾶσα χθὼν ὀλίγον τᾶδε κυναγέσιον.

159. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Ἀφροδίτης τῆς ἐν Κνίδῳ.

Τίς λίθον ἐψύχωσε; τίς ἐν χθονὶ Κύπριν ἐσεῖδεν;
ἵμερον ἐν πέτρῃ τίς τόσον εἰργάσατο;
Πραξιτέλους χειρῶν ὅδε που πόνος, ἢ τάχ' Ὄλυμπος
χηρεύει, Παφίης ἐς Κνίδον ἐρχομένης.

160. ΠΛΑΤΩΝΟΣ.

εἰς τὸ αὐτό.

Ἡ Παφίη Κυθέρεια δι' οἴδματος ἐς Κνίδον ἦλθε,
βουλομένη κατιδεῖν εἰκόνα τὴν ἰδίην.
πάντῃ δ' ἀθρήσασα περισκέπτῳ ἐνὶ χώρῳ,
φθέγξατο· ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

Digitized by Google

Πραξιτέλης οὐκ εἶδεν ἃ μὴ θέμις, ἀλλ' ὁ σίδηρος
ἔξεσεν, οἵαν Ἄρης ἤθελε τὴν Παφίην.

161. ΤΟΥ ΑΥΤΟΥ.

Οὔτε σὲ Πραξιτέλης τεχνάσατο, οὔθ' ὁ σίδαρος·
ἀλλ' οὕτως ἔστης, ὥς ποτε κρινομένη.

162. ΑΔΗΛΟΝ.

Ἁ Κύπρις τὰν Κύπριν ἐνὶ Κνίδῳ εἶπεν ἰδοῦσα·
φεῦ, φεῦ, ποῦ γυμνὴν εἶδέ με Πραξιτέλης;

163. ΛΟΥΚΙΑΝΟΥ.

Τὴν Παφίην γυμνὴν οὐδεὶς ἴδεν. εἰ δέ τις εἶδεν,
οὗτος ὁ τὴν γυμνὴν στησάμενος Παφίην.

164. ΤΟΥ ΑΥΤΟΥ.

Σοὶ μορφῆς ἀνέθηκα τεῆς περικαλλὲς ἄγαλμα,
Κύπρι, τεῆς μορφῆς φέρτερον οὐδὲν ἔχων.

165. ΕΥΗΝΟΥ.

Παλλὰς καὶ Κρονίδαο συνευνέτις εἶπον, ἰδοῦσαι
τὴν Κνιδίην· ἀδίκως τὸν Φρύγα μεμφόμεθα.

---

Nr. 160. V. 6. ἔξεσ' οἵαν Ἄρης. Vulgo.

166. ΤΟΥ ΑΥΤΟΥ.

Πρόσθε μὲν Ἰδαίοισιν ἐν οὔρεσιν αὐτὸς ὁ βούτας
δέρξατο τὰν κάλλευς πρῶτ' ἀπενεγκαμέναν.
Πραξιτέλης Κνιδίοις δὲ πανωπήεσσαν ἔθηκεν,
μάρτυρα τῆς τέχνης ψῆφον ἔχων Πάριδος.

167. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Φάσεις, τὰν μὲν Κύπριν ἀνὰ κραναὰν Κνίδον ἀθρῶν,
ἅδε που ὡς φλέξει καὶ θεὸς εὖσα λίθον·
τὸν δ' ἐνὶ Θεσπιάδαις γλυκὺν Ἵμερον, οὐχ ὅτι πέτρον,
ἀλλ' ὅτι κὴν ψυχρῷ πῦρ ἀδάμαντι βαλεῖ.
τοίους Πραξιτέλης κάμε δαίμονας, ἄλλον ἐπ' ἄλλας
γᾶς, ἵνα μὴ δισσῷ πάντα θέροιτο πυρί.

168. ΑΛΛΟ.

Γυμνὴν εἶδε Πάρις με, καὶ Ἀγχίσης, καὶ Ἄδωνις·
τοὺς τρεῖς οἶδα μόνους. Πραξιτέλης δὲ πόθεν;

169. ΑΛΛΟ,

εἰς τὸ αὐτό, καὶ τὴν ἐν Ἀθήναις Ἀθηνᾶν.

Ἀφρογενοῦς Παφίης ζάθεον περιδέρκεο κάλλος,
καὶ λέξεις· Αἰνῶ τὸν Φρύγα τῆς κρίσεως.
Ἀτθίδα δερκόμενος πάλι Παλλάδα, τοῦτο βοήσεις·
Ὡς βούτης ὁ Πάρις τήνδε παρετρόχασεν.

---

Nr. 167. V. 2. Fort. καὶ λίθος εὖσα.

170. ΕΡΜΟΔΩΡΟΥ.

εἰς τὸ αὐτό.

Τὰν Κνιδίαν Κυθέρειαν ἰδών, ξένε, τοῦτό κεν εἴποις·
αὐτὰ καὶ θνατῶν ἄρχε καὶ ἀθανάτων.
τὰν δ' ἐνὶ Κεκροπίδαις δορυθαρσέα Παλλάδα λεύσσων,
αὐδάσεις· ὄντως βουκόλος ἦν ὁ Πάρις.

171. ΛΕΩΝΙΔΟΥ.

εἰς Ἀφροδίτην ὡπλισμένην.

Ἄρεος ἔντεα ταῦτα τίνος χάριν, ὦ Κυθέρεια,
ἐνδέδυσαι, κενεὸν τοῦτο φέρουσα βάρος;
αὐτὸν Ἄρη γυμνὴ γὰρ ἀφώπλισας· εἰ δὲ λέλειπται
καὶ θεὸς, ἀνθρώποις ὅπλα μάτην ἐπάγεις.

172. ΑΛΕΞΑΝΔΡΟΥ ΑΙΤΩΛΟΥ.

εἰς τὴν αὐτήν.

Αὐτάν που τὰν Κύπριν ἀπηκριβώσατο Παλλάς,
τᾶς ἐπ' Ἀλεξάνδρου λαθομένα κρίσιος.

173. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

εἰς τὴν ἐν Σπάρτῃ ἔνοπλον Ἀφροδίτην.

Αἰεὶ μὲν Κυθέρεια φέρειν δεδάηκε φαρέτρην,
τόξα τε, καὶ δολιχῆς ἔργον ἐκηβολίης.
αἰδομένη δ' ἄρα θεσμὰ μενεπτολέμοιο Λυκούργου
φίλτρα φέρει Σπάρτῃ τεύχεσιν ἀγχεμάχοις.



Digitized by Google

ὑμεῖς δ' ἐν θαλάμοισι, Λακωνίδες, ὅπλα Κυθήρης
    ἀζόμεναι, παῖδας τίκτετε θαρσαλέους.

174. ἈΔΕΣΠΟΤΟΝ.

εἰς τὴν αὐτήν.

Παλλὰς τὰν Κυθέρειαν ἔνοπλον ἔειπεν ἰδοῦσα·
    Κύπρι, θέλεις οὕτως ἐς κρίσιν ἐρχόμεθα;
ἡ δ' ἁπαλὸν γελάσασα, τί μοι σάκος ἀντίον αἴρειν;
    εἰ γυμνὴ νικῶ, πῶς ὅταν ὅπλα λάβω;

175. ἈΝΤΙΠΑΤΡΟΥ.

εἰς τὴν αὐτήν.

Καὶ λίθος ὡς Παφίη θωρήξατο, ἢ τάχα μᾶλλον
εἶδε λίθον Παφίη, καὶ ὤμοσεν· ἤθελον εἶναι.

176. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ Κύπρις Σπάρτας οὐκ ἄστεσιν οἷά τ' ἐν ἄλλοις
    ἵδρυται, μαλακὰς ἑσσαμένα στολίδας·
ἀλλὰ κατὰ κρατὸς μὲν ἔχει κόρυν ἀντὶ καλύπτρας,
    ἀντὶ δὲ χρυσείων ἀκρεμόνων κάμακα.
οὐ γὰρ χρὴ τευχέων εἶναι δίχα τὰν παράκοιτιν
    Θρακὸς Ἐνυαλίου, καὶ Λακεδαιμονίαν.

---

Nr. 173. V. 5. κυθείρης. edd. vett. N. 175. V. 1. Fort. ἢ λίθος. V. 2. Fort. καὶ ἐπώμοσεν. c. Hermann.

Digitized by Google

### 177. ΦΙΛΙΠΠΟΥ.

Κύπρι φιλομμειδής, θαλαμηπόλε, τίς σε μελιχρὴν
δαίμονα τοῖς πολέμων ἐστεφάνωσεν ὅπλοις;
σοὶ παιὰν φίλος ἦν, καὶ ὁ χρυσοκόμης Ὑμέναιος,
καὶ λιγυρῶν αὐλῶν ἡδυμελεῖς χάριτες·
ἐς τί δὲ ταῦτ' ἐνέδυς ἀνδροκτόνα; μὴ θρασὺν Ἄρη
συλήσασ' αὐχεῖς, Κύπρις ὅσον δύναται;

### 178. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

εἰς τὴν αὐτὴν ἀνερχομένην ἀπὸ θαλάττης.

Τὰν ἀναδυομέναν ἀπὸ ματέρος ἄρτι θαλάσσας
Κύπριν, Ἀπελλείου μόχθον ὅρα γραφίδος,
ὡς χερὶ συμμάρψασα διάβροχον ὕδατι χαίταν
ἐκθλίβει νοτερῶν ἀφρὸν ἀπὸ πλοκάμων.
αὐταὶ νῦν ἐρέουσιν Ἀθηναίη τε καὶ Ἥρη·
οὐκέτι σοὶ μορφᾶς εἰς ἔριν ἐρχόμεθα.

### 179. ΑΡΧΙΟΥ.

Αὐτὰν ἐκ πόντοιο τιθήνητῆρος Ἀπελλῆς
τὰν Κύπριν γυμνὰν εἶδε λοχευομέναν,
καὶ τοίαν ἐτύπωσε, διάβροχον ὕδατος ἀφρῷ
θλίβουσαν θαλεραῖς χερσὶν ἔτι πλόκαμον.

---

Nr. 177. V. 3. Fort. παστὸς φίλος.

### 180. ΔΗΜΟΚΡΙΤΟΥ.

Κύπρις ὅτε σταλάουσα κόμας ἁλιμυρέος ἀφροῦ
γυμνὴ πορφυρέου κύματος ἐξανέδυ,
οὕτω που κατὰ λευκὰ παρήϊα χερσὶν ἑλοῦσα
βόστρυχον, Αἰγαίην ἐξεπίεζεν ἅλα,
στέρνα μόνον φαίνουσα, τὰ καὶ θέμις· εἰ δὲ τοιήδε
κείνη, συγχείσθω θυμὸς Ἐνυαλίου.

### 181. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

εἰς τὴν Ἀπελλοῦ Ἀφροδίτην ἀναδυομένην.

Ἄρτι θαλασσαίης Παφίη προὔκυψε λοχείης,
μαῖαν Ἀπελλείην εὑραμένη παλάμην,
ἀλλὰ τάχος γραφίδων ἀποχάζεο, μή σε διήνῃ
ἀφρὸς ἀποστάζων θλιβομένων πλοκάμων.
εἰ τοίη ποτὲ Κύπρις ἐγυμνώθη διὰ μῆλον,
τὴν Τροίην ἀδίκως Παλλὰς ἐληΐσατο.

### 182. ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

εἰς τὴν αὐτήν.

Τὰν ἐκφυγοῦσαν ματρὸς ἐκ κόλπων ἔτι,
ἀφρῷ τε μορμύρουσαν εὐλεχῆ Κύπριν
ἰδὼν Ἀπελλῆς, κάλλος ἱμερώτατον,
οὐ γραπτόν, ἀλλ' ἔμψυχον ἐξεμάξατο.

---

Nr. 182. V. 3. εἰδώς. Vulgo. Fort. ἴδ' ὡς.

Digitized by Google

εὖ μὲν γὰρ ἄκραις χερσὶν ἐκθλίβει κόμαν,
εὖ δ' ὀμμάτων γαληνὸς ἐκλάμπει πόθος,
καὶ μαζὸς, ἀκμῆς ἄγγελος, κυδωνιᾷ.
αὐτὰ δ' Ἀθάνα καὶ Διὸς συνευνέτις
φάσουσιν, ὦ Ζεῦ, λειπόμεσθα τῇ κρίσει.

183. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Διονύσου πλησίον Ἀθηνᾶς ἑστώς.

α· Εἰπέ, τί σοὶ ξυνὸν καὶ Παλλάδι; τῇ γὰρ ἄκοντες
καὶ πόλεμοι πάρα· σοὶ δ' εὔαδον εἰλαπίναι.
β· μὴ προπετῶς, ὦ ξεῖνε, θεῶν πέρι τοῖα μετάλλα·
ἴσθι δ' ὅσοις ἴκελος δαίμονι τῇδε πέλω.
καὶ γὰρ ἐμοὶ πολέμων φίλιον κλέος· οἶδεν ἅπας μοι
ἠῴου δμηθεὶς Ἰνδὸς ἀπ' Ὠκεανοῦ.
καὶ μερόπων δὲ φυὴν ἐγερήραμεν, ἡ μέν, ἐλαίῃ,
αὐτὰρ ἐγὼ γλυκεροῖς βότρυσιν ἡμερίδος.
καὶ μὴν οὐδ' ἐπ' ἐμοὶ μήτηρ ὠδῖνας ὑπέτλη·
λῦσα δ' ἐγὼ μηρὸν πάτριον, ἡ δέ, κάρη.

184. ΑΝΤΙΠΑΤΡΟΥ.

εἰς ἕτερον ἄγαλμα τοῦ αὐτοῦ.

Αὐσονίῳ Πείσωνι συνασπιστὴς Διόνυσος
ἵδρυμαι μεγάρων φρουρὸς ἐπ' εὐτυχίῃ.
ἄξιον, ὦ Διόνυσ', ἐσέβης δόμον. ἔπρεπεν ἄμφω
καὶ μέγαρον Βάκχῳ, καὶ Βρόμιος μεγάρῳ.

---

Nr. 183. V. 6. ἠῷος. Vulgo. Nr. 184. Ἀντ. Σιδωνίου. Vulgo.

185. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Διονύσου καὶ Ἡρακλέους.

Ἀμφότεροι Θήβηθε, καὶ ἀμφότεροι πολεμισταί,
κἠκ Ζηνός· θύρσῳ δεινός, ὁ δὲ ῥοπάλῳ.
ἀμφοῖν δὲ στῆλαι συντέρμονες. εἴκελα δ' ὅπλα,
νεβρίς, λειοντῆ· κύμβαλα δέ, πλαταγή.
Ἥρη δ' ἀμφοτέροις χαλεπὴ θεός. οἱ δ' ἀπὸ γαίης
ἦλθον ἐς ἀθανάτους, ἐκ πυρὸς ἀμφότεροι.

186. ΞΕΝΟΚΡΑΤΟΥΣ.

εἰς ἄγαλμα Ἑρμοῦ.

Ἑρμῆς ὠκὺς ἐγὼ κικλήσκομαι. ἀλλὰ παλαίστρῃ
μὴ κολοβὸν χειρῶν ἵστατε, μηδ' ἄποδα·
ἢ πῶς ὠκὺς ἐγώ; πῶς δ' ὄρθια χειρονομήσω,
ἐς βάσιν ἀμφοτέρων ὀρφανὸς ἱστάμενος;

187. ΑΔΗΛΟΝ.

εἰς τὸ αὐτό.

Ἑρμείῃ ξυλίνῳ τις ἐπηύχετο, καὶ ξύλον ἦεν.
εἶτά μιν ἀείρας χαμάδις βάλε· τοῦ δ' ἄπο χρυσὸς
ἐῤῥευσεν καταγέντος. ὕβρις πόρε πολλάκι κέρδος.

---

Nr. 185. V. 4. νεβρος. Vulgo.

188. ΝΙΚΙΟΥ.

Εἰνοσίφυλλον ὄρος Κυλλήνιον αἰπὺ λελογχώς,
τῇδ' ἕστηκ' ἐρατοῦ γυμνασίου μεδέων,
Ἑρμῆς· ᾧ ἔπι παῖδες ἀμάρατον ἠδ' ὑάκινθον
πολλάκι, καὶ θαλεροὺς θῆκαν ἴων στεφάνους.

189. ΤΟΥ ΑΥΤΟΥ.

Φρουρὸς ἐπὶ σμήνεσσι, Περιστράτου εἵνεκα, μίμνω
ἐνθάδε, Μαιναλίαν κλιτὺν ἀποπρολιπών,
κλῶπα μελισσάων δεδοκημένος. ἀλλ' ἀλέασθε
χεῖρα, καὶ ἀγροτέρου κοῦφον ὄρεγμα ποδός.

190. ΛΕΩΝΙΔΟΥ.

Τᾶν αἰγῶν ὁ νομεὺς Μόριχος τὸν ἐπίσκοπον Ἑρμᾶν
ἔστασ' αἰπολίων εὐδόκιμον φύλακα.
ἀλλά μοι αἴ τ' ἂν ὄρη χλωρᾶς κεκορεσμέναι ὕλας,
τοῦ δ' ἁρπακτῆρος μή τι μέλεσθε λύκου.

191. ΝΙΚΑΙΝΕΤΟΥ.

Αὐτόθεν ὀστράκινόν με καὶ ἐν ποσὶ γήϊνον Ἑρμῆν
ἔπλασεν ἀψῖδος κύκλος ἑλισσάμενος.
πηλὸς ἐφυράθην· οὐ ψεύσομαι. ἀλλ' ἐφίλησα,
ὦ ξεῖν', ὀστρακέων δύςμορον ἐργασίην.

---

Nr. 188. V. 3. ἀμάρακον. corr. Schneider. Nr. 190. V. 3. Fort. μόλοιτ' ἄν. Nr. 191. V. 4. ὦ ξένε.

192. ΑΔΕΣΠΟΤΟΝ.

Ὦ λῷστε, μὴ νόμιζε τῶν πολλῶν ἕνα
Ἑρμᾶν θεωρεῖν. εἰμὶ γὰρ τέχνα Σκόπα.

193. ΦΙΛΙΠΠΟΥ.

α. Κράμβης ἅψωμαι, Κυλλήνιε; β. μή, παροδῖτα.
α. τίς φθόνος ἐκ λαχάνων; β. οὐ φθόνος, ἀλλὰ νόμος,
ἀλλοτρίων ἀπέχειν κλοπίμους χέρας. α. ὢ παραδόξου,
μὴ κλέπτειν Ἑρμῆς καινὸν ἔθηκε νόμον.

194. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Ἔρωτος.

Χάλκειόν τις Ἔρωτα μετήγαγεν ἐκ πυρὸς εἰς πῦρ,
τήγανον ἁρμόζων τῇ κολάσει κόλασιν.

195. ΣΑΤΥΡΟΥ.

εἰς ἄγαλμα τοῦ αὐτοῦ δεδεμένου.

Τὸν πτερόεντα τίς ὧδε, τίς ἐν δεσμοῖσι θοὸν πῦρ
ὤχμασεν; αἰθομένης ἥψατο τίς φαρέτρης,
καὶ τὰς ὠκυβόλους περιηγέας ἐσφήκωσε
χεῖρας, ὑπὸ στιβαρῷ κίονι δησάμενος;
ψυχρὰ τάδ᾽ ἀνθρώποις παραμύθια. μή ποτ᾽ ἐκείνου
οὗτος ὁ δεσμώτης αὐτὸς ἔδησε φρένα;

Digitized by Google

### 196. ΑΛΚΑΙΟΥ.

Τίς σὲ τὸν οὐχ ὁσίως ἠγρευμένον ὧδε πεδήσας
θήκατο; τίς πλέγδην σὰς ἐνέδησε χέρας,
καὶ πιναρὰν ὄψιν τεκτήνατο; ποῦ θοὰ τόξα,
νήπιε, ποῦ πικρὴ πυρφόρος ἰοδόκη;
ἦ ῥα μάτην ἐπόνησε λιθοξόος, ὅς σέ, τὸν οἴστρῳ
κυμήναντα θεούς, τῇδ' ἐνέδησε πάγῃ.

### 197. ΑΝΤΙΠΑΤΡΟΥ.

Τίς δισσὰς παλάμας πρὸς κίονα δῆσεν ἀφύκτοις
ἅμμασι; τίς πυρὶ πῦρ, καὶ δόλον εἷλε δόλῳ;
νήπιε, μὴ δὴ δάκρυ κατὰ γλυκεροῖο προσώπου
βάλλε· σὺ γὰρ τέρπῃ δάκρυσιν ἠϊθέων.

### 198. ΜΑΙΚΙΟΥ.

Κλαῖε δυσεκφύκτως σφιγχθεὶς χέρας, ἄκριτε δαῖμον,
κλαῖε μάλα, στάζων ψυχοτακῆ δάκρυα,
σωφροσύνας ὑβριστά, φρενοκλόπε, ληστὰ λογισμοῦ,
πτανὸν ψυχᾶς πῦρ, τραῦμ' ἀόρατον, Ἔρως.
θνατοῖς μὲν λύσις ἐστὶ γόων ὁ σός, ἄκριτε, δεσμός·
ᾧ σφιγχθεὶς κωφοῖς πέμπε λιτὰς ἀνέμοις.
ὃν δὲ βροτοῖς ἀφύλακτος ἐνέφλεγες ἐν φρεσὶ πυρσόν,
ἄθρει νῦν ὑπὸ σῶν σβεννύμενον δακρύων.

### 199. ΚΡΙΝΑΓΟΡΟΥ.

Καὶ κλαῖε, καὶ στέναζε, συσφίγγων χεροῖν
τένοντας, ὦ 'πίβουλε· τοῖά τοι πρέπει.

Digitized by Google

οὐκ ἔσθ' ὁ λύσων· μὴ 'κεῖν' ὑπόβλεπε.
αὐτὸς γὰρ ἄλλων ἐκ μὲν ὀμμάτων δάκρυ
ἔθλιψας, ἐν δὲ παρὰ καρδίᾳ βέλη
πήξας, ἀφύκτων ἰὸν ἔσταξας πόθων,
Ἔρως· τὰ θνητῶν δ' ἐστί σοι γέλως ἄχη.
πέπονθας οἷ' ἔρεξας. ἐσθλὸν ἡ δίκη.

## 200. ΜΟΣΧΟΥ.

εἰς Ἔρωτα ἀροτριῶντα.

Λαμπάδα θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην·
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ· πλῆσον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

## 201. ΜΑΡΙΑΝΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς Ἔρωτα ἐστεφανωμένον.

α. Ποῦ σοι τόξον ἐκεῖνο παλίντονον, οἵ τ' ἀπὸ σεῖο
πηγνύμενοι μεσάτην ἐς κραδίην δόνακες;
ποῦ πτερά; ποῦ λαμπὰς πολυώδυνος; ἐς τί δὲ τρισσὰ
στέμματα χερσὶν ἔχεις, κρατὶ δ' ἐπ' ἄλλο φέρεις;
β. Οὐκ ἀπὸ πανδήμου, ξένε, Κύπριδος, οὐκ ἀπὸ γαίης
εἰμί, καὶ ὑλαίης ἔκγονος εὐφροσύνης.

---

Nr. 199. V. 5. καρδίαις. Br. Nr. 200. V. 5. βρέξον. Br.

Digitized by Google

ἀλλ' ἐγὼ ἐς καθαρὴν μερόπων φρένα πυρσὸν ἀνάπτω
εὐμαθίης, ψυχὴν δ' οὐρανὸν εἰςανάγω.
ἐκ δ' ἀρετῶν στεφάνους πισύρων πλέκω· ὧν ἀφ' ἑκάστης
τούςδε φέρων, πρώτῳ τῷ σοφίης στέφομαι.

## 202. ΑΔΗΛΟΝ.

Μή με τὸν ἐκ Λιβάνοιο λέγε, ξένε, τὸν φιλοκώμων
τερπόμενον νυχίοις ἠϊθέων ὀάροις.
βαιὸς ἐγὼ νύμφης ἀπὸ γείτονος ἀγροιώτης,
μοῦνον ἐποτρύνων ἔργα φυτοσκαφίης.
ἔνθεν ἀπ' εὐκάρπου με φίλης ἔστεψαν ἀλωῆς
τέσσαρες Ὡράων ἐκ πισύρων στέφανοι.

## 203. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

εἰς τὸν Πραξιτέλους Ἔρωτα.

Κλίνας αὐχένα γαῦρον ὑφ' ἡμετέροισι πεδίλοις,
χερσί με ληϊδίαις ἔπλασε Πραξιτέλης.
αὐτὸν γὰρ τὸν Ἔρωτα τὸν ἔνδοθι κευθόμενόν με
χαλκώσας, Φρύνῃ δῶκε γέρας φιλίης.
ἡ δέ μιν αὖθις Ἔρωτι προςήγαγε· καὶ γὰρ ἐρῶντας
δῶρον Ἔρωτι φέρειν αὐτὸν Ἔρωτα θέμις.

## 204. ΣΙΜΩΝΙΔΟΥ.

Πραξιτέλης ὃν ἔπασχε διηκρίβωσεν Ἔρωτα
ἐξ ἰδίης ἕλκων ἀρχέτυπον κραδίης,

Φρύνῃ μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ τίκτω;
οὐκέτι τοξεύων, ἀλλ' ἀτενιζόμενος.

205. *ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ.*

Ἀντί μ' ἔρωτος Ἔρωτα, βροτῷ θεὸν ὤπασε Φρύνῃ
Πραξιτέλης, μισθὸν καὶ θεὸν εὑρόμενος.
ἡ δ' οὐκ ἠρνήθη τὸν τέκτονα· δεῖσε γὰρ οἱ φρήν,
μὴ θεὸς ἀντὶ τέχνης σύμμαχα τόξα λάβῃ.
τάρβει δ' οὐκέτι που τὸν Κύπριδος, ἀλλὰ τὸν ἐκ σοῦ,
Πραξίτελες, τέχνην μητέρ' ἐπισταμένη.

206. *ΛΕΩΝΙΔΟΥ.*

Θεσπιέες τὸν Ἔρωτα μόνον θεὸν ἐκ Κυθερείης
ἄζοντ', οὐχ ἑτέρου γραπτὸν ἀπ' ἀρχετύπου,
ἀλλ' ὃν Πραξιτέλης ἔγνω θεόν, ὃν περὶ Φρύνῃ
δερκόμενος, σφετέρων λύτρον ἔδωκε πόθων.

207. *ΠΑΛΛΑΔΑ.*

Γυμνὸς Ἔρως, διὰ τοῦτο γελᾷ καὶ μείλιχός ἐστιν·
οὐ γὰρ ἔχει τόξον, καὶ πυρόεντα βέλη.
οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα καὶ ἄνθος·
τῇ μὲν γὰρ γαῖαν, τῇ δὲ θάλασσαν ἔχει.

208. *ΓΑΒΡΙΗΛΙΟΥ ΥΠΑΡΧΟΥ.*

*εἰς Ἔρωτα καθεύδοντα ἐν πιπεροπάστῳ.*

Οὐδὲ κατακνώσσων, οὐδ' ἄπνοος, οὐδ' ἐνὶ δαιτὶ
νόσφι πυρισπάρτου δήγματός ἐστιν Ἔρως.

Digitized by Google

### 209. ΑΔΗΛΟΝ.

Οὗτος ὁ τὸν δαλὸν φυσῶν, ἵνα λύχνον ἀνάψῃς,
δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον· ὅλος φλέγομαι.

### 210. ΠΛΑΤΩΝΟΣ.

εἰς Ἔρωτα ἐν ἄλσει κοιμώμενον.

Ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα παῖδα Κυθήρης.
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα·
ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο·
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ
εὗδεν μειδιόων· ξουθαὶ δ' ἐφύπερθε μέλισσαι
κηροχυτοῦσ' ἐντός, λαροῖς ἐπὶ χείλεσι βαῖνον.

### 211. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

εἰς Ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις ἀτηρῆς, ἃ τέκος Ἀφρογενοῦς,
οὐ πεύκην πυρόεσσαν ἐπηρμένος, οὐδ' ἀφύλακτον
ἐκ κέραος ψάλλων ἀντιτόνοιο βέλος.
ἄλλοι θαρσείτωσαν· ἐγὼ δ', ἀγέρωχε, δέδοικα,
μή μοι καὶ κνώσσων πικρὸν ὄνειρον ἴδῃς.

---

Nr. 210. V. 7. λαγαροῖς. Vulgo.

Digitized by Google

212. ΑΛΦΕΙΟΥ.

Ἁρπάσομαι πυρόεσσαν, Ἔρως, χερὸς ἐκ σέο πεύκην,
συλήσω δ' ὤμων ἀμφικρεμῆ φαρέτρην,
εἴ γ' ἐτύμως εὕδεις, πυρὸς ἔγγονε, καὶ σέο φῶτες
πρὸς βαιὸν τόξων εὐνομίην ἄγομεν.
ἀλλὰ καὶ ὥς σε δέδοικα, δολοπλόκε, μή τινα κεύθῃς
εἰς ἐμέ, κὴν ὕπνῳ πικρὸν ὄνειρον ἴδῃς.

213. ΜΕΛΕΑΓΡΟΥ, οἱ δὲ ΣΤΡΑΤΩΝΟΣ.

Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται,
καὶ σκυθικῶν τόξων ἀκροβολεῖς ἀκίδες,
φεύξομ' Ἔρως ὑπὸ γᾶν σε· τί γὰρ πλέον; οὐδὲ γὰρ αὐτὸς
σὰν ἔφυγεν ῥώμαν πανδαμάτωρ Ἀΐδας.

214. ΣΕΚΟΥΝΔΟΥ.

εἰς ἀγάλματα Ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' Ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνόν,
ἀσπίδ' Ἐνυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.

---

Nr. 213. V. 3. τί δὲ πλέον. Br. Nr. 214. V. 2. ἀγαλλόμενα. Vulgo.

τί πλέον ἀνθρώποισιν, Ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

215. ΦΙΛΙΠΠΟΥ.

Συλήσαντες Ὄλυμπον ἴδ' ὡς ὅπλοισιν Ἔρωτες
κοσμοῦντ', ἀθανάτων σκῦλα φρυασσόμενοι.
Φοίβου τόξα φέρουσι, Διὸς δὲ κεραυνόν, Ἄρηος
ὅπλον καὶ κυνέην, Ἡρακλέους ῥόπαλον,
εἰναλίου τε θεοῦ τριβελὲς δόρυ, θύρσα τε Βάκχου,
πτηνὰ πέδιλ' Ἑρμοῦ, λαμπάδας Ἀρτέμιδος.
οὐκ ἄχθος θνητοῖς εἴκειν βελέεσσιν Ἐρώτων,
δαίμονες οἷς ὅπλων κόσμον ἔδωκαν ἔχειν.

216. ΠΑΡΜΕΝΙΩΝΟΣ.

εἰς ἄγαλμα Ἥρας.

Ὠργεῖος Πολύκλειτος, ὁ καὶ μόνος ὄμμασιν Ἥρην
ἀθρήσας, καὶ ὅσην εἶδε τυπωσάμενος,
θνητοῖς κάλλος ἔδειξεν, ὅσον θέμις· αἱ δ' ὑπὸ κόλποις
ἄγνωστοι μορφαὶ Ζηνὶ φυλασσόμεθα.

217. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Καλλιόπης.

Καλλιόπη μὲν ἐγώ· Κύρῳ δ' ἐμὸν ὤπασα μαζόν,
ὃς τρέφε θεῖον Ὅμηρον, ὅθεν πίε νήδυμος Ὀρφεύς.

---

Nr. 215. V. 6. λαμπάδα. Vulgo.

Digitized by Google

218. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

*εἰς εἰκόνα τῆς αὐτῆς.*

*Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι,*
*ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.*

219. ΤΟΥ ΑΥΤΟΥ.

*εἰς εἰκόνα Πολυμνίας.*

*Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δέ, Μούσης.*
*ἓν γὰρ ἐπ' ἀμφοτέραις οὔνομα, καὶ τύπος εἷς.*

220. ΑΝΤΙΠΑΤΡΟΥ.

*εἰς εἰκόνα Μουσῶν.*

*Τρίζυγες αἱ Μοῦσαι τᾷδ' ἕσταμεν· ἁ μία λωτούς,*
*ἁ δὲ φέρει παλάμαις βάρβιτον, ἁ δὲ χέλυν.*
*ἁ μὲν Ἀριστοκλῆος ἔχει χέλυν, ἁ δ' Ἀγελάδα*
*βάρβιτον, ἁ Καναχᾶ δ' ὑμνοπόλους δόνακας.*
*ἀλλ' ἁ μὲν κράντειρα τόνου πέλει· ἁ δὲ μελῳδὸς*
*χρώματος· ἁ δὲ σοφᾶς εὑρέτις ἁρμονίας.*

221. ΘΕΑΙΤΗΤΟΥ.

*εἰς τὴν Ἀθηναίων Νέμεσιν.*

*Χιονέην με λίθον παλιναυξέος ἐκ περιωπῆς*
*λαοτύπος τμήξας πετροτόμοις ἀκίσι*

---

Nr. 220. V. 5. *πέλεν*. Br. Nr. 221. V. 1. *ῥονίην*. corr. Scaliger.

Μῆδος ἐποντοπόρευσεν, ὅπως ἀνδρείκελα τεύξῃ,
τῆς κατ' Ἀθηναίων σύμβολα καμμονίης.
ὡς δὲ δαϊζομένοις Μαραθὼν ἀντέκτυπε Πέρσαις,
καὶ νέες ὑγροπόρουν χεύμασιν αἱμαλέοις,
ἔξεσαν Ἀδρήστειαν ἀριστώδινες Ἀθῆναι,
δαίμον' ὑπερφιάλοις ἀντίπαλον μερόπων.
ἀντιταλαντεύω τὰς ἐλπίδας· εἰμὶ δὲ καὶ νῦν
Νίκη Ἐρεχθείδαις, Ἀσσυρίοις Νέμεσις.

222. *ΠΑΡΜΕΝΙΩΝΟΣ.*

εἰς τὸ αὐτό.

Μήδοις ἐλπισθεῖσα τροπαιοφόρος λίθος εἶναι,
ἠλλάχθην μορφὴν καίριον εἰς Νέμεσιν,
ἔνδικος ἱδρυνθεῖσα θεὰ Ῥαμνοῦντος ἐπ' ὄχθαις,
νίκης καὶ σοφίης Ἀτθίδι μαρτύριον.

223. *ΑΔΗΛΟΝ.*

εἰς στήλην Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχεϊ, τῷ τε χαλινῷ,
μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

224. *ΑΛΛΟ.*

Ἡ Νέμεσις πῆχυν κατέχω· τίνος οὕνεκα; λέξεις.
πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον.



Digitized by Google

### 225. *ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

*εἰς ἄγαλμα Πανός.*

*Ἦν τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν,*
*πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.*
*ἀλλ' ὀρέων φεύγουσαν ἀμήχανος ἄστατον Ἠχώ,*
*πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.*

### 226. *ΑΛΚΑΙΟΥ.*

*εἰς τὸ αὐτό.*

*Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μοῦσαν,*
*ἔμπνει, ποιμενίῳ τερπόμενος δόνακι,*
*εὐκελάδῳ σύριγγι χέων μέλος, ἐκ δὲ συνῳδοῦ*
*κλάζε κατιθύνων ῥήματος ἁρμονίην·*
*ἀμφὶ δὲ σοί, ῥυθμοῖο κατὰ κρότον, ἔνθεον ἴχνος*
*ῥησσέσθω Νύμφαις ταῖσδε μεθυδριάσιν.*

### 227. *ΑΔΗΛΟΝ.*

*Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς λειμῶνος, ὁδῖτα,*
*ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα μόθου,*
*ᾗχί σε καὶ Ζεφύροιο τινασσομένη πίτυς αὔραις*
*θέλξει, τεττίγων εἰςαΐοντα μέλος,*
*χὠ ποιμὴν ἐν ὄρεσσι μεσαμβρινὸν ἀγχόθι παγᾶς*
*συρίσδων, λασίας θάμνῳ ὕπο πλατάνου*

---

Nr. 227. V. 2. *καμάτου.* ed. pr. *μόθου.* Vulgo. *πόνου.* Br. Fort. *κόπου.* V. 5. *ποιμάν.* Br.

καύματ' ὀπωρινοῖο φυγὼν κυνός· ἅλμα δ' ἀμείψεις
αὔριον. εὖ τόδε σοι Πανὶ λέγοντι πιθοῦ.

228. ΑΝΥΤΗΣ.

Ξεῖν', ὑπὸ τὰν πέτραν τετρυμένα γυῖ' ἀνάπαυσον·
ἁδύ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
πίδακά τ' ἐκ παγᾶς ψυχρὸν πίε· δὴ γὰρ ὁδίταις
ἄμπαυμ' ἐν θερμῷ καύματι τοῦτο φίλον.

229. ΑΔΗΛΟΝ.

Ἐξ αὐτοῦ Διός ἐστιν ὁ φίλτατος ἔκχυτος οὗτος·
μαρτυρίην δὲ φέρει τὴν ἐπάνω νεφέλην.
Ἑρμείαν γὰρ ἄνακτα τέκεν νεφεληγερέτα Ζεύς·
αὐτὰρ ὅγ' Ἑρμείας Πᾶνα τὸν αἰγελάτην.

230. ΛΕΩΝΙΔΟΥ.

Μὴ σύ γ' ἐπ' οἰονόμοιο περιπλέον ἰλύος ὧδε
τοῦτο χαραδραίης θερμόν, ὁδῖτα, πίῃς·
ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλήβοτον ἄκραν,
κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ,
εὑρήσεις κελαρύζον εὐκρήνου διὰ πέτρης
νᾶμα, Βορειαίης ψυχρότερον νιφάδος.

---

Nr. 228. V. 1. Fort. πτελέαν.

231. ΑΝΥΤΗΣ.

α. Τίπτε κατ' οἰόβατον, Πὰν ἀγρότα, δάσκιον ὕλαν
ἥμενος, ἁδυβόᾳ τῷδε κρέκεις δόνακι;
β. ὄφρα μοι ἑρσήεντα κατ' οὔρεα ταῦτα νέμοιντο
πόρτιες ἠϋκόμων δρεπτόμεναι σταχύων.

232. ΣΙΜΩΝΙΔΟΥ.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ' Ἀθηναίων, στήσατο Μιλτιάδης.

233. ΘΕΑΙΤΗΤΟΥ.

Ὑλοβάτας, φιλόδενδρος, ὀρεσσαύλου πόσις Ἀχοῦς,
πάνσκοπος, εὐκεράου μαλοφύλαξ ἀγέλας,
Πὰν ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετανάστας
ἔδραμον αἰχματᾶν ἐς δάϊν Ἀσσυρίων,
Μιλτιάδου στήσαντος ὁμάσπιδα περσοδιώκτην,
ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης.
ἄλλοις ἀκροπόληες· ὁ μηδοφόνος δὲ δέδασται
ξυνὸς ἐμὶν Μαραθὼν καὶ μαραθωνομάχαις.

234. ΦΙΛΟΔΗΜΟΥ.

Τρισσοὺς ἀθανάτους χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
μανύει τρανῶς Πᾶνα τὸν αἰγόκερων.

Digitized by Google

στέρνα δὲ καὶ νηδύς, Ἡρακλέα· λοιπὰ δὲ μηρῶν
καὶ κνήμης Ἑρμῆς ὁ πτερόπους ἔλαχεν.
θύειν ἀρνήσῃ, ξένε, μηκέτι. τοῦ γὰρ ἑνός σοι
θύματος οἱ τρισσοὶ δαίμονες ἁπτόμεθα.

### 235. ΑΠΟΛΛΩΝΙΔΟΥ ΣΜΥΡΝΑΙΟΥ.

Ἀγροτέρων θεός εἰμι. τί μοι χρυσέοις δεπάεσσι
σπένδετε; ποῦ δ' Ἰταλοῦ χεῖτε μέθυ Βρομίου,
καὶ γυροὺς ταύρων πέτρῃ προσδεῖτε τένοντας;
φείσασθ'· οὐ τούτοις θύμασι τερπόμεθα.
Πὰν ὁ παρωρείτης, αὐτόξυλος, ἀρνεοθοίνης
εἰμί, καὶ ἐγχθονίου γλευκοπότης κύλικος.

### 236. ΛΕΩΝΙΔΟΥ, οἱ δὲ ΠΕΡΙΤΟΥ.

Αὐτοῦ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
ἔστησεν λαχάνων Δεινομένης φύλακα.
ἀλλ' ὡς ἐντέταμαι, φώρ, ἔμβλεπε. τοῦτο δ', ἐρωτᾷς,
τῶν ὀλίγων λαχάνων εἵνεκα; τῶν ὀλίγων.

### 237. ΤΥΜΝΕΩ.

εἰς ἄγαλμα Πριήπου.

Πάντα πριηπίζω, κἂν ᾖ Κρόνος· οὐ διακρίνω
οὐδένα φῶρ' οὕτω ταῖσδε παρὰ πρασιαῖς.
ἔπρεπε μὴ λαχάνων ἕνεκεν τάδε καὶ κολοκυντῶν,
φήσει τις, με λέγειν. ἔπρεπεν· ἀλλὰ λέγω.

---

Nr. 235. V. 2. F. τοῦ δ' Ἰταλοῦ.

Φρύνη μισθὸν ἐμεῖο διδοὺς ἐμέ. φίλτρα δὲ τίκτω,
οὐκέτι τοξεύων, ἀλλ' ἀτενιζόμενος.

205. ΤΥΛΛΙΟΥ ΓΕΜΙΝΟΥ.

Ἀντί μ' ἔρωτος Ἔρωτα, βροτῷ θεὸν ὤπασε Φρύνῃ
Πραξιτέλης, μισθὸν καὶ θεὸν εὑρόμενος.
ἡ δ' οὐκ ἠρνήθη τὸν τέκτονα· δεῖσε γάρ οἱ φρήν,
μὴ θεὸς ἀντὶ τέχνης σύμμαχα τόξα λάβῃ.
ταρβεῖ δ' οὐκέτι που τὸν Κύπριδος, ἀλλὰ τὸν ἐκ σοῦ,
Πραξίτελες, τέχνην μητέρ' ἐπισταμένη.

206. ΛΕΩΝΙΔΟΥ.

Θεσπιέες τὸν Ἔρωτα μόνον θεὸν ἐκ Κυθερείης
ἄζοντ', οὐχ ἑτέρου γραπτὸν ἀπ' ἀρχετύπου,
ἀλλ' ὃν Πραξιτέλης ἔγνω θεόν, ὃν περὶ Φρύνῃ
δερκόμενος, σφετέρων λύτρον ἔδωκε πόθων.

207. ΠΑΛΛΑΔΑ.

Γυμνὸς Ἔρως, διὰ τοῦτο γελᾷ καὶ μείλιχός ἐστιν·
οὐ γὰρ ἔχει τόξον, καὶ πυρόεντα βέλη.
οὐδὲ μάτην παλάμαις κατέχει δελφῖνα καὶ ἄνθος·
τῇ μὲν γὰρ γαῖαν, τῇ δὲ θάλασσαν ἔχει.

208. ΓΑΒΡΙΗΛΙΟΥ ΥΠΑΡΧΟΥ.

εἰς Ἔρωτα καθεύδοντα ἐν πιπεροπάστῳ.

Οὐδὲ κατακνώσσων, οὐδ' ἄπνοος, οὐδ' ἐνὶ δαιτὶ
νόσφι πυρισπάρτου δήγματός ἐστιν Ἔρως.

Digitized by Google

### 209. ΑΔΗΛΟΝ.

Οὗτος ὁ τὸν δαλὸν φυσῶν, ἵνα λύχνον ἀνάψῃς,
δεῦρ' ἀπ' ἐμᾶς ψυχᾶς ἅψον· ὅλος φλέγομαι.

### 210. ΠΛΑΤΩΝΟΣ.

εἰς Ἔρωτα ἐν ἄλσει κοιμώμενον.

Ἄλσος δ' ὡς ἱκόμεσθα βαθύσκιον, εὕρομεν ἔνδον
πορφυρέοις μήλοισιν ἐοικότα παῖδα Κυθήρης.
οὐδ' ἔχεν ἰοδόκον φαρέτρην, οὐ καμπύλα τόξα·
ἀλλὰ τὰ μὲν δένδρεσσιν ὑπ' εὐπετάλοισι κρέμαντο·
αὐτὸς δ' ἐν καλύκεσσι ῥόδων πεπεδημένος ὕπνῳ
εὗδεν μειδιόων· ξουθαὶ δ' ἐφύπερθε μέλισσαι
κηροχυτοῦσ' ἐντός, λαροῖς ἐπὶ χείλεσι βαῖνον.

### 211. ΣΤΑΤΥΛΛΙΟΥ ΦΛΑΚΚΟΥ.

εἰς Ἔρωτα κοιμώμενον.

Εὕδεις ἀγρύπνους ἐπάγων θνητοῖσι μερίμνας,
εὕδεις ἀτηρής, ὦ τέκος Ἀφρογενοῦς,
οὐ πεύκην πυρόεσσαν ἐπηρμένος, οὐδ' ἀφύλακτον
ἐκ κέραος ψάλλων ἀντιτόνοιο βέλος.
ἄλλοι θαρσείτωσαν· ἐγὼ δ', ἀγέρωχε, δέδοικα,
μή μοι καὶ κνώσσων πικρὸν ὄνειρον ἴδῃς.

---

Nr. 210. V. 7. λαγαροῖς. Vulgo.

212. ΑΛΦΕΙΟΥ.

Ἁρπάσομαι πυρόεσσαν, Ἔρως, χερὸς ἐκ σέο πεύκην,
συλήσω δ' ὤμων ἀμφικρεμῆ φαρέτρην,
εἴ γ' ἐτύμως εὕδεις, πυρὸς ἔγγονε, καὶ σέο φῶτες
πρὸς βαιὸν τόξων εὐνομίην ἄγομεν.
ἀλλὰ καὶ ὣς σε δέδοικα, δολοπλόκε, μή τινα κεύθῃς
εἰς ἐμέ, κὴν ὕπνῳ πικρὸν ὄνειρον ἴδῃς.

213. ΜΕΛΕΑΓΡΟΥ, οἱ δὲ ΣΤΡΑΤΩΝΟΣ.

Εἰ καί σοι πτέρυγες ταχιναὶ περὶ νῶτα τέτανται,
καὶ σκυθικῶν τόξων ἀκροβολεῖς ἀκίδες,
φεύξομ' Ἔρως ὑπὸ γᾶν σε· τί γὰρ πλέον; οὐδὲ γὰρ αὐτὸς
σὰν ἔφυγεν ῥώμαν πανδαμάτωρ Ἀΐδας.

214. ΣΕΚΟΥΝΔΟΥ.

εἰς ἀγάλματα Ἐρώτων.

Σκυλοχαρεῖς ἴδ' Ἔρωτας, ἴδ' ὡς βριαροῖσιν ἐπ' ὤμοις
ὅπλα φέρουσι θεῶν νήπι' ἀγαλλόμενοι,
τύμπανα καὶ θύρσον Βρομίου, Ζηνὸς δὲ κεραυνόν,
ἀσπίδ' Ἐνυαλίου καὶ κόρυν ἠΰκομον,
Φοίβου δ' εὔτοξον φαρέτρην, Ἁλίου δὲ τρίαιναν,
καὶ σθεναρῶν χειρῶν Ἡρακλέους ῥόπαλον.

---

Nr. 213. V. 3. τί δὲ πλέον. Br. Nr. 214. V. 2. ἀγαλλόμενα. Vulgo.

τί πλέον ἀνθρώποισιν, Ἔρως ὅτε καὶ πόλον εἷλε,
τεύχεα δ' ἀθανάτων Κύπρις ἐληΐσατο;

215. ΦΙΛΙΠΠΟΥ.

Συλήσαντες Ὄλυμπον ἴδ' ὡς ὅπλοισιν Ἔρωτες
κοσμοῦντ', ἀθανάτων σκῦλα φρυασσόμενοι.
Φοίβου τόξα φέρουσι, Διὸς δὲ κεραυνόν, Ἄρηος
ὅπλον καὶ κυνέην, Ἡρακλέους ῥόπαλον,
εἰναλίου τε θεοῦ τριβελὲς δόρυ, θύρσα τε Βάκχου,
πτηνὰ πέδιλ' Ἑρμοῦ, λαμπάδας Ἀρτέμιδος.
οὐκ ἄχθος θνητοῖς εἴκειν βελέεσσιν Ἐρώτων,
δαίμονες οἷς ὅπλων κόσμον ἔδωκαν ἔχειν.

216. ΠΑΡΜΕΝΙΩΝΟΣ.

εἰς ἄγαλμα Ἥρας.

Ἀργεῖος Πολύκλειτος, ὁ καὶ μόνος ὄμμασιν Ἥρην
ἀθρήσας, καὶ ὅσην εἶδε τυπωσάμενος,
θνητοῖς κάλλος ἔδειξεν, ὅσον θέμις· αἱ δ' ὑπὸ κόλποις
ἄγνωστοι μορφαὶ Ζηνὶ φυλασσόμεθα.

217. ΑΔΗΛΟΝ.

εἰς ἄγαλμα Καλλιόπης.

Καλλιόπη μὲν ἐγώ· Κύρῳ δ' ἐμὸν ὤπασα μαζόν,
ὃς τρέφε θεῖον Ὅμηρον, ὅθεν πίε νήδυμος Ὀρφεύς.

---

Nr. 215. V. 6. λαμπάδα. Vulgo.

218. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

εἰς εἰκόνα τῆς αὐτῆς.

Ἤθελε Μελπομένην ὁ ζωγράφος εἰκόνι γράψαι,
ἀλλ' ἀπολειπομένης, ἔγραφε Καλλιόπην.

219. ΤΟΥ ΑΥΤΟΥ.

εἰς εἰκόνα Πολυμνίας.

Σεῖο μὲν εἰκὼν ἥδε Πολύμνια, καὶ σὺ δέ, Μούσης.
ἓν γὰρ ἐπ' ἀμφοτέραις οὔνομα, καὶ τύπος εἷς.

220. ΑΝΤΙΠΑΤΡΟΥ.

εἰς εἰκόνα Μουσῶν.

Τρίζυγες αἱ Μοῦσαι τᾷδ' ἕσταμεν· ἁ μία λωτούς,
ἁ δὲ φέρει παλάμαις βάρβιτον, ἁ δὲ χέλυν.
ἁ μὲν Ἀριστοκλῆος ἔχει χέλυν, ἁ δ' Ἀγελάδα
βάρβιτον, ἁ Καναχᾶ δ' ὑμνοπόλους δόνακας.
ἀλλ' ἁ μὲν κράντειρα τόνου πέλει· ἁ δὲ μελῳδὸς
χρώματος· ἁ δὲ σοφᾶς εὑρέτις ἁρμονίας.

221. ΘΕΑΙΤΗΤΟΥ.

εἰς τὴν Ἀθηναίων Νέμεσιν.

Χιονέην με λίθον παλιναυξέος ἐκ περιωπῆς
λαοτύπος τμήξας πετροτόμοις ἀκίσι

---

Nr. 220. V. 5. πέλεν. Br. Nr. 221. V. 1. ἠονίην. corr. Scaliger.

Digitized by Google

Μῆδος ἐποντοπόρευσεν, ὅπως ἀνδρείκελα τεύξῃ,
 τῆς κατ' Ἀθηναίων σύμβολα καμμονίης.
ὡς δὲ δαϊζομένοις Μαραθὼν ἀντέκτυπε Πέρσαις,
 καὶ νέες ὑγροπόρουν χεύμασιν αἱμαλέοις,
ἔξεσαν Ἀδρήστειαν ἀριστώδινες Ἀθῆναι,
 δαίμον' ὑπερφιάλοις ἀντίπαλον μερόπων.
ἀντιταλαντεύω τὰς ἐλπίδας· εἰμὶ δὲ καὶ νῦν
 Νίκη Ἐρεχθείδαις, Ἀσσυρίοις Νέμεσις.

222. ΠΑΡΜΕΝΙΩΝΟΣ.

εἰς τὸ αὐτό.

Μήδοις ἐλπισθεῖσα τροπαιοφόρος λίθος εἶναι,
 ἠλλάχθην μορφὴν καίριον εἰς Νέμεσιν,
ἔνδικος ἱδρυνθεῖσα θεὰ Ῥαμνοῦντος ἐπ' ὄχθαις,
 νίκης καὶ σοφίης Ἀτθίδι μαρτύριον.

223. ΑΔΗΛΟΝ.

εἰς στήλην Νεμέσεως.

Ἡ Νέμεσις προλέγει τῷ πήχεϊ, τῷ τε χαλινῷ,
 μήτ' ἄμετρόν τι ποιεῖν, μήτ' ἀχάλινα λέγειν.

224. ΑΛΛΟ.

Ἡ Νέμεσις πῆχυν κατέχω· τίνος οὕνεκα; λέξεις.
 πᾶσι παραγγέλλω, μηδὲν ὑπὲρ τὸ μέτρον.



Digitized by Google

225. ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς ἄγαλμα Πανός.

Ἦν τάχα συρίζοντος ἐναργέα Πανὸς ἀκούειν.
πνεῦμα γὰρ ὁ πλάστης ἐγκατέμιξε τύπῳ.
ἀλλ' ὀρόων φεύγουσαν ἀμήχανος ἄστατον Ἠχώ,
πηκτίδος ἠρνήθη φθόγγον ἀνωφελέα.

226. ΑΛΚΑΙΟΥ.

εἰς τὸ αὐτό.

Ἔμπνει Πὰν λαροῖσιν ὀρειβάτα χείλεσι μοῦσαν,
ἔμπνει, ποιμενίῳ τερπόμενος δόνακι,
εὐκελάδῳ σύριγγι χέων μέλος, ἐκ δὲ συνῳδοῦ
κλάζε κατιθύνων ῥήματος ἁρμονίην·
ἀμφὶ δὲ σοί, ῥυθμοῖο κατὰ κρότον, ἔνθεον ἴχνος
ῥησσέσθω Νύμφαις ταῖσδε μεθυδριάσιν.

227. ΑΔΗΛΟΝ.

Τᾷδε κατὰ χλοεροῖο ῥιφεὶς λειμῶνος, ὁδῖτα,
ἄμπαυσον μογεροῦ μαλθακὰ γυῖα μόθου,
ἧχί σε καὶ Ζεφύροιο τινασσομένη πίτυς αὔραις
θέλξει, τεττίγων εἰσαΐοντα μέλος,
χὠ ποιμὴν ἐν ὄρεσσι μεσαμβρινὸν ἀγχόθι παγᾶς
συρίσδων, λασίας θάμνῳ ὕπο πλατάνου

---

Nr. 227. V. 2. καμάτου. ed. pr. μόθου. Vulgo. πόνου. Br. Fort. κόπου. V. 5. ποιμάν. Br.

Digitized by Google

καύματ᾽ ὀπωρινοῖο φυγὼν κυνός· ἅλμα δ᾽ ἀμείψεις
αὔριον. εὖ τόδε σοι Πανὶ λέγοντι πιθοῦ.

228. ΑΝΥΤΗΣ.

Ξεῖν᾽, ὑπὸ τὰν πέτραν τετρυμένα γυῖ᾽ ἀνάπαυσον·
ἁδύ τοι ἐν χλωροῖς πνεῦμα θροεῖ πετάλοις.
πίδακά τ᾽ ἐκ παγᾶς ψυχρὸν πίε· δὴ γὰρ ὁδίταις
ἄμπαυμ᾽ ἐν θερμῷ καύματι τοῦτο φίλον.

229. ΑΔΗΛΟΝ.

Ἐξ αὐτοῦ Διός ἐστιν ὁ φίλτατος ἔκχυτος οὗτος·
μαρτυρίην δὲ φέρει τὴν ἐπάνω νεφέλην.
Ἑρμείαν γὰρ ἄνακτα τέκεν νεφεληγερέτα Ζεύς·
αὐτὰρ ὅγ᾽ Ἑρμείας Πᾶνα τὸν αἰγελάτην.

230. ΛΕΩΝΙΔΟΥ.

Μὴ σύ γ᾽ ἐπ᾽ οἰονόμοιο περιπλέον ἰλύος ὧδε
τοῦτο χαραδραίης θερμόν, ὁδῖτα, πίῃς·
ἀλλὰ μολὼν μάλα τυτθὸν ὑπὲρ δαμαλήβοτον ἄκραν,
κεῖσέ γε πὰρ κείνᾳ ποιμενίᾳ πίτυϊ,
εὑρήσεις κελαρύζον ἐϋκρήνου διὰ πέτρης
νᾶμα, Βορειαίης ψυχρότερον νιφάδος.

---

Nr. 228. V. 1. Fort. πτελέαν.

231. ΑΝΥΤΗΣ.

α. Τίπτε κατ᾽ οἰόβατον, Πὰν ἀγρότα, δάσκιον ὕλαν
ἥμενος, ἀδυβόα τῷδε κρέκεις δόνακι;
β. ὄφρα μοι ἑρσήεντα κατ᾽ οὔρεα ταῦτα νέμοιντο
πόρτιες ἠϋκόμων δρεπτόμεναι σταχύων.

232. ΣΙΜΩΝΙΔΟΥ.

Τὸν τραγόπουν ἐμὲ Πᾶνα, τὸν Ἀρκάδα, τὸν κατὰ Μήδων,
τὸν μετ᾽ Ἀθηναίων, στήσατο Μιλτιάδης.

233. ΘΕΑΙΤΗΤΟΥ.

Ὑλοβάτας, φιλόδενδρος, ὀρεσσαύλου πόσις Ἀχοῦς,
πάνσκοπος, εὐκεράου μαλοφύλαξ ἀγέλας,
Πὰν ὁ δασυκνάμων, ὁ πολύσπορος, ὃς μετανάστας
ἔδραμον αἰχματᾶν ἐς δαΐν Ἀσσυρίων,
Μιλτιάδου στήσαντος ὁμάσπιδα περσοδιώκτην,
ἵσταμαι, ἀκλήτου ξείνια συμμαχίης.
ἄλλοις ἀκροπόλιες· ὁ μηδοφόνος δὲ δέδασται
ξυνὸς ἐμὶν Μαραθὼν καὶ μαραθωνομάχαις.

234. ΦΙΛΟΔΗΜΟΥ.

Τρισσοὺς ἀθανάτους χωρεῖ λίθος. ἁ κεφαλὰ γὰρ
μανύει τρανῶς Πᾶνα τὸν αἰγύκερων.

Digitized by Google

στέρνα δὲ καὶ νηδύς, Ἡρακλέα· λοιπὰ δὲ μηρῶν
καὶ κνήμης Ἑρμῆς ὁ πτερόπους ἔλαχεν.
θύειν ἀρνήσῃ, ξένε, μηκέτι. τοῦ γὰρ ἑνός σοι
θύματος οἱ τρισσοὶ δαίμονες ἁπτόμεθα.

235. ΑΠΟΛΛΩΝΙΔΟΥ ΣΜΥΡΝΑΙΟΥ.

Ἀγροτέρων θεός εἰμι. τί μοι χρυσέοις δεπάεσσι
σπένδετε; ποῦ δ' Ἰταλοῦ χεῖτε μέθυ Βρομίου,
καὶ γυροὺς ταύρων πέτρῃ προςδεῖτε τένοντας;
φείσασθ'· οὐ τούτοις θύμασι τερπόμεθα.
Πὰν ὁ παρωρείτης, αὐτόξυλος, ἀρνεοθοίνης
εἰμί, καὶ ἐγχθονίου γλευκοπότης κύλικος.

236. ΛΕΩΝΙΔΟΥ, οἱ δὲ ΠΕΡΙΤΟΥ.

Αὐτοῦ ἐφ' αἱμασιαῖσι τὸν ἀγρυπνοῦντα Πρίηπον
ἔστησεν λαχάνων Δεινομένης φύλακα.
ἀλλ' ὡς ἐντέταμαι, φώρ, ἔμβλεπε. τοῦτο δ', ἐρωτᾷς,
τῶν ὀλίγων λαχάνων εἵνεκα; τῶν ὀλίγων.

237. ΤΥΜΝΕΩ.

εἰς ἄγαλμα Πριήπου.

Πάντα πριηπίζω, κἂν ᾖ Κρόνος· οὐ διακρίνω
οὐδένα φῶρ' οὕτω ταῖςδε παρὰ πρασιαῖς.
ἔπρεπε μὴ λαχάνων ἕνεκεν τάδε καὶ κολοκυντῶν,
φήσει τις, με λέγειν. ἔπρεπεν· ἀλλὰ λέγω.

---

Nr. 235. V. 2. F. τοῦ δ' Ἰταλοῦ.

Digitized by Google

238. ΛΟΥΚΙΑΝΟΥ.

Εἰς τὸ κενόν με τέθεικε, νόμου χάριν, ὧδε Πρίηπον
  Εὐτυχίδης, ξηρῶν κληματίδων φύλακα·
καὶ περιβέβλημαι κρημνὸν βαθύν. ὃς δ᾽ ἂν ἐπέλθῃ,
  οὐδὲν ἔχει κλέψαι πλὴν ἐμὲ τὸν φύλακα.

239. ΑΠΟΛΛΩΝΙΔΟΥ.

Ἄνθετ᾽ Ἀναξαγόρης με, τὸν οὐκ ἐπὶ ποσσὶ Πρίηπον,
  ἐν χθονὶ δ᾽ ἀμφοτέρῳ γούνατι κεκλιμένον.
τεῦξε δὲ Φυλόμαχος. Χαρίτων δέ μοι ἀγχόθι καλὴν
  ἀθρήσας, δίζευ μηκέτι πῶς ἔπεσον.

240. ΦΙΛΙΠΠΟΥ.

α. Ὡραίας γ᾽ ἐσορῶ τὰς ἰσχάδας· εἴ γε λαβεῖν μοι
  συγχωρεῖς ὀλίγας. β. θίγγανε μηδεμιᾶς.
α. ὀργίλος ὡς ὁ Πρίηπος. β. ἐρεῖς· ἔτι καὶ κενὸς ἥξεις.
  α. ναὶ λίτομαι, δός μοι. β. καὶ γὰρ ἐγὼ δέομαι.
α. χρήζεις γάρ, λέγε μοι, παρ᾽ ἐμοῦ τινός; β. ἔστι νόμος που,
  δός, λάβε. α. καὶ θεὸς ὢν ἀργυρίου σὺ γλίχῃ;
β. ἄλλο τι χρῆμα φιλῶ. α. ποῖον τόδε; β. τἀμὰ κατέσθων
  σῦκα, δὸς εὐθύμως ἰσχάδα τὴν ὀπίσω.

---

Nr. 239. V. 3. Fort. ἄγχι καλιήν. Nr. 240. V. 3. Fort. ἐρῶ δέ τι, κοὐ κέν᾽ ὀρέξῃ.

Digitized by Google

241. ΑΡΓΕΝΤΑΡΙΟΥ.

α. Ὥριμος. β. οἶδα καὶ αὐτός, ὁδοιπόρε. μηκέτ' ἐπαίνει
ἰσχάδα, μηδ' ἐςόρα τὸν πέλας ἀκρέμονα·
καὶ λίην ὁ Πρίηπος ἐφίσταμαι ὀξὺ δεδορκώς,
καὶ φυλακὴν σύκων ἣν ἐπέοικεν ἔχων.
ἢν δὲ μόνον σὺ θίγῃς τῆς ἰσχάδος, ἰσχάδα δώσεις·
ὡς ἰσότης πάντων ἐστὶ δικαιοτάτη.

242. ΕΡΥΚΙΟΥ.

Ὡς βαρὺ τοῦτο, Πρίηπε, καὶ εὖ τετυλωμένον ὅπλον
πᾶν ἀπὸ βουβώνων ἀθρόον ἐκκέχυκας·
εἰς γάμον οὐκ ἀνέτοιμον· ἔχει δέ σε δίψα γυναικῶν,
ὦ 'γαθέ, καὶ σπαργᾷς θυμὸν ἅπαντα πόροις.
ἀλλὰ καταπρήϋνε τὸν ἐξῳδηκότα φαλλὸν
τόνδε, καὶ ἀνθηρῇ κρύψον ὑπὸ χλαμύδι·
οὐ γὰρ ἐρημαῖον ναίεις ὄρος, ἀλλὰ παρ' Ἕλλης
ᾐόνα, τὴν ἱερὴν Λάμψακον ἀμφιπολεῖς.

243. ΑΝΤΙΣΤΙΟΥ.

Ἀγροφύλαξ ἕστηκα πολυκτεάνοις ἐν ἀρούραις,
Φρίκωνος καλύβην καὶ φυτὰ ῥυόμενος,
τοῦτο λέγων πρὸς ἕκαστον· ἐπὴν γελάσῃς, ἐςιδών με,
τοῦ σκεύους, χώρει τὴν κατὰ σαυτὸν ὁδόν.

---

Nr. 242. V. 4. Fort. ῥυθμὸν ἅπαντα παρείς. Nr. 243. V. 3. παρ' ἕκαστον. Vulg.

ἢν δὲ παρεκβαίης ἐς ἃ μὴ θέμις, οὔτι σ' ὀνήσει
    ἡ λάχνη· τρυπᾶν πάντας ἐπιστάμεθα.

### 244. ΑΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς εἰκόνα σατύρου πρὸς τῇ ἀκοῇ τὸν αὐλὸν ἔχοντος καὶ ὥςπερ ἀκροωμένου.

Αὐτομάτως, Σατυρίσκε, δόναξ τεὸς ἦχον ἰάλλει,
    ἢ τί παρακλίνας οὔας ἄγεις καλάμῳ;
ὃς δὲ γελῶν σίγησεν· ἴσως δ' ἂν φθέγξατο μῦθον,
    ἀλλ' ὑπὸ τερπωλῆς εἴχετο ληθεδόνι.
οὐ γὰρ κηρὸς ἔρυκεν· ἑκὼν δ' ἠσπάζετο σιγήν,
    θυμὸν ὅλον τρέψας πηκτίδος ἀσχολίῃ.

### 245. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς ἕτερον Σάτυρον.

Τὸν Σάτυρον Διόνυσος ἰδὼν τόσον ἄλγος ἔχοντα,
    καί μιν ἐποικτείρας, θήκατο λαΐνεον.
ἀλλ' οὐδ' ὣς ἀπέληξε βαρυτλήτων ὀδυνάων·
    εἰςέτι γὰρ μογέει, καὶ λίθος ὤν, ὁ τάλας.

### 246. ΑΔΗΛΟΝ.

Ἢ Σάτυρος τὸν χαλκὸν ὑπέδραμεν, ἢ διὰ τέχνης
    χαλκὸς ἀναγκασθεὶς ἀμφεχύθη Σατύρῳ.

---

Nr. 244. V. 2. Fort. ἔχεις cum Schaef. V. 3. Fort. ἐφθέγξατο.

Digitized by Google

### 247. ΝΕΙΛΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς εἰκόνα Σατύρου ἀπὸ ψηφῖδος ἐν Ἀντιοχείᾳ.

α. Πάντες μὲν Σάτυροι φιλοκέρτομοι· εἰπὲ δὲ καὶ σύ,
τί πρὸς ἕκαστον ὁρῶν τόνδε γέλωτα χέεις;
β. θάμβος ἔχων γελόω, πῶς ἐκ λίθου ἄλλοθεν ἄλλης
συμφερτός, γενόμην ἐξαπίνης Σάτυρος.

### 248. ΠΛΑΤΩΝΟΣ.

Τὸν Σάτυρον Διόδωρος ἐκοίμισεν, οὐκ ἐτόρευσεν.
ἢν νύξῃς, ἐγερεῖς· ἄργυρος ὕπνον ἔχει.

### 249. ΑΔΗΛΟΝ.

Δερκόμενος ξόανον καλὸν τόδε, τὰν Ἀφροδίταν
ὤνθρωφ' ἱλάσκευ, πλατίον ἑζόμενος·
αἴνει δὲ Γλυκέραν Διονυσίου, ἅ μ' ἀνέθηκε
πορφυρέας ἁπαλὸν κῦμα παρ' ἠϊόνος.

### 250. ΑΔΗΛΟΝ.

εἰς Ἔρωτα.

Ὁ πτανὸς τὸν πτανὸν ἰδὼν ἄγνυσι κεραυνόν,
δεικνὺς ὡς κρεῖσσον πῦρ πυρός ἐστιν Ἔρως.

---

Nr. 250. V. 1. Fort. ἰδ' ὡς ἄγνυσι.

Digitized by Google

251. ΑΛΛΟ.

Πτανῷ πτανὸν Ἔρωτα τὸν ἀντίον ἔπλασ' Ἔρωτι
ἁ Νέμεσις, τόξῳ τόξον ἀμυνομένα,
ὥς κε πάθῃ τά γ' ἔρεξεν· ὁ δὲ θρασύς, ὁ πρὶν ἀταρβής,
δακρύει, πικρῶν γευσάμενος βελέων.
ἐς δὲ βαθὺν τρὶς κόλπον ἀπέπτυσεν. ἃ μέγα θαῦμα.
φλέξει τις πυρὶ πῦρ· ἥψατ' Ἔρωτος Ἔρως.

252. ΑΛΛΟ.

Κἀγὼ Κύπριδος αἷμα· κασιγνήτῳ δέ με μήτηρ
ᾔνεσε τόξα φέρειν ἀντία καὶ πτέρυγας.

253. ΑΔΗΛΟΝ.

εἰς Ἄρτεμιν.

α. Ἄρτεμι, ποῦ σοι τόξα, παραυχενίη τε φαρέτρη;
ποῦ δὲ Λυκαστείων ἐνδρομὶς ἀρβυλίδων,
πόρπη τε χρυσοῖο τετυγμένη, ἠδὲ πρὸς ἄκρην
ἰγνύην φοίνιξ πέπλος ἑλισσόμενος;
β. κεῖνα μὲν εἰς ἄγρην ὁπλίζομαι· ἐς δὲ θυηλὰς
εἶμ' αὔτως, ἱρῶν ἀντομένη θυέων.

254. ΑΔΗΛΟΝ.

εἰς Ἑρμῆν.

Ἱερὸν Ἑρμείῃ με παραστείχοντες ἔχευαν
ἄνθρωποι λίθινον σωρόν· ὁ δ' ἀντ' ὀλίγης

---

Nr. 251. V. 3. τά κ' ἔρεξεν. Vulg. Nr. 253. V. 4. ἰγνύϊν. Vulg.

οὐ μεγάλην αὐτοῖς ἔγνω χάριν· ἀλλ' ὅτι λοιπὰ
    Αἰγὸς ἐπὶ κρήνην ἑπτὰ λέγω στάδια.

255. ΑΔΗΛΟΝ.

Ὁδῖτα, μὴ πρόσερπε πρὸς τὰ κλήματα,
μηδ' αὖ τὰ μῆλα, μηδ' ὄπη τὰ μέσπιλα.
τηνεὶ δὲ πρὸς τὴν σχοῖνον ἐξαμείβεο,
ὡς μή τι θράξῃς τῶνδε, μηδ' ἀποθρίσῃς,
ἃ σὺν πόνῳ φυτουργὸς ἔκτηται Μίδων,
ὅς κἀμὲ θῆκεν· ἢν δέ μευ παρακλύῃς,
γνώσῃ τὸν Ἑρμῆν, ὡς κακοὺς ἀμείβομαι.

256. ΑΔΗΛΟΝ.

Ὀχθηρὸν τὸν χῶρον ἔχω καὶ ἔρημον, ὁδῖτα·
    οὐκ ἐγώ, ὁ στάσας δ' αἴτιος Ἀρχέλοχος.
Οὐ γὰρ ὀρειοχαρὴς ὥρμᾶς, οὐδ' ἀκρολοφίτας,
    τὸ πλεῦν δ' ἀτραπιτοῖς, ὦνερ, ἀρεσκόμενος.
Ἀρχέλοχος δ', ὡς αὐτὸς ἐρημοφίλας καὶ ἀγείτων,
    ὦ παριών, τοῖον κἀμὲ παρῳκίσατο.

257. ΑΔΗΛΟΝ.

εἰς Διόνυσον.

Ἐκ πυρός, ὦ Διόνυσε, τὸ δεύτερον, ἡνίκα χαλκοῦς,
    ἐξεφάνης· γενεὴν εὗρε Μύρων ἑτέρην.

---

Nr. 254. V. 3. αὐτῆς ἔγνω. Vulg. V. 4. λέγει. corr. Br.

Digitized by Google

258. *ΑΔΗΛΟΝ.*

Δικτύννης τοῖόν με καθ' ἱερὸν ἔμπυρον ὁ Κρὴς
χάλκεον ἔστησεν Πᾶνα τὸν αἰγόνυχα.
δέρμα δ' ἔχω, διπλοῦν τε λαγωβόλον· ἐκ δέ γε πέτρας
σπήλυγγος τείνω βλέμμα διπλοῦν πρὸς ὄρος.

259. *ΑΔΗΛΟΝ.*

Πέτρης ἐκ Παρίης με πόλιν κατὰ Παλλάδος ἄκρην
στῆσαν Ἀθηναῖοι Πᾶνα τροπαιοφόρον.

260. *ΑΔΗΛΟΝ.*

εἰς ἄγαλμα Πριάπου.

Ἢν λαχάνων σ' ὁ Πρίηπος ἴδω σχεδὸν ἴχνια θέντα,
αὐτῇ γυμνώσω, φώρ, σὲ ποτὶ πρασιῇ.
αἰσχρὸν ἔχειν τοῦτ' ἔργον ἐρεῖς θεόν. οἶδα καὶ αὐτός·
αἰσχρόν. ἀφιδρύνθην δ' ἴσθ' ὅτι τοῦδε χάριν.

261. *ΛΕΩΝΙΔΟΥ.*

Ἀμφοτέραις παρ' ὁδοῖσι φύλαξ ἕστηκα Πρίηπος,
ἰθυτενὲς μηρῶν ὀρθιάσας ῥόπαλον.
εἴσατο γάρ πιστόν με Θεόκριτος· ἀλλ' ἀποτηλοῦ
φὼρ ἴθι, μὴ κλαύσῃς τὴν φλέβα δεξάμενος.

---

Nr. 258. V. 3. Fort. ἐκ δὲ πετραίας.

Digitized by Google

262. ἈΔΗΛΟΝ.

Ὁ τραγόπους, ὁ τὸν ἀσκὸν ἐπηρμένος, αἵ τε γελῶσαι
Νύμφαι, Πραξιτέλους, ἥ τε καλὴ Δανάη·
λύγδινα πάντα, καὶ ἄκρα σοφαὶ χέρες. αὐτὸς ὁ Μῶμος
φθέγξεται· ἄκρητος, Ζεῦ πάτερ, ἡ σοφίη.

263. ἈΔΗΛΟΝ.

εἰς Νέμεσιν.

Καί με λίθον Πέρσαι δεῦρ' ἤγαγον, ὄφρα τρόπαιον
στήσονται νίκας· εἰμὶ δὲ νῦν Νέμεσις.
ἀμφοτέροις δ' ἕστηκα, καὶ Ἕλλήνεσσι τρόπαιον
νίκας, καὶ Πέρσαις τοῦ πολέμου νέμεσις.

264. ἈΔΗΛΟΝ.

Ἴσιδι καρποτόκῳ, σταχυμήτορι, μυριομόρφῳ,
λαϊνέῳ ταλάρῳ, μογερῶν ἀπάνευθεν ἀρότρων,
αὐτόματοι στείχουσιν ἑὴν πρὸς μητέρα καρποί.

265. ἈΔΗΛΟΝ.

εἰς Μώμου ἄγαλμα.

Τίς τὸν ἐν ἐσθλοῖσι πανπενθέα, καὶ τριςάλαστον
Μῶμον ἀμωμήτοις χερσὶν ἀνεπλάσατο;

---

Nr. 263. V. 1. Fort. κάμἐ. V. 2. στήσωνται. Vulgo. Nr. 264. V. 1. ταχυμήτορι. Vulg.

Digitized by Google

ὡς ὁ γέρων ἐπὶ γᾶς βεβλημένος, οἷά τις ἔμπνους,
ἀμπαύει λύπας, γυῖα βαρυνόμενος.
μανύει δίστοιχος ὀλέθριος ὄγμος ὀδόντων,
πριομένων ἐπὶ τὰς τῶν πέλας εὐτυχίας,
καὶ τὸ κατεσκληκὸς σκήνους βάρος· ᾇ μὲν ἐρείδει
ψιλὸν γηραιᾷ χειρὶ βαλὼν κρόταφον,
ᾇ δὲ σεσηρὼς βάκτρον ἀποστηρίζεται ἐς γᾶν,
κωφὰ πρὸς ἄψυχον πέτρον ἀπεχθόμενος.

266. ΑΛΛΟ.

εἰς τὸν αὐτόν.

Τάκεο δυστάνων ὀνύχων ἄπο, παμφάγε Μῶμε,
τάκεο σὺ πρίων ἰοβόλους γένυας.
νεῦρά σε μανύει τετανυσμένα, καὶ φλέβες ἄρθρων,
καὶ κενεὰ σαρκῶν ψυχολιπὴς δύναμις,
καὶ ῥικνοῖς φρίσσουσα περὶ κροτάφοισιν ἔθειρα,
* * * *
ὥςτε τίς ἔμψυχὸν ἀνδρόσινιν ἄνυσε τέχνα,
οὐδὲ τόπον δήκτᾳ σεῖο λιπὼν στόματι;

[T] 267. ΣΥΝΕΣΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς εἰκόνα Ἱπποκράτους.

α. Ὁππόθεν ὁ στήσας; β. Βυζάντιος. α. οὔνομα δὴ τίς;
β. Εὐσέβιος. α. σὺ δὲ, τίς; β. Κῷος Ἱπποκράτης.

---

Nr. 265. V. 5—8. haec duo disticha vulgo non suo loco leguntur. V. 1. Fort. ταλαπενθέα. c. Huetio. V. 7. κείνου. Vulgo.

α· τοῦ δ' ἕνεκεν γέγραφέν σε; β· λόγων χάριν· ἡ πόλις αὐτῷ
τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
α· καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; β· ὅττι γεραίρων
ἡμέας ἀνθ' αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

268. ΑΔΗΛΟΝ.

Ἠὲ τεὴν φωνήν, Ἱππόκρατες, ἔγραφε Παιάν,
ἠὲ σὺ τῆς κείνου μάρτυς ἀκεστορίης.

269. ΑΛΛΟ.

Οὗτος ἀκεστορίης κρυφίας ὤϊξε κελεύθους,
Παιήων μερόπων, Κώϊος Ἱπποκράτης.

270. ΜΑΓΝΟΥ ΙΑΤΡΟΥ.

εἰς τὴν εἰκόνα Γαληνοῦ.

Ἦν χρόνος, ἡνίκα γαῖα βροτοὺς διὰ σεῖο, Γαληνέ,
δέχνυτο μὲν θνητούς, ἔτρεφε δ' ἀθανάτους,
χήρευεν δὲ μέλαθρα πολυκλαύτου Ἀχέροντος,
σῇ παιηονίῃ χειρὶ βιαζόμενα.

271. ΑΔΕΣΠΟΤΟΝ.

εἰς Σώσανδρον ἱπποΐατρον.

Ἰητὴρ μερόπων, Ἱππόκρατες, ἀλλὰ καὶ ἵππων,
Σώσανδρε, κρυφίης ἵστορ' ἀκεστορίης.

ἢ τέχνην μετάμειψον, ἢ οὔνομα· μηδὲ καλείσθω
ἄτερος ἐκ τέχνης, ἧς ἕτερος κρατέει.

272. *ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

*εἰς εἰκόνα Ἰαμβλίχου ἰατροῦ.*

Ὁ γλυκὺς ἐν πάντεσσιν Ἰάμβλιχος, ὃς ποτὶ γῆρας
ἤλυθεν ἁγνὸς ἐὼν Κυπριδίων ὀάρων·
ἔργα δ᾽ ἀκεστορίης ἐφέπων, σοφίην τε διδάσκων,
κέρδεσιν οὐδ᾽ ὁσίοις χεῖρας ὑπεστόρεσεν.

273. *ΚΡΙΝΑΓΟΡΟΥ.*

*εἰς εἰκόνα Πραξαγόρου ἰατροῦ.*

Αὐτός σοι Φοίβοιο πάϊς λαθικηδέα τέχνης
ἰδμοσύνην, πανάκῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο. τοιγὰρ ἀνίαι
ὄρνυνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν,
καὶ ὁπόσα τμηθέντος ἐπὶ χροὸς ἄρκια θεῖναι
φάρμακα, πρηείης οἶσθα παρ᾽ Ἠπιόνης.
θνητοῖσιν δ᾽ εἰ τοῖοι ἐπήρκεον ἰητῆρες,
οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος.

274. *ΑΔΗΛΟΝ.*

*εἰς εἰκόνα Ὀρειβασίου.*

Ἰητὴρ μέγας οὗτος Ἰουλιανοῦ βασιλῆος,
ἄξιος εὐσεβίης δῖος Ὀρειβάσιος.

---

Nr. 271. V. 3. μεταμείψατ᾽. corr. Br. Nr. 273. V. 2. πανάκη. edd. vett. V. 5. Fort. ἠδ᾽ ὁπόσα.

εἶχε γὰρ οἷα μέλισσα σοφὸν νόον, ἄλλοθεν ἄλλα
ἰητρῶν προτέρων ἄνθεα δρεψάμενος.

[¶] 275. *ΠΟΣΕΙΔΙΠΠΟΥ.*

*εἰς ἄγαλμα τοῦ Καιροῦ.*

α· *Τίς, πόθεν ὁ πλάστης;* β· *Σικυώνιος.* α· *οὔνομα δὴ τίς;*
β· *Λύσιππος.* α· *σὺ δέ, τίς;* β· *Καιρὸς ὁ πανδαμάτωρ.*
α· *τίπτε δ' ἐπ' ἄκρα βέβηκας;* β· *ἀεὶ τροχάω.* α· *τί δὲ ταρσοὺς*
*ποσσὶν ἔχεις διφυεῖς;* β· *ἵπταμ' ὑπηνέμιος.*
α· *χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν;* β· *ἀνδράσι δεῖγμα,*
*ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.*
α· *ἡ δὲ κόμη, τί κατ' ὄψιν;* β· *ὑπαντιάσαντι λαβέσθαι,*
*νὴ Δία.* α· *τἀξόπιθεν δ' ἐς τί φαλακρὰ πέλει;*
β· *τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσίν,*
*οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.*
α· *τοὔνεχ' ὁ τεχνίτης σε διέπλασεν;* β· *εἵνεκεν ὑμέων,*
*ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.*

[¶] 276. *ΒΙΑΝΟΡΟΣ.*

*Εστησεν Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,*
*καὶ τὸν ἀπολλυμένῳ σύνδρομα νηξάμενον*

---

Nr. 275. V. 8. *πρὸς τί.* Vulgo. V. 11. *τοῖον ὁ τεχν. με διέπλασεν ἵνεκεν.* Vulgo.



Digitized by Google

εἰνάλιον δελφῖνα, λέγει δ' ὁ 'π' Ἀρίονι μῦθος,
κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

277. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳδοῦ ἐν Βυζαντίῳ.

Σὸν μὲν κάλλος ἔδειξε μόλις γραφίς· αἴθε δὲ τεύχειν
ἔσθενε καὶ λιγυρῶν ἡδὺ μέλος στομάτων,
ὥς κεν ἐπ' ὀφθαλμοῖσι καὶ οὔασιν, ἔκ τε προσώπου,
ἔκ τε λυροκτυπίης ἶσον ἐθελγόμεθα.

278. ΤΟΥ ΑΥΤΟΥ.

Πλῆκτρον ἔχει φόρμιγγος, ἔχει καὶ πλῆκτρον ἔρωτος·
κρούει δ' ἀμφοτέροις καὶ φρένα καὶ κιθάρην.
τλήμονες οἷς ἄγναμπτον ἔχει νόον· ᾧ δ' ἐπινεύσει,
ἄλλος ὅδ' Ἀγχίσης, ἄλλος Ἄδωνις ὅδε.
εἰ δ' ἐθέλεις, ὦ ξεῖνε, καὶ ἀμφιβόητον ἀκοῦσαι
οὔνομα, καὶ πάτρην, ἐκ Φαρίης Μαρίη.

[P] 279. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὸν ἐν Μεγάροις κιθαριστὴν λίθον.

Τὸν με λίθον μέμνησο τὸν ἠχήεντα, παρέρπων
Νισαίην· ὅτε γὰρ τύρσιν ἐτειχοδόμει

---

Nr. 276. V. 3. Fort. λέγει δ' ἐπ' Ἀρ. Nr. 278. V. 3. οἶσιν. Vulgo.

Digitized by Google

Ἀλκάθοος, τότε Φοῖβος ἐπωμαδὸν ἦρε δομαῖον
λᾶα, Λυκωρείην ἐνθέμενος κιθάρην.
ἔνθεν ἐγὼ λυραοιδός· ὑποκρούσας δέ με λεπτῇ
χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

[] 280. ΑΔΗΛΟΝ.

εἰς λουτρόν.

Χρήμασι τοῖς Ἀγάθωνος ἐδείματο τῆδε λοετρὸν
δῆμος ὁ τῆς Τεγέης, θαῦμα καὶ ἐσσομένοις.

281. ΑΔΗΛΟΝ.

εἰς λουτρὸν ἐν Πραινέτῳ.

Οὐ βαλανεῖον ἔην προπάροιθε τὸ νῦν βαλανεῖον,
ἀλλὰ τόπος σκυβάλων, χῶρος ἀποκρίσιος·
νῦν δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα καὶ χαρίεντα
ἀγλαΐῃ προφέρει. καὶ γὰρ Ἀλέξανδρος
Νικαέων ἱερεύς, σοφίης ἐρικυδέος ἀστήρ,
τεῦξέ μιν οἰκείοις χρήμασι καὶ δαπάναις.

[] 282. ΠΑΛΛΑΔΑ.

Νῖκαι πάρεσμεν, αἱ γελῶσαι παρθένοι,
νίκας φέρουσαι τῇ φιλοχρήστῳ πόλει.
ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
πρέποντα Νίκαις ἐντυποῦντες σχήματα.

---

Nr. 279. V. 4. F. ἀνθέμενος. c. Schaef. Nr. 281. V. 4. ἀλεξάνδρος edd. quaed.

[?] 283. *ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

εἰς εἰκόνα ὀρχηστρίδος.

Μουσάων δεκάτη, Χαρίτων Ῥοδόκλεια τετάρτη,
τερπωλὴ μερόπων, ἄστεος ἀγλαΐη,
ὄμματά σοι, καὶ ταρσὰ ποδήνεμα, καὶ σοφὰ χειρῶν
δάκτυλα, καὶ Μουσῶν κρέσσονα καὶ Χαρίτων.

284. *ΤΟΥ ΑΥΤΟΥ.*

εἰς εἰκόνα ὀρχηστρίδος ἐν τῷ Σωσθενίῳ.

Εἰμὶ μὲν Ἑλλαδίη Βυζαντιάς, ἐνθάδε δ' ἔστην
ἧχι χοροστασίην εἴαρι δῆμος ἄγει,
ὁππόθι πορθμῷ γαῖα μερίζεται· ἀμφότεραι γὰρ
ἄντυγες ὀρχηθμοὺς ᾔνεσαν ἡμετέρους.

285. *ΤΟΥ ΑΥΤΟΥ.*

εἰς ὀρχηστρίδος εἰκόνα διάχρυσον ἐν Βυζαντίῳ.

Οὔ τις ἐπ' Ἀνθούσῃ χρυσὸν βάλεν, ἀλλὰ καὶ αὐτῇ
ἀμφεχύθη Κρονίδης, ὡς τὸ πάρος Δανάῃ·
σώματι δ' οὐκ ἐπέλασσεν, ἐπεὶ νόον ἔλλαβεν αἰδώς,
μή τινι Μουσάων μίσγεται οὐκ ἐθέλων.

286. *ΤΟΥ ΑΥΤΟΥ.*

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέει φύσις· εἴξατε κοῦροι.
Μοῦσα καὶ Ἑλλαδίη τοῦτον ἔθεντο νόμον.

---

Nr. 283. V. 4. κρείσσονα. Vulgo.

ἡ μέν, ὅτι πρώτη κινήσιος εὕρετο ῥυθμούς·
    ἡ δ', ὅτι τῆς τέχνης ἦλθεν ἐς ἀκρότατον.

287. ΤΟΥ ΑΥΤΟΥ.

Ἕκτορα μέν τις ἄεισε, νέον μέλος· Ἑλλαδίη δὲ
    ἑσσαμένη χλαῖναν, πρὸς μέλος ἠντίασεν.
ἦν δὲ πόθος καὶ δεῖμα παρ' ὀρχηθμοῖσιν Ἐννοῦς·
    ἄρσενι γὰρ ῥώμῃ θῆλυν ἔμιξε χάριν.

288. ΤΟΥ ΑΥΤΟΥ.

εἰς εἰκόνα Λιβανίας ὀρχηστρίδος.

Οὔνομ' ἔχεις Λιβάνου, Χαρίτων δέμας, ἤθεα Πειθοῦς,
    παρθένε, καὶ Παφίης κεστὸν ὑπ' ἐκ λαγόνων.
αὐτὰρ ἐν ὀρχηθμοῖσιν, Ἔρως ἅτε κοῦφος, ἀθύρεις,
    κάλλεϊ καὶ τέχνῃ πάντας ἐφελκομένη.

289. ΑΔΗΛΟΝ.

εἰς Ξενοφῶντος Σμυρναίου εἰκόνα.

Αὐτὸν ὁρᾶν Ἰόβακχον ἐδόξαμεν, ἡνίκα ληνοῖς
    ὁ πρέσβυς νεαρῆς ἦρχε χοροιμανίης,
καὶ Κάδμου τὰ πάρηβα χορεύματα, καὶ τὸν ἀφ' ὕλης
    ἄγγελον εὐϊακῶν ἰχνελάτην θιάσων,
καὶ τὴν εὐάζουσαν ἐν αἵματι παιδὸς Ἀγαύην
    λυσσάδα. Φεῦ θείης ἀνδρὸς ὑποκρισίης.

---

Nr. 288. V. 3. κοῦρος. Br. Nr. 289. V. 1. Fort. Ληναῖς.

ὡς ὁ γέρων ἐπὶ γᾶς βεβλημένος, οἷά τις ἔμπνους,
ἀμπαύει λύπας, γυῖα βαρυνόμενος.
μανύει δίστοιχος ὀλέθριος ὄγμος ὀδόντων,
πριομένων ἐπὶ τὰς τῶν πέλας εὐτυχίας,
καὶ τὸ κατεσκληκὸς σκήνους βάρος· ᾇ μὲν ἐρείδει
ψιλὸν γηραιᾷ χειρὶ βαλὼν κρόταφον,
ᾇ δὲ σεσηρὼς βάκτρον ἀποστηρίζεται ἐς γᾶν,
κωφὰ πρὸς ἄψυχον πέτρον ἀπεχθόμενος.

266. *ΑΛΛΟ.*

εἰς τὸν αὐτόν.

Τάκεο δυστάνων ὀνύχων ἄπο, παμφάγε Μῶμε,
τάκεο σὺ πρίων ἰοβόλους γέννας.
νεῦρά σε μανύει τετανυσμένα, καὶ φλέβες ἄρθρων,
καὶ κενεὰ σαρκῶν ψυχολιπὴς δύναμις,
καὶ ῥικνοῖς φρίσσουσα περὶ κροτάφοισιν ἔθειρα,
* * * *
ὥστε τίς ἔμψυχον ἀνδρόσινιν ἄνυσε τέχνα,
οὐδὲ τόπον δήκτᾳ σεῖο λιπὼν στόματι;

[P] 267. *ΣΥΝΕΣΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

εἰς εἰκόνα Ἱπποκράτους.

α. Ὁππόθεν ὁ στήσας; β. Βυζάντιος. α. οὔνομα δὴ τίς;
β. Εὐσέβιος. α. σὺ δέ, τίς; β. Κῷος Ἱπποκράτης.

---

Nr. 265. V. 5—8. haec duo disticha vulgo non suo loco leguntur. V. 1. Fort. ταλαπενθέα. c. Huetio. V. 7. κείνου. Vulgo.

Digitized by Google

α· τοῦ δ' ἕνεκεν γέγραφέν σε; β· λόγων χάριν· ἡ πόλις αὐτῷ
τῶν ἐς ἐμὲ γραφίδων ἀντιδέδωκε γέρας.
α· καὶ τί μὴ αὐτὸς ἑὸν τύπον ἔγραφεν; β· ὅττι γεραίρων
ἡμέας ἀνθ' αὐτοῦ, κρέσσονα δόξαν ἔχει.

268. *ΑΔΗΛΟΝ.*

Ἠὲ τεὴν φωνήν, Ἱππόκρατες, ἔγραφε Παιάν,
ἠὲ σὺ τῆς κείνου μάρτυς ἀκεστορίης.

269. *ΑΛΛΟ.*

Οὗτος ἀκεστορίης κρυφίας ὤϊξε κελεύθους,
Παιήων μερόπων, Κώϊος Ἱπποκράτης.

270. *ΜΑΓΝΟΥ ΙΑΤΡΟΥ.*

*εἰς τὴν εἰκόνα Γαληνοῦ.*

Ἦν χρόνος, ἡνίκα γαῖα βροτοὺς διὰ σεῖο, Γαληνέ,
δέχνυτο μὲν θνητούς, ἔτρεφε δ' ἀθανάτους,
χήρευεν δὲ μέλαθρα πολυκλαύτου Ἀχέροντος,
σῇ παιηονίῃ χειρὶ βιαζόμενα.

271. *ΑΔΕΣΠΟΤΟΝ.*

*εἰς Σώσανδρον ἱπποΐατρον.*

Ἰητὴρ μερόπων, Ἱππόκρατες, ἀλλὰ καὶ ἵππων,
Σώσανδρε, κρυφίης ἵστορ' ἀκεστορίης.

Digitized by Google

ἢ τέχνην μετάμειψον, ἢ οὔνομα· μηδὲ καλείσθω
ἄτερος ἐκ τέχνης, ἧς ἕτερος κρατέει.

## 272. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς εἰκόνα Ἰαμβλίχου ἰατροῦ.

Ὁ γλυκὺς ἐν πάντεσσιν Ἰάμβλιχος, ὅς ποτὶ γῆρας
ἤλυθεν ἁγνὸς ἐὼν Κυπριδίων ὀάρων·
ἔργα δ' ἀκεστορίης ἐφέπων, σοφίην τε διδάσκων,
κέρδεσιν οὐδ' ὁσίοις χεῖρας ὑπεστόρεσεν.

## 273. ΚΡΙΝΑΓΟΡΟΥ.

εἰς εἰκόνα Πραξαγόρου ἰατροῦ.

Αὐτός σοι Φοίβοιο πάϊς λαθικηδέα τέχνης
ἰδμοσύνην, πανάκῃ χεῖρα λιπηνάμενος,
Πρηξαγόρη, στέρνοις ἐνεμάξατο. τοιγὰρ ἀνίαι
ὄρνυνται δολιχῶν ὁππόσαι ἐκ πυρετῶν,
καὶ ὁπόσα τμηθέντος ἐπὶ χροὸς ἄρκια θεῖναι
φάρμακα, πρηείης οἶσθα παρ' Ἠπιόνης.
θνητοῖσιν δ' εἰ τοῖοι ἐπήρκεον ἰητῆρες,
οὐκ ἂν ἐπορθμεύθη νεκροβαρὴς ἄκατος.

## 274. ΑΔΗΛΟΝ.

εἰς εἰκόνα Ὀρειβασίου.

Ἰητὴρ μέγας οὗτος Ἰουλιανοῦ βασιλῆος,
ἄξιος εὐσεβίης δῖος Ὀρειβάσιος.

---

Nr. 271. V. 3. μεταμείψατ'. corr. Br. Nr. 273. V. 2. πανάκη. edd. vett. V. 5. Fort. ἠδ' ὁπόσα.

εἶχε γὰρ οἷα μέλισσα σοφὸν νόον, ἄλλοθεν ἄλλα
    ἰητρῶν προτέρων ἄνθεα δρεψάμενος.

[P] 275. ΠΟΣΕΙΔΙΠΠΟΥ.

*εἰς ἄγαλμα τοῦ Καιροῦ.*

α· Τίς, πόθεν ὁ πλάστης; β· Σικυώνιος. α· οὔνομα δὴ τίς;
    β· Λύσιππος. α· σὺ δέ, τίς; β· Καιρὸς ὁ πανδαμάτωρ.
α· τίπτε δ' ἐπ' ἄκρα βέβηκας; β· ἀεὶ τροχάω. α· τί δὲ ταρσοὺς
    ποσσὶν ἔχεις διφυεῖς; β· ἵπταμ' ὑπηνέμιος.
α· χειρὶ δὲ δεξιτερῇ τί φέρεις ξυρόν; β· ἀνδράσι δεῖγμα,
    ὡς ἀκμῆς πάσης ὀξύτερος τελέθω.
α· ἡ δὲ κόμη, τί κατ' ὄψιν; β· ὑπαντιάσαντι λαβέσθαι,
    νὴ Δία. α· τἀξόπιθεν δ' ἐς τί φαλακρὰ πέλει;
β· τὸν γὰρ ἅπαξ πτηνοῖσι παραθρέξαντά με ποσσίν,
    οὔτις ἔθ' ἱμείρων δράξεται ἐξόπιθεν.
α· τοὔνεχ' ὁ τεχνίτης σε διέπλασεν; β· εἵνεκεν ὑμέων,
    ξεῖνε, καὶ ἐν προθύροις θῆκε διδασκαλίην.

[P] 276. ΒΙΑΝΟΡΟΣ.

Ἔστησεν Περίανδρος Ἀρίονος εἰκόνα ταύτην,
    καὶ τὸν ἀπολλυμένῳ σύνδρομα νηξάμενον

---

Nr. 275. V. 8. πρὸς τί. Vulgo. V. 11. τοῖον ὁ τεχν. με διέπλασεν εἵνεκεν. Vulgo.

εἰνάλιον δελφῖνα, λέγει δ' ὁ 'π' Ἀρίονι μῦθος,
κτεινόμεθ' ἀνθρώποις, ἰχθύσι σωζόμεθα.

277. ΠΑΥΛΟΥ ΣΙΛΕΝΤΙΑΡΙΟΥ.

εἰς εἰκόνα Μαρίας τῆς κιθαρῳδοῦ ἐν Βυζαντίῳ.

Σὸν μὲν κάλλος ἔδειξε μόλις γραφίς· αἴθε δὲ τεύχειν
ἔσθενε καὶ λιγυρῶν ἡδὺ μέλος στομάτων,
ὥς κεν ἐπ' ὀφθαλμοῖσι καὶ οὔασιν, ἔκ τε προσώπου,
ἔκ τε λυροκτυπίης ἶσον ἐθελγόμεθα.

278. ΤΟΥ ΑΥΤΟΥ.

Πλῆκτρον ἔχει φόρμιγγος, ἔχει καὶ πλῆκτρον ἔρωτος·
κρούει δ' ἀμφοτέροις καὶ φρένα καὶ κιθάρην.
τλήμονες οἷς ἄγναμπτον ἔχει νόον· ᾧ δ' ἐπινεύσει,
ἄλλος ὅδ' Ἀγχίσης, ἄλλος Ἄδωνις ὅδε.
εἰ δ' ἐθέλεις, ὦ ξεῖνε, καὶ ἀμφιβόητον ἀκοῦσαι
οὔνομα, καὶ πάτρην, ἐκ Φαρίης Μαρίη.

[?] 279. ΑΔΕΣΠΟΤΟΝ.

εἰς τὸν ἐν Μεγάροις κιθαριστὴν λίθον.

Τόν με λίθον μέμνησο τὸν ἠχήεντα, παρέρπων
Νισαίην· ὅτε γὰρ τύρσιν ἐτειχοδόμει

---

Nr. 276. V. 3. Fort. λέγει δ' ἐπ' Ἀρ. Nr. 278. V. 3. οἷσιν. Vulgo.

Ἀλκάθοος, τότε Φοῖβος ἐπωμαδὸν ἦρε δομαῖον
  λᾶα, Λυκωρείην ἐνθέμενος κιθάρην.
ἔνθεν ἐγὼ λυραοιδός· ὑποκρούσας δέ με λεπτῇ
  χερμάδι, τοῦ κόμπου μαρτυρίην κόμισαι.

[P] 280. ΑΔΗΛΟΝ.

εἰς λουτρόν.

Χρήμασι τοῖς Ἀγάθωνος ἐδείματο τῇδε λοετρὸν
  δῆμος ὁ τῆς Τεγέης, θαῦμα καὶ ἐσσομένοις.

281. ΑΔΗΛΟΝ.

εἰς λουτρὸν ἐν Πραινέτῳ.

Οὐ βαλανεῖον ἔην προπάροιθε τὸ νῦν βαλανεῖον,
  ἀλλὰ τόπος σκυβάλων, χῶρος ἀποκρίσιος·
νῦν δὲ τὰ τερπνὰ τὰ πᾶσι βοώμενα καὶ χαρίεντα
  ἀγλαΐῃ προφέρει. καὶ γὰρ Ἀλέξανδρος
Νικαέων ἱερεύς, σοφίης ἐρικυδέος ἀστήρ,
  τεῦξέ μιν οἰκείοις χρήμασι καὶ δαπάναις.

[P] 282. ΠΑΛΛΑΔΑ.

Νῖκαι πάρεσμεν, αἱ γελῶσαι παρθένοι,
νίκας φέρουσαι τῇ φιλοχρήστῳ πόλει.
ἔγραψαν ἡμᾶς οἱ φιλοῦντες τὴν πόλιν,
πρέποντα Νίκαις ἐντυποῦντες σχήματα.

---

Nr. 279. V. 4. F. ἀνθέμενος. c. Schaef. Nr. 281. V. 4. ἀλεξάνορος edd. quaed.

[?] 283. *ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.*

*εἰς εἰκόνα ὀρχηστρίδος.*

Μουσάων δεκάτη, Χαρίτων Ῥοδόκλεια τετάρτη,
τερπωλὴ μερόπων, ἄστεος ἀγλαΐη,
ὄμματά σοι, καὶ ταρσὰ ποδήνεμα, καὶ σοφὰ χειρῶν
δάκτυλα, καὶ Μουσῶν κρέσσονα καὶ Χαρίτων.

284. *ΤΟΥ ΑΥΤΟΥ.*

*εἰς εἰκόνα ὀρχηστρίδος ἐν τῷ Σωσθενίῳ.*

Εἰμὶ μὲν Ἑλλαδίη Βυζαντιάς, ἐνθάδε δ' ἔστην
ἧχι χοροστασίην εἴαρι δῆμος ἄγει,
ὁππόθι πορθμῷ γαῖα μερίζεται· ἀμφότεραι γὰρ
ἄντυγες ὀρχηθμοὺς ᾔνεσαν ἡμετέρους.

285. *ΤΟΥ ΑΥΤΟΥ.*

*εἰς ὀρχηστρίδος εἰκόνα διάχρυσον ἐν Βυζαντίῳ.*

Οὔ τις ἐπ' Ἀνθούσῃ χρυσὸν βάλεν, ἀλλὰ καὶ αὐτῇ
ἀμφεχύθη Κρονίδης, ὡς τὸ πάρος Δανάῃ·
σώματι δ' οὐκ ἐπέλασσεν, ἐπεὶ νόον ἔλλαβεν αἰδώς,
μή τινι Μουσάων μίσγεται οὐκ ἐθέλων.

286. *ΤΟΥ ΑΥΤΟΥ.*

Θῆλυς ἐν ὀρχηθμοῖς κρατέει φύσις· εἴξατε κοῦροι.
Μοῦσα καὶ Ἑλλαδίη τοῦτον ἔθεντο νόμον.

---

Nr. 283. V. 4. κρείσσονα. Vulgo.

ἡ μέν, ὅτι πρώτη κινήσιος εὕρετο ῥυθμούς·
ἡ δ', ὅτι τῆς τέχνης ἦλθεν ἐς ἀκρότατον.

287. ΤΟΥ ΑΥΤΟΥ.

Ἕκτορα μέν τις ἄεισε, νέον μέλος· Ἑλλαδίη δὲ
ἑσσαμένη χλαῖναν, πρὸς μέλος ἠντίασεν.
ἦν δὲ πόθος καὶ δεῖμα παρ' ὀρχηθμοῖσιν Ἐννοῦς·
ἄρσενι γὰρ ῥώμῃ θῆλυν ἔμιξε χάριν.

288. ΤΟΥ ΑΥΤΟΥ.

εἰς εἰκόνα Λιβανίας ὀρχηστρίδος.

Οὔνομ' ἔχεις Λιβάνου, Χαρίτων δέμας, ἤθεα Πειθοῦς,
παρθένε, καὶ Παφίης κεστὸν ὑπ' ἐκ λαγόνων.
αὐτὰρ ἐν ὀρχηθμοῖσιν, Ἔρως ἅτε κοῦφος, ἀθύρεις,
κάλλεϊ καὶ τέχνῃ πάντας ἐφελκομένη.

289. ΑΔΗΛΟΝ.

εἰς Ξενοφῶντος Σμυρναίου εἰκόνα.

Αὐτὸν ὁρᾷν Ἰόβακχον ἐδόξαμεν, ἡνίκα ληνοῖς
ὁ πρέσβυς νεαρῆς ἦρχε χοροιμανίης,
καὶ Κάδμου τὰ πάρηβα χορεύματα, καὶ τὸν ἀφ' ὕλης
ἄγγελον εὐϊακῶν ἰχνελάτην θιάσων,
καὶ τὴν εὐάζουσαν ἐν αἵματι παιδὸς Ἀγαύην
λυσσάδα. Φεῦ θείης ἀνδρὸς ὑποκρισίης.

---

Nr. 288. V. 3. κοῦρος. Br. Nr. 289. V. 1. Fort. Ληναῖς.

290. ΑΝΤΙΠΑΤΡΟΥ.

Αὐτὸν Βακχευτὴν ἐνέδυ θεὸν, ἡνίκα Βάκχας
ἐκ Θηβῶν Ἰταλὴν ἤγαγε πρὸς θυμέλην,
ἀνθρώποις Πυλάδης τερπνὸν δέος, οἷα χορεύων
δαίμονος ἀκρήτου πᾶσαν ἔπλησε πόλιν.
Θῆβαι γιγνώσκουσι τὸν ἐκ πυρός· οὐράνιος δὲ
οὗτος, ὁ παμφώνοις χερσὶ λοχευόμενος.

[?] 291. ΑΝΥΤΗΣ.

Φριξοκόμα τόδε Πανὶ καὶ αὐλιάσιν θέτο Νύμφαις
δῶρον ὑπὸ σκοπιᾶς Θεύδοτος οἰονόμος,
οὕνεχ' ὑπ' ἀζαλέου θέρεος μέγα κεκμηῶτα
παῦσαν, ὀρέξασαι χερσὶ μελιχρὸν ὕδωρ.

[?] 292. ΑΔΗΛΟΝ.

Υἱὲ Μέλητος Ὅμηρε, σὺ γὰρ κλέος Ἑλλάδι πάσῃ
καὶ Κολοφῶνι πάτρῃ θῆκας ἐς ἀΐδιον,
καὶ τάσδ' ἀντιθέῳ ψυχῇ γεννήσαο κούρας,
δισσὰς ἐκ στηθέων γραψάμενος σελίδας.
ὑμνεῖ δ' ἡ μὲν νόστον Ὀδυσσῆος πολύπλαγκτον,
ἡ δὲ τὸν Ἰλιακὸν Δαρδανίων πόλεμον.

293. ΑΛΛΟ.

Τίς ποθ' ὁ τὸν Τροίης πόλεμον σελίδεσσι χαράξας,
ἢ τίς ὁ τὴν δολιχὴν Λαρτιάδαο πλάνην;

---

Nr. 290. V. 3. θέος. Br.

οὐκ ὄνομ' εὑρίσκω σαφές, οὐ πόλιν. οὐράνιε Ζεῦ,
μή ποτε σῶν ἐπέων δόξαν Ὅμηρος ἔχει;

294. ΑΛΛΟ.

Ὁπποίας τὸν Ὅμηρον ἀναγραψώμεθα πάτρης,
κεῖνον, ἐφ' ᾧ πᾶσαι χεῖρ' ὀρέγουσι πόλεις;
ἢ τὸ μέν ἐστιν ἄγνωστον, ὁ δ' ἀθανάτοις ἴσος ἥρως
ταῖς Μούσαις ἔλιπεν πατρίδα καὶ γενεήν;

295. ΑΛΛΟ.

Οὐχὶ πέδον Σμύρνης ἐλοχεύσατο θεῖον Ὅμηρον,
οὐ Κολοφὼν τρυφερῆς ἄστρον Ἰηονίης,
οὐ Χίος, οὐκ Αἴγυπτος ἐΰσπορος, οὐ Κύπρος ἁγνή,
οὐ νῆσος κραναὴ Λαρτιάδαο πάτρη,
οὐκ Ἄργος Δαναοῖο, κυκλωπείη τε Μυκήνη,
οὐδὲ τὸ Κεκροπίων ἄστυ παλαιογόνων.
οὐ γὰρ ἔφυ χθονὸς ἔργον· ἀπ' αἰθέρος ἀλλά ἑ Μοῦσαι
πέμψαν, ἵν' ἡμερίοις δῶρα ποθητὰ φέροι.

296. ΑΝΤΙΠΑΤΡΟΥ.

Οἱ μέν σευ Κολοφῶνα τιθηνήτειραν, Ὅμηρε,
οἱ δὲ καλὰν Σμύρναν, οἱ δ' ἐνέπουσι Χίον,

---

Nr. 294. V. 3. Fort. ἐστ' ἄγνωστον. Nr. 295. V. 2. τραφερῆς. Vulgo.

οἱ δ' Ἴον, οἱ δ' ἐβόασαν εὔκλαρον Σαλαμῖνα,
οἱ δέ νυ τῶν Λαπιθέων ματέρα Θεσσαλίην·
ἄλλοι δ' ἄλλην γαῖαν ἀνίαχον. εἰ δέ με Φοίβου
χρὴ λέξαι πινυτὰς ἀμφαδὰ μαντοσύνας,
πάτρα σοι τελέθει μέγας Οὐρανός, ἐκ δὲ τεκούσης
οὐ θνατᾶς, ματρὸς δ' ἔπλεο Καλλιόπας.

297. ΑΔΗΛΟΝ.

Ἑπτὰ ἐριδμαίνουσι πόλεις διὰ ῥίζαν Ὁμήρου,
Κύμη, Σμύρνα, Χίος, Κολοφών, Πύλος, Ἄργος, Ἀθῆναι.

298. ΑΛΛΟ.

Ἑπτὰ πόλεις μάρναντο σοφὴν διὰ ῥίζαν Ὁμήρου,
Σμύρνα, Χίος, Κολοφών, Ἰθάκη, Πύλος, Ἄργος, Ἀθῆναι.

299. ΑΛΛΟ.

α. Χῖος ἔφυς; β. οὔ φημι. α. τί δέ, Σμυρναῖος; β. ἀπαυδῶ.
α. Κύμη δ' ἢ Κολοφὼν πατρὶς Ὅμηρε σέθεν;
β. οὐδετέρη. α. Σαλαμὶς δὲ τεὴ πόλις; β. οὐδ' ἀπὸ ταύτης
ἐξέφυν. α. ἀλλ' αὐτὸς λέξον ὅπη γέγονας.

---

Nr. 296. V. 6. ἄνδιχα. Vulgo.

β. οὐκ ἐρέω. α. τίνος ἦρα; β. πέπεισμ᾽ ὅτι τἀτρεκὲς εἰπών,
ἔξω τὰς ἄλλας ἄμμιν ἀπεχθομένας.

300. *ΑΛΛΟ.*

Εἰς αἰῶνας, Ὅμηρε, καὶ ἐξ αἰῶνος ἀείδη,
Οὐρανίης Μούσης δόξαν ἀειράμενος.
μῆνιν μὲν γὰρ ἄεισας Ἀχιλλέος, αὐτὰρ Ἀχαιῶν
στρομβηδὸν νηῶν σύγχυσιν ἐν πελάγει,
τειρόμενόν τε πλάνησιν Ὀδυσσέα ποικιλόβουλον,
τοῦ λέχος ἀσπασίως εἴσιδε Πηνελόπη.

301. *ΑΛΛΟ.*

Εἰ θεός ἐστιν Ὅμηρος, ἐν ἀθανάτοισι σεβέσθω·
εἰ δ᾽ αὖ μὴ θεός ἐστι, νομιζέσθω θεὸς εἶναι.

302. *ΑΛΛΟ.*

Εὗρε Φύσις, μόλις εὗρε· τεκοῦσα δ᾽ ἐπαύσατο μόχθων,
εἰς ἕνα μοῦνον Ὅμηρον ὅλην τρέψασα μενοινήν.

303. *ΑΛΛΟ.*

Τίς ποθ᾽ Ὁμηρείης μεγάλης ὀπός ἐστιν ἀπευθής;
τίς χθών, τίς δὲ θάλασσα μάχην οὐκ οἶδεν Ἀχαιῶν;

---

Nr. 299. V. 5. ἦ ῥα. Vulgo. ἆρα. Br.

Digitized by Google

*δῆμος ὁ Κιμμερίων, πανδερκέος ἄμμορος αἴγλης*
*Ἠελίου, Τροίης ὄνομ' ἔκλυεν, ἔκλυεν Ἄτλας*
*οὐρανὸν εὐρύστερνον ἔχων ἐπικείμενον ὤμοις.*

### 304. *ΑΛΛΟ.*

*Διεξιὼν Ὅμηρε τὴν κεκαυμένην*
*φθονεῖν ἀφῆκας τὰς ἀπορθήτους πόλεις.*

### 305. *ΑΝΤΙΠΑΤΡΟΥ.*

*Νεβρείων ὁπόσον σάλπιγξ ὑπερίαχεν αὐλῶν,*
*τόσσον ὑπὲρ πάσας ἔκραγε σεῖο χέλυς·*
*οὐδὲ μάτην ἁπαλοῖς ξουθὸς περὶ χείλεσιν ἑσμὸς*
*ἔπλασε κηρόδετον, Πίνδαρε, σεῖο μέλι.*
*μάρτυς ὁ Μαινάλιος κερόεις θεός, ὕμνον ἀείσας*
*τὸν σέο, καὶ νομίων λησάμενος δονάκων.*

### 306. *ΛΕΩΝΙΔΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.*

*εἰς Ἀνακρέοντα.*

*Πρέσβυν Ἀνακρείοντα χύδαν σεσαλαγμένον οἴνῳ*
*θάεο, δινωτοῦ στρεπτὸν ὕπερθε λίθου,*
*ὡς ὁ γέρων λίχνοισιν ἐπ' ὄμμασιν ὑγρὰ δεδορκὼς*
*ἄχρι καὶ ἀστραγάλων ἕλκεται ἀμπεχόναν·*

---

Nr. 305. V. 3. ἁπαλός. Vulgo. Nr. 306. V. 2. Fort. στεπτόν. V. 3. Fort. ὑπ' ὄμμασιν.

Digitized by Google

δισσῶν δ' ἀρβυλίδων τὰν μὲν μίαν, οἷα μεθυπλήξ,
ὤλεσεν· ἐν δ' ἑτέρᾳ ῥικνὸν ἄραρε πόδα.
μέλπει δ' ἠὲ Βάθυλλον ἐφίμερον, ἠὲ Μεγιστέα,
αἰωρῶν παλάμᾳ τὰν δυσέρωτα χέλυν.
ἀλλὰ πάτερ Διόνυσε, φύλασσέ μιν· οὐ γὰρ ἔοικεν
ἐκ Βάκχου πίπτειν Βακχιακὸν θέραπα.

### 307. ΛΕΩΝΙΔΟΥ.

Ἴδ' ὡς ὁ πρέσβυς ἐκ μέθης Ἀνακρέων
ὑπεσκέλισται, καὶ τὸ λῶπος ἕλκεται
ἐςάχρι γυίων· τῶν δὲ βλαυτίων τὸ μὲν
ὅμως φυλάσσει, θάτερον δ' ἀπώλεσεν.
μελίσδεται δὲ τὰν χέλυν διακρέκων
ἤτοι Βάθυλλον, ἢ καλὸν Μεγιστέα.
Φύλασσε, Βάκχε, τὸν γέροντα, μὴ πέσῃ.

### 308. ΕΥΓΕΝΟΥΣ.

Τὸν τοῖς μελιχροῖς Ἱμέροισι σύντροφον,
Λυαῖ', Ἀνακρείοντα Τήϊον κύκνον,
ἔσφηλας ὑγρῇ νέκταρος μεληδόνι.
λοξὸν γὰρ αὐτοῦ βλέμμα, καὶ περὶ σφυροῖς
ῥιφθεῖσα λώπευς πέζα, καὶ μονοζυγὲς
μέθην ἐλέγχει σάνδαλον· χέλυς δ' ὅμως

---

Nr. 308. V. 2. Λυαῖος. Vulgo.

τὸν εἰς Ἔρωτας ὕμνον ἀθροΐζεται.
ἀπτῶτα τήρει τὸν γεραιόν, Εὔϊε.

### 309. ΑΔΕΣΠΟΤΟΝ.

Τήϊον ἀμφοτέρων με βλέπεις ἀκόρεστον ἐρώτων
πρέσβυν, ἴσον κούροις, ἶσον ἀδόντα κόραις·
ὄμμα δέ μευ Βρομίῳ βεβαρημένον, ἠδ' ἀπὸ κώμων
τερπνὰ φιλαγρύπνων σήματα παννυχίδων.

### 310. ΔΗΜΟΧΑΡΙΔΟΣ.

εἰς εἰκόνα Σαπφοῦς.

Αὐτή σοι πλάστειρα Φύσις παρέδωκε τυπῶσαι
τὴν Μιτυληναίαν, ζωγράφε, Πιερίδα.
πηγάζει τὸ διαυγὲς ἐν ὄμμασι· τοῦτο δ' ἐναργῶς
δηλοῖ φαντασίην ἔμπλεον εὐστοχίης.
αὐτομάτως δ' ὁμαλή τε καὶ οὐ περίεργα κολῶσα
σὰρξ ὑποδεικνυμένην τὴν ἀφέλειαν ἔχει.
ἄμμιγα δ' ἐξ ἱλαροῖο καὶ ἐκ νοεροῖο προσώπου
Μοῦσαν ἀπαγγέλλει Κύπριδι μιγνυμένην.

### 311. ΑΔΗΛΟΝ.

εἰς τὰ Ὀππιανοῦ Ἁλιευτικά.

Ὀππιανὸς σελίδεσσιν ἁλίπλοα φῦλα συνάψας
θήκατο πᾶσι νέοις ὄψον ἀπειρέσιον.

---

Nr. 310. V. 5. λιπῶσα. Br. Fort. χαλῶσα. V. 7. νοτεροῖο. Vulg.

312. ΑΔΗΛΟΝ.

εἰς εἰκόνα Γεωργίου.

Καλλιόπη βασίλεια Γεώργιον εἶπεν ἰδοῦσα·
οὗτος ἐμὸς γενέτης γνήσιος, οὐ Κρονίδης.

[P] 313. ΑΔΕΣΠΟΤΟΝ.

εἰς ἀνδριάντα Πτολεμαίου ῥήτορος ἐν Ἀντιοχείᾳ.

α. Εἰκών, τίς σ' ἀνέθηκε; β. λόγοι. α. τίνος εἶ; β. Πτολεμαίου.
α. ποίου; β. τοῦ Κρητός. α. τεῦ χάριν; β. ἀντ' ἀρετῆς.
α. τῆς ποδαπῆς; β. πάσης. α. τῆς ἐς τίνας; β. ἐς δικολέκτας.
α. καὶ ξύλον ἀρκεῖ; β. ναί. χρυσίον οὐ δέχεται.

314. ΑΡΑΒΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Εἰκόνα Λογγίνῳ χρυσέην πύλις εἶχεν ὀπάσσαι,
εἰ μὴ πότνα Δίκη χρυσὸν ἀπεστρέφετο.

315. ΘΩΜΑ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ῥητορικῆς φιλέω τρεῖς ἀστέρας, οὕνεκα μοῦνοι
πάντων ῥητήρων εἰσὶν ἀρειότεροι.
σεῖο πόνους φιλέω, Δημόσθενες· εἰμὶ δὲ λίην
καὶ φιλαριστείδης καὶ φιλοθουκυδίδης.

316. ΜΙΧΑΗΛΙΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.
εἰς εἰκόνα Ἀγαθίου Σχολαστικοῦ.

Ἡ πόλις Ἀγαθίαν τὸν ῥήτορα, τὸν στιχαοιδόν,
δίζυγος εὐεπίης ῥυθμὸν ἀγασσαμένη,
ὡς μήτηρ ἐτέλεσσεν ἐφ' υἱέϊ, καὶ πόρε τήνδε
εἰκόνα, καὶ στοργῆς μάρτυρα καὶ σοφίης·
Μεμνόνιον δὲ τοκῆα, κασίγνητόν τε σὺν αὐτῷ
ἔστησεν, γενεῆς σύμβολα σεμνοτάτης.

317. ΠΑΛΛΑΔΑ.

Κωφὸν ἄναυδον ὁρῶν τὸν Γέσσιον, εἰ λίθος ἐστί,
Δήλιε, μαντεύου, τίς τίνος ἐστὶ λίθος.

318. ΑΔΗΛΟΝ.
εἰς εἰκόνα ῥήτορος ἀφυοῦς.

Τίς σε τὸν οὐ λαλέοντα τύπῳ ῥητῆρος ἔγραψε;
σιγᾷς, οὐ λαλέεις, οὐδὲν ὁμοιότερον.

319. ΑΛΛΟ.
εἰς εἰκόνα Μαρίνου ῥήτορος.

Εἰκόνες ἀνθρώποισι φίλον γέρας· ἀλλὰ Μαρίνῳ
ὕβρις, ἐλεγχομένης εἴδεος ἀπρεπίης.

320. ΑΛΛΟ.
εἰς ἄγαλμα Ἀριστείδου ῥήτορος.

Νεῖκος Ἀριστείδης Ἰάδων κατέπαυσε πολήων,
τὸν πρὶν Ὁμηρείης εἶχον ὑπὲρ γενεῆς.

φασὶν ἅμα πᾶσαι· Σμύρνη τέκε θεῖον Ὅμηρον,
ἣ καὶ Ἀριστείδην ῥήτορα γειναμένη.

321. ἈΔΗΛΟΝ.

Εἰκὼν Καλλίστου τοῦ ῥήτορος· οἱ δὲ παρ' αὐτὴν
ἐρχόμενοι, Ἑρμῇ σπένδετε τῷ λογίῳ.

322. ἈΔΗΛΟΝ.

Φύρμος με Φύρμον, πυρφόρος τὸν πυρφόρον,
ὁ παῖς ὁ ῥήτωρ, τὸν πατέρα τὸν ῥήτορα.

[P] 323. ΜΕΣΟΜΗΔΟΥ.

Τὰν ὕελον ἐκόμιζε
κόψας ἐργάτας ἀνήρ·
ἐς δὲ πῦρ ἔθηκε βῶλον,
ὡς σίδηρον εὐσθενῆ·
ἁ δ' ὕελος, οἷα κηρός,
ἐξεχεῖτο, παμφάγοισι
φλοξὶν ἐκπυρούμενος.
θαῦμα δ' ἦν ἰδεῖν βροτοῖς
ὁλκὸν ἐκ πυρὸς ῥέοντα,
καὶ τὸν ἐργάτην τρέμοντα,
μὴ πεσὼν διαῤῥαγῇ.
ἐς δὲ διπτύχων ἀκμὰς
χειλέων ἔθηκε βῶλον.

Nr. 320. V. 3. F. πᾶσαι φασὶν ἅμα. Nr. 323. V. 7. ἐκπυρουμέναισι. Vulg.

### 324. ΑΔΗΛΟΝ.

Ἡ γραφὶς ἀργυρέη μέν, ὅτ' ἐκ πυρὸς ἦλθον, ἐτύχθην·
σαῖσι δὲ καὶ χρυσέη γίνομαι ἐν παλάμαις.
ὧδέ σοι, ὦ χαρίεσσα Λεόντιον, εὖ μὲν Ἀθήνη
τέχνης, εὖ δ' εἴδους ἄκρα δέδωκε Κύπρις.

[ ] 325. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

εἰς ἀνδριάντα Πυθαγόρου.

Οὐ τὸν ἀναπτύσσοντα φύσιν πολύμητιν ἀριθμῶν
ἤθελεν ὁ πλάστης Πυθαγόραν τελέσαι,
ἀλλὰ τὸν ἐν σιγῇ πινυτόφρονι· καὶ τάχα φωνὴν
ἔνθεν ἀποκρύπτει, καὶ τόδ' ἔχων ὀπάσαι.

### 326. ΑΔΗΛΟΝ.

εἰς τὸ αὐτό.

Αὐτὸν Πυθαγόρην ὁ ζωγράφος, ὃν μετὰ φωνῆς
εἶδες ἄν, εἴ γε λαλεῖν ἤθελε Πυθαγόρης.

### 327. ΙΩΑΝΝΟΥ ΤΟΥ ΒΑΡΒΟΥΚΑΛΛΟΥ.

Ὡς σοφὸς ὁ γράψας· ζωὰν οὐκ ἔμβαλε κηρῷ,
Σωκράτεος ψυχᾷ τοῦτο χαριζόμενος.

---

Nr. 325. V. 3. πινυτόφρονα. corr. Passow. V. 4. Fort. ἔνδον ἀποκρ.

328. ἈΔΗΛΟΝ.

Τὸν νοῦν διδάσκων αἰθερεμβατεῖν Πλάτων,
τοὺς τῶν ὑπὲρ νοῦν ἐξερεύγεται λόγους.

329. ἈΔΗΛΟΝ.

εἰς εἰκόνα Ἀριστοτέλους.

Οὗτος Ἀριστοτέλης μετρῶν χθόνα καὶ πόλον ἄστρων.

330. ἌΛΛΟ.

Νοῦς καὶ Ἀριστοτέλους ψυχή, τύπος ἀμφοτέρων εἷς.

331. ἈΓΑΘΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

εἰς εἰκόνα Πλουτάρχου.

Σεῖο πολυκλήεντα τύπον στῆσαν, Χαιρωνεῦ
Πλούταρχε, κρατερῶν υἱέες Αὐσονίων,
ὅττι παραλλήλοισι βίοις Ἕλληνας ἀρίστους
Ῥώμης εὐπολέμοις ἥρμοσας ἐνναέταις.
ἀλλὰ τεοῦ βιότοιο παράλληλον βίον ἄλλον
οὐδὲ σύ γ' ἂν γράψαις· οὐ γὰρ ὅμοιον ἔχεις.

332. ΤΟΥ ΑΥΤΟΥ.

εἰς εἰκόνα Αἰσώπου.

Εὖγε ποιῶν, Λύσιππε γέρων, Σικυώνιε πλάστα,
δείκελον Αἰσώπου στήσαο τοῦ Σαμίου

---

Nr. 331. V. 1. στήσαντο χερωνεῦ. Vulgo.

ἑπτὰ σοφῶν ἔμπροσθεν, ἐπεὶ κεῖνοι μὲν ἀνάγκην
ἔμβαλον, οὐ πειθώ, φθέγμασι τοῖς σφετέροις·
ὃς δὲ σοφοῖς μύθοις καὶ πλάσμασι καίρια λέξας,
παίζων ἐν σπουδῇ, πείθει ἐχεφρονέειν.
φευκτὸν δ' ἡ τρηχεῖα παραίνεσις· ἡ Σαμίου δὲ
τὸ γλυκὺ τοῦ μύθου καλὸν ἔχει δέλεαρ.

### 333. ἈΝΤΙΦΙΛΟΥ ΒΥΖΑΝΤΙΟΥ.

Ἡ πήρη καὶ χλαῖνα καὶ ὕδατι πιληθεῖσα
μάζα, καὶ ἡ πρὸ ποδῶν ῥάβδος ἐρειδομένη,
καὶ δέπας ἐκ κεράμοιο, σοφῷ κυνὶ μέτρα βίοιο
ἄρκια· κὴν τούτοις ἦν τι περισσότερον·
κοίλαις γὰρ πόμα χερσὶν ἰδὼν ἀρύοντα βοώτην
εἶπε· τί καὶ σὲ μάτην ὄστρακον ἠχθοφόρουν;

### 334. ΤΟΥ ΑΥΤΟΥ.

Γηράσκει καὶ χαλκὸς ὑπὸ χρόνου· ἀλλὰ σὸν οὔτι
κῦδος ὁ πᾶς αἰών, Διόγενες, καθελεῖ,
μοῦνος γὰρ βιοτῆς αὐτάρκεα δόξαν ἔδειξας
θνητοῖς, καὶ ζωῆς οἶμον ἐλαφροτάτην.

Nr. 334. V. 3. μοῦνος ἐπεί. Br.

# EX LIBRO QUINTO.

## Εἰς τὰς ἐν τῷ Ἱπποδρόμῳ Κωνσταντινουπόλεως στήλας τῶν ἀθλητῶν ἐπιγράμματα.

### 335. Εἰς Πορφύριον.

Πορφύριον Κάλχαντος ἄναξ καὶ δῆμος ἐγείρει,
πολλοῖς εὐκαμάτοις βριθόμενον στεφάνοις,
πᾶσι μεθ' ἡνιόχοισι νεώτατον, ὅσσον ἄριστον,
ἀλλὰ τόσον νίκης κάρτος ἐνεγκάμενον.
ἔπρεπε μὴν χρυσέῳ ἐν ἀγάλματι, μὴ δ' ἐνὶ χαλκῷ
τοῦτον τοῖς ἄλλοις εἴκελον ἑστάμεναι.

### 336. ΑΛΛΟ.

Τέτραχα μὲν τὸ πάροιθε διακριδὸν ἴαχε δῆμος,
τὸν Καλχαντιάδην Πορφύριον ποθέων·
αὐτὰρ ὁ δεξιτεροῖσιν ἀνακτορέοιο θοώκου
ἡνία καὶ ζώνην ἱππότιν ἀνθέμενος,
κεῖθεν ἐπισπέρχων ἐλάᾳ· μεσσηγὺ δ' ἀέθλων
χάλκεος ἱδρύνθη, πρῶτον ἴουλον ἔχων.
εἰ δ' ἐτέων γέρας ἦλθε θοώτερον, ἀλλ' ἐπὶ νίκαις
ὄψιμον, ἀλλὰ μόλις, πολλὰ μετὰ στέφεα.

---

Nr. 335. V. 5. ἔπρεπέ μιν. Vulgo.

### 337. ΑΛΛΟ.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη
φίλατο· καὶ Νίκη νῦν τάχα Πορφύριον,
ὃς καὶ ἑοὺς ἵππους καὶ ὁμόφρονος ἡνιοχῆος
ἐξ ἑτέρων ἑτέρους αἰὲν ἀμειβόμενος,
πολλάκι κρᾶτα πύκασσε πανημερίοισιν ἀέθλοις,
οὐ μογέων, ἑτάρου μοῦνον ἐφεσπομένου.

### 338. ΑΛΛΟ.

Τοῦτό σοι ἠϊθέῳ Νίκη γέρας, ὃ χρόνος ἄλλοις
ὀψὲ μόλις πολιοῖς ὤπασε, Πορφύριε.
καὶ γὰρ ἀριθμήσασα πολυστεφέας σέο μόχθους
εὕρετο γηραλέων κρέσσονας ἡνιόχων.
τί πλέον, ὅ ττι καὶ αὐτὸς ἐπευφήμησεν ἀΰσας
σὸν κλέος ἀντιπάλων δῆμος ἀγασσάμενος;
ὀλβίη ἡ Βενέτων πανελεύθερός ἐστι γενέθλη,
ᾗ σε μέγας βασιλεὺς δῶρον ἔνευσεν ἔχειν.

### 339. ΑΛΛΟ.

Ἄλκιμοι ἀλκήεντα, σοφοὶ σοφόν, υἱέα Νίκης
οἱ Νίκης παῖδες Πορφύριον Βένετοι
ἄνθεσαν, ἀμφοτέραις γὰρ ἀμειβομένοις ἐπὶ πώλοις
κυδιάει νίκαις, οἷς πόρεν, οἷς ἔλαβεν.

---

Nr. 338. V. 4. εὕρατο. Br.

Digitized by Google

### 340. *ΑΛΛΟ.*

*Ἄλλοις παυσαμένοισιν, ἀεθλεύοντι δὲ μούνῳ*
*Πορφυρίῳ βασιλεὺς τοῦτο δέδωκε γέρας.*
*πολλάκι νικήσας γάρ, ἑοὺς πόρεν ὠκέας ἵππους,*
*λάζετο δ᾽ ἀντιπάλων, καὶ πάλιν ἐστέφετο.*
*ἔνθεν ἔην Πρασίνοις ἔρις ἄσπετος, ἔνθεν ἀϋτή.*
*ὣς Βενέτους τέρψαις, Κοίρανε, καὶ Πρασίνους.*

### 341. *ΑΛΛΟ.*

*Αἱ πάντων ψῆφοί με καὶ εἰςέτι διφρεύοντα*
*ἔστησαν Νίκης ἐγγύθι Πορφύριον,*
*δῆμος μὲν γὰρ ἐμὸς γέρας ᾔτεεν· οἱ δ᾽ ἕτεροί με*
*δίζοντ᾽ αὖτις ἔχειν, νεῖκος ἀπειπάμενοι.*
*μήτι δ᾽ ἡνιόχων περιγίγνομαι, οἷσι καὶ ἵππους*
*κρείσσονας ἀντιπορών, δεῖξα χερειοτέρους.*

### 342. *ΑΛΛΟ.*

*Αὐτὸν Πορφύριον μὲν ἀπηκριβώσατο χαλκῷ*
*ὁ πλάστης, ἔμπνουν οἷα τυπωσάμενος.*
*τίς δὲ χάριν, τίς ἄεθλα, τίς ἔνθεα δήνεα τέχνης*
*τεύξει, καὶ νίκην οὔποτ᾽ ἀμειβομένην.*

---

Nr. 34o. V. 6. ὅς. Br. τέρψει. Vulgo. Nr. 341. V. 3. ἐμόν. Vulg. V. 4. νῖκος. Vulgo.

343. ΑΛΛΟ.

Εἰκόνι χαλκείῃ τὸν χάλκεον ἡνιοχῆα
ἄνθετο νικητὴν κοίρανος Αὐσονίων,
ὡς σοφόν, ὡς Βενέτοις πεφιλημένον· ἀλλ' ἐπὶ νίκαις
Πορφυρίου πολλὰς εἰκόνας ὀψόμεθα.

344. ΑΛΛΟ.

α. Τίς τελέθεις, φίλε κοῦρε, γενειάδος ἄκρα χαράσσων;
β. ὦ ξένε, Πορφύριος. α. τίς πατρίς; β. ἡ Λιβύη.
α. τίς δέ σε νῦν τίμησεν; β. ἄναξ, χάριν ἱπποσυνάων.
α. τίς μάρτυς τελέθει; β. δῆμος ὁ τῶν Βενέτων.
ἔπρεπέ σοι Λύσιππον ἔχειν ἐπιμάρτυρα νίκης
τοσσατίης, πλάστην ἴδμονα, Πορφύριε.

345. ΑΛΛΟ.

Ἐγγύθι τῆς Νίκης καὶ Ἀλεξάνδρου βασιλῆος
ἔστης, ἀμφοτέρων κύδεα δρεψάμενος.

346. ΑΛΛΟ.

Πάντα Τύχης ὀφθαλμὸς ἐπέρχεται· ἀλλ' ἐπὶ μούνοις
Πορφυρίου καμάτοις ἕλκεται ὄμμα Τύχης.

347. ΑΛΛΟ.

Σὴν τροχαλὴν μάστιγα καὶ ἀσπίδα δῆμος ἀγασθεὶς
ἤθελέ σε στῆσαι διπλόον, ὥσπερ ἔδει,

---

Nr. 343. V. 2. νικητής. Vulgo.

Digitized by Google

ἡνίοχον κρατερὸν καὶ ἀριστέα· διχθὰ δὲ χαλκὸς
οὐκ ἐχύθη, ψυχὴν σεῖο τυπωσάμενος.

348. ΑΛΛΟ.

Πορφύριον σταδίοισι τίνος χάριν ἡνιοχῆα
δῆμος ὁ πρῶτα φέρων ἄνθετο τῶν Πρασίνων;
αὐτὸς ἄναξ κήρυξε. τί γὰρ πλέον; ὅττι γεραίρει
εἵνεκεν εὐνοίης, εἵνεκεν ἱπποσύνης.

349. ΑΛΛΟ.

Πορφυρίῳ μετ' ἄεθλα γέρας πόρεν ἄξιον ἔργων
κοίρανος ὁ Πρασίνοις τοῦτο χαριζόμενος.
πολλάκι γὰρ δῆμος προφερέστερα ἔργα κομίζων
ἤνεσε Καλλιόπαν, καὶ πάλι Πορφύριον.
διπλόον οὔνομα τοῦτο, τόπερ λάχε χάλκεος ἥρως
οὗτος, ὁ τεθρίπποις κῦδος ἑλὼν ἀρετῆς.

350. ΑΛΛΟ.

Οὐ μόνον ἐν σταδίοις σε κατέστεφε πότνια Νίκη,
ἀλλὰ καὶ ἐν πολέμοις δεῖξεν ἀεθλοφόρον,
εὖτ' ἄρ' ἄναξ πολέμιζεν ἔχων Πρασίνους ὑποεργοὺς
ἄγρια μαινομένῳ ἐχθρῷ ἀνακτορέῳ,
καὶ πέσεν αἰνοτύραννος ἐπιφθιμένης τότε Ῥώμης,
ἦμαρ δ' Αὐσονίης ἦλθεν ἐλευθερίης.

---

Nr. 350. V. 3. εὖτ' ἂν ἄναξ. Vulgo.

Digitized by Google

τοὔνεκα τοῖς μὲν ἔδωκεν ἄναξ γέρας, ὡς πάρος εἶχον·
σὸν δὲ τύπον τέχνη ἔξεσε, Πορφύριε.

351. ΑΛΛΟ.

Ὑμετέρων κήρυκες ἀμεμφέες εἰσὶν ἀγώνων,
οἱ καὶ ἀπ' ἀντιβίων, Πορφύριε, στέφανοι.
πάντας γὰρ σταδίοισιν ἀμοιβαδὸν αἰὲν ἐλέγχεις
ἀντιτέχνους, τῆς σῆς παίγνιον ἱπποσύνης.
τοὔνεκα καὶ ξεῖνον πρεσβήϊον εὕραο μοῦνος,
εἰκόνα χαλκείην δήμῳ ἐν ἀμφοτέρῳ.

352. ΑΛΛΟ.

Πλάστης χαλκὸν ἔτευξεν ὁμοίϊον ἡνιοχῆϊ.
εἴθε δὲ καὶ τέχνης ὄγκον ἀπειργάσατο,
ὄγκον ὁμοῦ καὶ κάλλος· ὅπερ φύσις ὀψὲ τεκοῦσα
ὤμοσεν· ὠδίνειν δεύτερον οὐ δύναμαι.
ὤμοσεν εὐόρκοις ὑπὸ χείλεσι· Πορφυρίῳ γὰρ
πρώτῳ καὶ μούνῳ πᾶσαν ἔδωκε χάριν.

353. ΑΛΛΟ.

Εἰ φθόνος ἠρεμέοι, κρίνειν δ' ἐθέλοιεν ἀέθλους,
πάντες Πορφυρίου μάρτυρές εἰσι πόνων.
Ναὶ τάχα καὶ φήσαιεν ἀριθμήσαντες ἀγῶνας,
βαιὸν τοῦτο γέρας τοσσατίων καμάτων.
ὅσσα γὰρ ἡνιοχῆας ἀεὶ μεμερισμένα κοσμεῖ,
εἰς ἓν ἀολλίσας, τηλίκος ἐξεφάνη.

Digitized by Google

354. ΑΛΛΟ.

Αἰδομένη χαλκῷ σε πόλις, τριπόθητε, γεραίρει·
ἤθελε γὰρ χρυσῷ· ἀλλ' ἴδεν ἐς Νέμεσιν.
εἰ δὲ τεὴν μέλπων οὐ παύεται ἠθάδα νίκην
εὐγνώμων δῆμος, Πορφύριε, Πρασίνων,
ἔμπνοά σοι ξύμπαντες ἀγάλματα· πᾶς δὲ περισσὸς
καὶ χρυσὸς τούτοις εἰς ἔριν ἐρχόμενος.

355. ΑΛΛΟ.

Οὔπω σοι μογέοντι Τύχη πόρεν ἄξια νίκης·
νῖκαι γὰρ τῆς σῆς μείζονες εὐτυχίης.
ἀλλὰ μέρει πρώτῳ σταθερῷ καὶ ἀρείονι μίμνοις
τὴν φθονερὴν τήκων δυσμενέων κραδίην,
οἳ σέθεν εἰσορόωντες ἀεὶ νικῶσαν ἱμάσθλην,
μέμφονται σφετέρην αἰὲν ἀτασθαλίην.

356. ΑΛΛΟ.

Ἄλλοις μὲν γεράων πρόφασις χρόνος· οἱ δ' ἐπὶ νίκαις
κρινόμενοι πολιῆς οὐ χατέουσι κόμης,
ἀλλ' ἀρετῆς, ὅθεν εὖχος ἀνάπτεται. εἷς ἀπὸ τοίων
Πορφύριος δώρων δὶς λάχεν ἀγλαΐην,
οὐκ ἐτέων δεκάδας, νίκης δ' ἑκατοντάδας αὐχῶν
πολλάς, καὶ πάσας συγγενέας Χαρίτων.

357. ΛΕΟΝΤΙΟΥ ΣΧΟΛΑΣΤΙΚΟΥ.

Ἀγχίσην Κυθέρεια, καὶ Ἐνδυμίωνα Σελήνη
φίλατο· μυθεῦνται τοῖα παλαιγενέες.

Digitized by Google

νῦν δὲ νέος τις μῦθος ἀείσεται, ὡς τάχα Νίκη
 ὄμματα καὶ δίφρους φίλατο Πορφυρίου.

### 358. Εἰς Καλλιόπην.

Πρεσβυτέρους κοῦρος μὲν ἐών, πρέσβυς δέ τε κούρους
 νικᾷς, τεθρίππων κέντορας ἀθλοφόρων.
ἓξ δ' ἐτέων ἀνύσας δεκάδας, στήλην ἐπὶ νίκαις
 εἷλες, Καλλιόπα, νεύματι κοιρανίης,
ὄφρα μένοι καὶ ἔπειτα τεὸν κλέος· αἴθε τοι εἴη,
 ὡς κλέος ἀθάνατον, καὶ δέμας ἀθάνατον.

### 359. ἈΛΛΟ.

Σῆς τόδε διφρελάτειρα τὸ χάλκεον ἄνθετο Νίκα
 δείκηλον μορφᾶς, Καλλιόπα, ζαθέας,
πρέσβυς ὅτι σφριγόωντας ἐν ἱπποδάμῳ πλέον ἀλκᾷ
 νικήσας, γεραροὺς δ' ὢν νέος ἐν σοφίῃ.
ἔνθεν ἐλευθερόπαις Βενέτων σέο πήξατο δῆμος
 δοιά, τὰ μὲν τέχνας ἆθλα, τὰ δέ, σθένεος.

### 360. ἈΛΛΟ.

Σὸν γῆρας νεότητα τεὴν ὑπερέδραμε νίκαις,
 καὶ πάντων κρατέεις πάντοτε, Καλλιόπα.
ἔνθεν ἄναξ καὶ δῆμος ἐλεύθερος αὖθις ἐγείρει
 τοῦτο γέρας, σοφίης μνῆμα καὶ ἠνορέης.

Digitized by Google

361. *ΑΛΛΟ.*

Οὗτος, ἐγερσιθέατρε, τεὸς τύπος, ὅν τοι ἐγείρει
ἑσμὸς ἀριζήλων, Καλλιόπα, στεφάνων.
οὔτε γὰρ ἡνίοχός σε παρήπαφεν, οὔτε χαλινοῖς
δύςστομος ἱππείη σοῖς ἀπέθησε γένυς.
μοῦνος δὴ νίκης γέρας ἄρνυσαι. ἦ παρὰ πᾶσι
δόξαν ἔχεις ἀέθλων ἆθλα λιπεῖν ἑτέροις.

362. *ΑΛΛΟ.*

Καλλιόπα κλυτόμοχθε, τί σοι πλέον, ὅττι γεραίρει
εἰκόνι χαλκοτύπῳ σοὺς βασιλεὺς καμάτους,
δῆμος ὁ μυριόφωνος, ὅλη πτόλις, εὖτε καὶ αὐτὴ
δυςμενέων παλάμη σοῖς ἐπένευσε πόνοις;

363. *Εἰς Φαυστῖνον.*

Μητέρες εὐάθλων γεράων φρένες, οὐ κράτος ἥβης,
οὐ τάχος ἱπποσύνης, οὐ χρόνος εὐτυχίης.
ἱλήκοι, Φαυστῖνε, τεὸς νόος, ᾧ τάδε πάντα
ἕσπεται, ᾧ Νίκη σύντροφος ἀθάνατος.

364. *ΑΛΛΟ.*

Πρίν σε νέον, Φαυστῖνε, νόος πεφόβητο γερόντων·
νῦν δέ σε πρεσβυγενῆ κάρτος ἔφριξε νέων.

---

Nr. 361. V. 4. δίστομος, Vulgo. Nr. 363. V. 2. Fort. οὐ ῥόος εὐτυχίης.

δεύτερα δ' εὕρετο πάντα τεὸς νόος, ὅς σε γεραίρει
πρέσβυν ἐν ἠϊθέοις, ἐν δὲ γέρουσι νέον.

365. ΑΛΛΟ.

Ἐξότε Κωνσταντῖνος ἔδυ δόμον Ἄϊδος εἴσω,
πλῆτο κατηφείης ἱπποσύνης στάδιον.
τερπωλὴ δ' ἀπέλειπε θεήμονας· οὐδ' ἐν ἀγυιαῖς
κείνας τὰς φιλίας ἐστὶν ἰδεῖν ἔριδας.

366. ΑΛΛΟ.

Εἰκόνα, Κωνσταντῖνε, τεὴν ἀνέθεντο πολῖται,
μυρόμενοι ψυχῆς τέρψιν ἀποιχομένης,
σοὶ κλέος ὁππότε δῆμος ἐπεσφρήγιζε θανόντι,
μνήσατο σῶν καμάτων καὶ μετὰ πότμον ἄναξ.
οὕνεκεν ἱπποσύνης φιλοκέρτομος ὤλετο τέχνη,
ἐν σοὶ παυσαμένη πᾶσα καὶ ἀρξαμένη.

367. ΑΛΛΟ.

Εἰσέτι μὲν ζώοντι πόλις ποτὲ Κωνσταντίνῳ
εἰκόνα χαλκείην βαιὸν ἔκρινε γέρας.
ᾔδεε γὰρ πᾶς δῆμος, ὅσους ἐπὶ κύδεϊ νίκης
αἰὲν ἀεθλεύων ἀμφέθετο στεφάνους.
ὡς δ' ἔθανεν, ποθέουσα, φίλον τύπον ἄνθετο τοῦδε,
ὄφρα καὶ ἐσσομένοις μνῆστιν ἔχοι καμάτων.

---

Nr. 366. V. 3. ἐπεσφρήγισσε. Br.

368. ΑΛΛΟ.

Οἱ Βένετοι Πρασίνοισιν ἐναντίοι αἰὲν ἐόντες
εἰς ἓν ὁμοφροσύνης ἐξεβόησαν ὅρον,
ὥςτε σε, Κωνσταντῖνε, λαβεῖν ἐπιτύμβιον εὖχος
πᾶσιν ἀειδόμενον, πᾶσιν ἀρεσκόμενον.

369. ΑΛΛΟ.

Ἀντολίης, δύσιός τε, μεσημβρίης τε, καὶ ἄρκτου
σὸς δρόμος ὑψιφαὴς ἀμφιβέβηκεν ὅρους,
ἄφθιτε Κωνσταντῖνε. θανεῖν δέ σε μή τις ἐνίσπῃ·
τῶν γὰρ ἀνικήτων ἅπτεται οὐδ' Ἀΐδης.

370. ΑΛΛΟ.

Ἐγγύθι τῆς σφετέρης γενεῆς λάχεν εἰκόνα τήνδε.
ἔπρεπε γὰρ τρισσοῖς εἰν ἑνὶ χῶρον ἔχειν,
οἳ καὶ ἐνὶ σταδίοις ἀρετῆς κλέος εἴκελον εὗρον,
νηρίθμων στεφάνων ἑσμὸν ἑλόντες ἴσον.

371. ΑΛΛΟ.

Τὸν Φαυστινιάδην πόλις ἄνθετο Κωνσταντῖνον,
γείτονα μὲν γενεῆς, κρέσσονα δ' ἡνιόχων.
δὴν γὰρ ἀεθλεύσας οὐκ ἤμβροτεν, ἀλλ' ἐπὶ νίκῃ
παύσατο, σὺν νίκῃ καὶ πάρος ἀρξάμενος.

---

Nr. 370. V. 2. Vulgo χώρῳ ἔχειν.]

Digitized by Google

ὃν καὶ κοῦρον ἐόντα παλαίτεροι ἡνιοχῆες
 στεψάμενοι σταδίοις, εἶσαν ἀγωνοθέτην.

372. ΑΛΛΟ.

Σοὶ τόδε, Κωνσταντῖνε, τεὴ τροφὸς ὤπασε Νίκη,
 παιδόθεν ἑσπομένη πᾶσαν ἐφ᾽ ἡλικίην.
πέντε γὰρ ἐν σταδίοις δεκάδας τελέσας ἐνιαυτῶν,
 οὐδ᾽ ἴσον, οὐδ᾽ ὀλίγον εὕρεο λειπόμενον.
ἀλλ᾽ ἔτι κουρίζων τε καὶ ἄχνοος ἄνδρας ἐνίκας·
 ἥλικας, ἡβήσας· γηραλέος δέ, νέους.

373. ΑΛΛΟ.

Ἤθελε Κωνσταντῖνον ἀεὶ πτόλις ἡνιοχεύειν,
 ἤθελεν, ἀλλὰ πόθῳ οὐκ ἐπένευσε Φύσις.
ἔνθεν ἑῶν τόδ᾽ ἄγαλμα παραίφασιν εὗρεν ἐρώτων,
 ὄφρα ἑ μὴ λήθη καὶ χρόνος ἀμφιβάλη,
ἀλλὰ μένοι ποθέουσιν ἔρως, ζῆλος δ᾽ ἐλατῆρσι,
 κόσμος δὲ σταδίοις, ἐσσομένοις δὲ φάτις.
καί τις ἰδὼν μετόπισθε χερείονας ἡνιοχῆας
 ὀλβίσσει προτέρην, ἥ μιν ἴδεν, γενεήν.

374. ΑΛΛΟ.

Πέντε καὶ εἴκοσι μοῦνος ἀέθλια Κωνσταντῖνος
εἰς μίαν ἠριγένειαν ἑλών, ἤμειψε μὲν ἵππους

---

Nr. 373. V. 4. ἀμφιβάλοι. Br. V. 8. ὀλβίσσῃ. Vulgo. Nr. 374. V. 1. ἄεθλα. Vulgo.

ἀντιπάλοις· κείνους δὲ λαβὼν, οὓς πρόσθεν ἐνίκα,
τοῖς αὐτοῖς πάλιν εἷλε μίαν τε καὶ εἴκοσι νίκας.
πολλάκι δ' ἀμφοτέρων μερέων ἔρις ἔμπεσε δήμῳ,
τίς μιν ἔχοι· κείνῳ δὲ δόσαν κρίσιν ἐκ δύο πέπλων.

375. ΑΛΛΟ.

Ἔγρεο Κωνσταντῖνε. τί χάλκεον ὕπνον ἰαύεις;
σεῖο δίφρους ποθέει δῆμος ἐνὶ σταδίοις,
σῆς τε διδασκαλίης ἐπιδευέες ἡνιοχῆες
εἵαται ὀρφανικοῖς παισὶν ὁμοιότατοι.

376. Εἰς Οὐράνιον.

Ἀμφοτέροις εἷς μοῦνος ἀριστεύσας παρὰ δήμοις
κῦδος ἀπ' ἀμφοτέρων ἔλλαχεν Οὐράνιος,
εἰςέτι διφρεύων. τὸ δέ οἱ γέρας ἤλυθε πρῶτον
ἐκ Πρασίνων, οἷς δὴ γείτονα χῶρον ἔχει.
αὐτοὶ καὶ σταδίοιο πεπαυμένον ἤγαγον αὖθις
ἐς δίφρους, νίκης μνωόμενοι προτέρης.

377. ΑΛΛΟ.

Παυσάμενον σταδίων βασιλεὺς ἐπ' ἀγακλεῖ νίκῃ
αὖθις ὑπὲρ δίφρων βῆσεν ἀεθλοφόρων
Οὐράνιον, δήμοισι φέρων χάριν· οὐ ποθέει γὰρ
ἡ πόλις Οὐρανίου νόσφιν ἀεθλοσύνας.
τοὔνεκα διφρεύοντα τὸ δεύτερον, ὑστατίης τε
νίκης καὶ προτέρης, στῆσεν ἀγασσαμένη.

Digitized by Google

378. *ΑΛΛΟ.*

Οὐράνιος Νίκαιαν ἔχει πέλας, ὁπλοτέρην τε
Ῥώμην, τῆς μὲν ἑὼν, τῇ δ' ἔνι κῦδος ἑλών.
νικᾷ δ' ἀμφοτέρωθεν, ἐπεὶ περιδέξιος ἦεν
τῇ καὶ τῇ προθέειν, ἠὲ παρεξελάαν.
τοὔνεκα καὶ χρυσέῳ μιν ἀνεγράψαντο μετάλλῳ,
κυδίστῳ κτεάνων κύδιμον ἡνίοχον.

379. ΘΩΜΑ ΠΑΤΡΙΚΙΟΥ.

εἰς Ἀναστάσιον.

Τὸν θρασὺν ἡνιοχῆα λελασμένον ἅρματος ἄθλων
ἐνθάδ' Ἀναστάσιον κείμενον οὖδας ἔχει,
ὃς τόσσους ἀνεδήσατο πρὶν στεφάνους, ὅσα ἄλλοι
ἔδρακον ἡνιόχων ἤματα ἱππασίης.

380. *Εἰς Πορφύριον, μέρους Βενέτων.*

Ἐν γῇ κρατήσας παντὸς ἁρματηλάτου
καλῶς ἐπήρθη καὶ πρὸς αἰθέρα τρέχειν
Πορφύριος, τὸ θαῦμα δήμου Βενέτων.
νικῶν γὰρ οὗτος πάντα γῆς διφρηλάτην,
ἄνεισιν, ὡς ἂν καὶ σὺν ἡλίῳ δράμῃ.

---

Nr. 378. V. 5. χρυσῷ. Vulg. V. 6. κτεάνῳ. Vulg.

381. *ΑΛΛΟ.*

*Ἴουλον ἀνθῶν πρῶτον οὗτος ἡνίας*
*Πορφύριος Κάλχαντος εἷλκε Βενέτου.*
*ἐκπλήττομαι δὲ πῶς γράφει χεὶρ ἐμπνόους*
*τούτου τις ἵππους. καὶ γὰρ ἂν πλήξῃ πάλιν,*
*οἶμαι, δραμεῖται, νῖκος εὑρεῖν καὶ πάλιν.*

382. *Εἰς Φαυστῖνον, μέρους Πρασίνων.*

*Σκόπει τὸ δρᾶμα μηχανουργοῦ τοῦ δόμου.*
*εἰ μὴ γὰρ ἐστέγαστο καρτερᾷ σκέπῃ,*
*πρὸς οὐρανοὺς ἂν ὦρτο Φαυστῖνος τρέχων,*
*ὡς ζῶν σὺν ἵπποις, τὸ κλέος πρὶν Πρασίνων.*
*ἆρον στέγος γάρ, καὶ φθανεῖ πρὸς αἰθέρα.*

383. *ΑΛΛΟ.*

*Φαυστῖνος οὗτος, ὁ πρὶν ἁρματηλάτης,*
*ὃν δῆμος εὑρὼν τοῦ μέρους τῶν Πρασίνων,*
*τὴν ἧτταν ἠγνόησε παντελῶς δρόμῳ.*
*γέρων μὲν ἦν γάρ, ὡς βλέπεις· τὸ δὲ σθένος*
*ἦν τις νεάζων, οὐδ' ὅλως ἡττημένος.*

384. *Εἰς Κωνσταντῖνον ἡνίοχον λευκῶν.*

*Λευκοῦ μεθέλκων ἡνίας Κωνσταντῖνος*
*ἂν μὴ καθεῖρκτο στεῤῥότητι τοῦ δόμου,*

---

Nr. 382. V. 5. φθάνει. Vulgo.

τοὺς τρεῖς ἐνίκα, πρῶτος αἰθέρα φθάνων;
πνοῆς ἄνευθεν εἶδες αἰθεροδρόμον.
τέχνη με πείθει τοῦτον ἔμπνοον βλέπειν.

385. ΑΛΛΟ.

Κωνσταντῖνός γ' ἦν, ἀλλὰ τοῖς πάλαι χρόνοις,
λευκῆς χρόας τέθριππον ἕλκων εὐστρόφως.
ἀφ' οὗ δὲ τοῦτον ἥρπασεν Χάρων, ἔδυ
τὸ φῶς ἁμίλλης ἱππικῶν δρομημάτων,
καὶ πᾶσα τέρψις τοῦ θεάτρου, καὶ τέχνη.

386. Εἰς Ἰουλιανὸν ἡνίοχον ῥουσίων.

Χεὶρ οἶδε γεννᾶν τοὺς πάλαι τεθνηκότας.
Ἰουλιανὸς καὶ γὰρ ὡς πάλαι σθένει,
ἕλκων, μεθέλκων Ῥουσίου τὰς ἡνίας·
καὶ νῦν γραφεὶς ἕστηκεν ὑψοῦ σὺν δίφρῳ,
τὸ νεῦμα χεὶρ μένει δέ, τὴν νύσσαν δότε.

387. ΑΛΛΟ.

Ἰουλιανὸς οὗτος ἅρμα Ῥουσίου
ἔχων, ἐνίκα τοὺς ἐναντίους δρόμῳ.
ἀλλ' εἰ γραφεὺς παρεῖχε καὶ πνοῆς χάριν,
ἕτοιμός ἐστι καὶ πάλιν διφρηλάτης,
καὶ πρόσθεν ἐλθεῖν, καὶ λαβεῖν καὶ τὸ στέφος.

---

Nr. 385. V. 1. Κωνσταντῖνος ἦν. Vulgo. V. 3. ἥρπασε δράκων. Vulg. Nr. 387. V. 5. Br. corr. λαβεῖν καινὸν στ.

## EX LIBRO SEPTIMO.

### 388. ΙΟΥΛΙΑΝΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Στέφος πλέκων ποθ', εὗρον
ἐν τοῖς ῥόδοις Ἔρωτα·
καὶ τῶν πτερῶν κατασχὼν,
ἐβάπτισ' εἰς τὸν οἶνον.
λαβὼν δ' ἔπιον αὐτόν·
καὶ νῦν ἔσω μελῶν μου
πτεροῖσι γαργαλίζει.

Nr. 388. V. 5. ἔπινον. Br.

## FINIS EPIGRAMMATUM EX ANTHOLOGIA PLANUDEA.

Digitized by Google

# APPENDIX EPIGRAMMATUM

APUD

SCRIPTORES VETERES

ET IN

MARMORIBUS

SERVATORUM.

Digitized by Google

Digitized by Google

# APPENDIX EPIGRAMMATUM.

## 1. ΑΓΑΘΙΟΥ, ἢ ΠΑΛΛΑΔΑ.

Μῆνιν ἄειδε μαθών, καὶ μῆνιν ἄειδε διδάξας,
οὐλομένην γαμετὴν ἠγαγόμην ὁ τάλας·
πᾶν δ' ἦμαρ μάχεται, καὶ παννυχίη πολεμίζει,
ὡς παρὰ τῆς μητρὸς προῖκα λαβοῦσα μάχην.
ἢν δὲ θέλω σιγᾶν, καὶ μαρναμένῃ ὑποείκειν,
ὅττι περ οὐ μάχομαι, τοῦδ' ἕνεκεν μάχεται.

## 2. ΑΘΗΝΑΙΟΥ.

Ἄνθρωποι μοχθεῖτε τὰ χείρονα, καὶ διὰ κέρδος
ἄπληστον νεικῶν ἄρχετε καὶ πολέμων·
τᾶς φύσιος δ' ὁ πλοῦτος ὅρον τινὰ βαιὸν ἐπίσχει,
αἱ δὲ κεναὶ κρίσιες τὰν ἀπέραντον ὁδόν.

---

Nr. 2. V. 1. τί χείρονα. Vulgo.

τοῦτο Νεοκλῆος πινυτὸν τέκος ἢ παρὰ Μουσῶν
ἔκλυεν, ἢ Πυθοῦς ἐξ ἱερῶν τριπόδων.

3. ΑΙΣΧΥΛΟΥ.

Αἰσχύλον Εὐφορίωνος Ἀθηναῖον τόδε κεύθει
μνῆμα καταφθίμενον πυροφόροιο Γέλας·
ἀλκὴν δ' εὐδόκιμον Μαραθώνιον ἄλσος ἂν εἴποι,
καὶ βαθυχαιτήεις Μῆδος ἐπιστάμενος.

4. ΑΝΑΚΡΕΟΝΤΟΣ.

Οὐ φίλος, ὃς κρητῆρι παρὰ πλέῳ οἰνοποτάζων
νείκεα καὶ πόλεμον δακρυόεντα λέγει·
ἀλλ' ὅστις Μουσέων τε καὶ ἀγλαὰ δῶρ' Ἀφροδίτης
συμμίσγων, ἐρατῆς μνήσκεται εὐφροσύνης.

5. ΑΝΤΙΠΑΤΡΟΥ ΣΙΔΩΝΙΟΥ.

Τῆνος ὅδε Ζήνων Κιτίῳ φίλος, ὃς ποτ' Ὄλυμπον
ἔδραμεν, οὐκ Ὄσσῃ Πήλιον ἀνθέμενος,
οὐδὲ τά γ' Ἡρακλῆος ἀέθλεε· τὰν δὲ ποτ' ἄστρα
ἀτραπιτὸν μούνας εὗρε σαοφροσύνας.

6. ΑΝΥΤΗΣ.

Ὤλεο δήποτε, Μαῖρα, πολύῤῥιζον παρὰ θάμνον,
Λοκρί, φιλοφθόγγων ὠκυτάτη σκυλάκων,

---

Nr. 4. V. 1. οὐ φιλεος et φιλέω ὅς. Codd. Athen. Nr. 5. V. 3. ἀέθλια. Vulgo. V. 4. ἀτραπὸν. Vulg. Nr. 6. V. 1. καὶ π. Vulgo.

Digitized by Google

τοῖον ἐλαφρίζοντι τεῷ ἐγκάτθετο κώλῳ
ἰὸν ἀμείλικτον ποικιλόδειρος ἔχις.

## 7. ΑΡΙΣΤΟΚΛΕΟΥΣ.

Δάματερ πολύκαρπε, σὺ κὴν Σικελοῖσιν ἐναργής,
καὶ παρ' Ἐρεχθείδαις· ἐν δέ τι........ μέγα
κρίνετ' ἐν Ἑρμιονεῦσι· τὸν ἐξ ἀγέλης γὰρ ἀφειδῆ
ταῦρον, ὃν οὐκ αἶρουσ' ἀνέρες οὐδὲ δέκα,
τοῦτον γραῦς στείχουσα μόνη μόνον οὔατος ἕλκει
τόνδ' ἐπὶ βωμόν· ὁ δ', ὡς ματέρι παῖς, ἕπεται.
σὸν τόδε, Δάματερ, σὸν τὸ σθένος· ἵλαος εἴης,
καὶ πάντων θάλλοι κλᾶρος ἐν Ἑρμιόνῃ.

## 8. ΑΡΙΣΤΟΤΕΛΟΥΣ.

Τόνδε ποτ' οὐχ ὁσίως παραβὰς μακάρων θέμιν ἁγνήν,
ἔκτεινεν Περσῶν τοξοφόρων βασιλεύς,
οὐ φανερῶς λόγχῃ φονίοις ἐν ἀγῶσι κρατήσας,
ἀλλ' ἀνδρὸς πίστει χρησάμενος δολίου.

## 9. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τοὺς παρ' Ὁμήρῳ Ἥρωας ἐπιτάφια.

Ἐπὶ Πηνέλεω κειμένου ἐν Βοιωτίᾳ.

Τόνδ' ἐπὶ Κηφισῷ ποταμῷ θέσαν ὠκὺ ῥέοντι
παῖδες Βοιωτῶν σώφρονα Πηνέλεων.

---

Nr. 7. V. 2. τοῦτο εἶτε θαῦμα μέγα corr.

Ἐπὶ Ἀσκαλάφου καὶ Ἰαλμένου.

Ἀσκαλάφου Τροίῃ φθιμένου καὶ Ἰαλμένου ἥδε
ὀστέα πληξίππων γῆ Μινυῶν κατέχει.

Ἐπὶ Αἴαντος τοῦ Οἰλέως, κειμένου ἐν Μυκόνῳ τῇ νήσῳ.

Ἐνθάδε τὸν Λοκρῶν ἡγήτορα γαῖα κατέσχεν
Αἴαντ' Οἰλιάδην ἐν πελάγει φθίμενον.

Ἐπὶ Ἐλεφήνορος κειμένου ἐν Τροίῃ.

Νήσου ἀπ' Εὐβοίης Ἐλεφήνορα ἀρχὸν Ἀβάντων
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖρα κατέσχε βίου.

Ἐπὶ Μενεσθέως κειμένου ἐν Ἀθήναις.

Ταξίλοχος λαῶν, υἱὸς Πετεῶο Μενεσθεύς,
ἐνθάδ' ἐνὶ κλεινῇ πατρίδι μοῖραν ἔχει.

Ἐπὶ Τεύκρου κειμένου ἐν Σαλαμῖνι τῆς Κύπρου.

Ἰῶν ὠκυμόρων ταμίην Τελαμώνιον ἥδε
Τεῦκρον ἀποφθίμενον γῆ Σαλαμὶς κατέχει.

Ἐπὶ Διομήδους κειμένου ἐν τῇ ὁμωνύμῳ νήσῳ.

Αἰνητὸν πάντεσσιν ἐπιχθονίοις Διομήδη
ἥδ' ἱερὰ κατέχει νῆσος ὁμωνυμίη.

Ἐπὶ Σθενέλου καὶ Εὐρυάλου κειμένων ἐν Ἄργει.

Ἀργεῖος Σθένελος Καπανήϊος ὧδε τέθαπται
τύμβῳ, καὶ τούτου πλησίον Εὐρύαλος.

Digitized by Google

Ἐπὶ Ἀγαμέμνονος κειμένου ἐν Μυκήναις.

Λεύσσεις Ἀτρείδεω Ἀγαμέμνονος, ὦ ξένε, τύμβον,
ὃς θάν᾽ ὑπ᾽ Αἰγίσθου κουλομένης ἀλόχου.

Ἐπὶ τοῦ αὐτοῦ.

Μνῆμα τόδ᾽ Ἀτρείδεω Ἀγαμέμνονος, ὃν ῥα κατέκτα
δῖα Κλυταιμνήστρη Τυνδαρὶς οὐχ ὁσίως.

Ἐπὶ Μενελάου.

Ὄλβιος, ὦ Μενέλαε, σύ τ᾽ ἀθάνατος καὶ ἀγήρως
ἐν μακάρων νήσοις, γαμβρὲ Διὸς μεγάλου.

Ἐπὶ Νέστορος κειμένου ἐν Πύλῳ.

Τὸν βαθύνουν, ψυχήν τε νόημά τε θεῖον ἔχοντα,
ἄνδρ᾽ ἀγαθὸν κατέχω, Νέστορα τὸν Πύλιον.

Ἐπὶ τοῦ αὐτοῦ.

Νέστορα τὸν Πυλίων ἡγήτορα ἧδε θανόντα
γῆ κατέχει, βουλῇ φέρτατον ἡμιθέων.

Ἐπὶ Ἀντιλόχου κειμένου ἐν Τροίῃ.

Μνῆμ᾽ ἀρετῆς υἱοῦ τοῦ Νέστορος, Ἀντιλόχοιο,
ὃς θάνεν ἐν Τροίῃ ῥυσάμενος πατέρα.

Ἐπὶ Ἀγαπήνορος.

Ἀρχὸς ὅδ᾽ ἐκ Τεγέης Ἀγαπήνωρ, Ἀγκαίου υἱός,
κεῖθ᾽ ὑπ᾽ ἐμοί, Ταφίων πελτοφόρων βασιλεύς.

---

V. 26. ἡμερίων. Eustath. V. 30. Fort. Παφίων.

'Επὶ 'Αμφιμάχου καὶ Διώρου.

'Αρχός τ' 'Αμφίμαχος, Κτεάτου παῖς ἠδὲ Διώρης,
ἐνθάδ' ἐνὶ Τροίῃ μοῖραν ἔχουσι βίου.

'Επὶ Θαλπίου καὶ Πολυξένου κειμένων ἐν Ἤλιδι.

Οἵδε Πολύξεινος καὶ Θάλπιος Ἤλιδι δίῃ
δμηθέντες κρυεροῦ δῶμ' 'Αΐδαο ἔβαν.

'Επὶ κενοταφίου Μέγητος ἐν Δουλιχίῳ.

Μνῆμα Μέγητι θοῷ, μεγαθύμου Φυλέος υἱῷ,
Δουλίχιοι τεῦξαν· σῶμα δὲ πόντος ἔχει.

'Επὶ 'Οδυσσέως κειμένου ἐν Τυῤῥηνίᾳ.

'Ανέρα τὸν πολύμητιν, ἐπὶ χθονὶ τῇδε θανόντα,
κλεινότατον θνητῶν τύμβος ἐπεσκίασεν.

'Επὶ τοῦ αὐτοῦ.

Οὗτος 'Οδυσσῆος κείνου τάφος, ὃν διὰ πολλὰ
Ἕλληνες πολέμῳ Τρωϊκῷ εὐτύχεσαν.

'Επὶ Θόαντος.

Υἱὸν ὑπερθύμου 'Ανδραίμονος ἠδὲ θυγατρὸς
Γόργης τῆς Οἰνέως ἥδε κόνις κατέχει.

'Επὶ 'Ιδομενέως καὶ Μηριόνου κειμένων ἐν Κνωσσῷ.

Κνωσσίου 'Ιδομενῆος ὁρᾷς τάφον· αὐτὰρ ἐγὼ τοῦ
πλησίον ἵδρυμαι Μηριόνης ὁ Μόλου.

---

V. 34. Fort. 'Αΐδεω κατέβαν.

'Επὶ Τληπολέμου κειμένου ἐν 'Ρόδῳ.

Ἀδ' Ἡρακλείδην ῥηξήνορα θυμολέοντα
Τληπόλεμον κατέχει κυματόεσσα 'Ρόδος.

'Επὶ Δηϊπύλου.

Δηϊπύλου κόρσης εὐειδέος Ὀρμενίοιο
μνῆμα τόδ' εὐκλεινόν· γείνατο Τληπόλεμος.

'Επὶ Νιρέως κειμένου ἐν Τροίᾳ.

Ἐνθάδε τὸν κάλλιστον ἐπιχθονίων ἔχε γαῖα,
Νιρέα, τὸν Χαρόπου παῖδα καὶ Ἀγλαΐης.

'Επὶ Φειδίππου καὶ Ἀντίφου.

Φείδιππον Τροίην πέρσαντ' ἠδ' Ἄντιφον ἥρω
γαῖα πατρὶς κώμη ἠδ' Ἐφύρα κατέχει.

'Επὶ Ἀχιλλέως κειμένου ἐν Τροίᾳ.

Παῖδα θεᾶς Θέτιδος Πηληϊάδην Ἀχιλῆα
ἠδ' ἱερὰ Προποντὶς ἀμφὶς ἔχει πεδίῳ.

'Επὶ τοῦ αὐτοῦ.

Θεσσαλὸς οὗτος ἀνὴρ Ἀχιλεὺς ἐν τῷδε τέθαπται
τύμβῳ· ἐθρήνησαν δ' ἐννέα Πιερίδες.

'Επὶ Πατρόκλου κειμένου μετὰ Ἀχιλλέως.

Πατρόκλου τάφος οὗτος· ὁμοῦ δ' Ἀχιλῆϊ τέθαπται·
ὃν κτάνεν ὠκὺς Ἄρης Ἕκτορος ἐν παλάμαις.

'Επὶ Ποδάρκους κειμένου ἐν Σικυῶνι.

Γῆ μὲν Ἀχαιῒς ἔθρεψε Ποδάρκην Ἄκτορος υἱόν·
ὀστέα δ' αὖ Σικυὼν γῆ κατέχει φθιμένου.

Digitized by Google

Ἐπὶ Φιλοκτήτου.

Τόξων Ἡρακλέους ταμίην, Ποιάντιον υἱόν,
ἧδε Φιλοκτήτην γῆ Μινυὰς κατέχει.

Ἐπὶ Εὐμήλου.

Υἱὸς ὅδ᾽ Ἀδμήτοιο Φερητιάδης Εὔμηλος
νέρθ᾽ ὑπ᾽ ἐμοὶ κεῖται, μοῖραν ἔχων θανάτου.

Ἐπὶ κενοταφίου Ποδαλειρίου καὶ Μαχάονος ἐν Τρίκκῃ.

Οἵδ᾽ Ἀσκληπιάδαι Ποδαλείριος ἠδὲ Μαχάων,
πρόσθεν μὲν θνητοί, νῦν δὲ θεῶν μέτοχοι.

Ἐπὶ Εὐρυπύλου κειμένου ἐν Ὀρχομενῷ.

Πάτρῃ ἐν Ὀρχομενῷ Εὐαίμονος ἀγλαὸν υἱόν,
Εὐρύπυλον, κρύπτει δακρυόεσσα κόνις.

Ἐπὶ Πολυποίτου καὶ Λεοντέως.

Ἄρχοντες Λαπιθῶν Πολυποίτης ἠδὲ Λεοντεὺς
ἐν γαίῃ Μήδων τέρμ᾽ ἀφίκοντο βίου.

Ἐπὶ Γουνέως.

Σῆμα τὸ μὲν Γουνῆος ὁρᾷς· ψυχὴ δὲ θανόντος
ἀέρ᾽ ἐς ὑγρὸν ἔβη, σῶμα δὲ πόντος ἔχει.

Ἐπὶ κενοταφίου Προθόου.

Σῶμα μὲν ἐν πόντῳ Προθόου Τενθρηδόνος υἱοῦ
κεῖται· ἀνοίκτιστον δ᾽ οὔνομα τύμβος ἔχει.

---

V. 67. Fort. Ὀρμενίῳ.

Digitized by Google

Ἐπὶ Ταλθυβίου κειμένου ἐν Μυκήναις.

Ταλθύβιον θεράποντα, θεῶν κήρυκα καὶ ἀνδρῶν,
ὧδε Μυκηναίων δῆμος ἔθαψεν ἅπας.

Ἐπὶ Αὐτομέδοντος κειμένου ἐν Τροίῃ.

Αὐτομέδοντ᾽, Ἀχιλῆϊ ἐῢν καὶ πιστὸν ἑταῖρον,
ἥδε κατεσκίασε Τρωὰς ἄρουρα τάφῳ.

Ἐπὶ Ἕκτορος κειμένου ἐν Θήβαις.

Ἕκτορι τόνδε μέγαν Βοιώτιοι ἄνδρες ἔτευξαν
τύμβον ὑπὲρ γαίης, σῆμ᾽ ἐπιγιγνομένοις.

Ἐπὶ Πυραίχμου κειμένου ἐν Τροίᾳ.

Ἐλθὼν ἐξ Ἀμυδῶνος ἀπ᾽ Ἀξίου ὧδε Πυραίχμης
ὠκύμορος πάντων νόσφι φίλων ἔθανεν.

Εἰς ἄλλους ἥρωας ἐπιτάφια.

Ἐπὶ Λαομέδοντος.

Ἐνθάδε Περγαμίδην κεύθει χθὼν Λαομέδοντα,
ἵππων ὠκυπόδων εἵνεκ᾽ ἀποφθίμενον.

Ἐπὶ Αἰήτου κειμένου ἐν Κολχίδι.

Αἰήτην Κόλχοισι πολυχρύσοισιν ἄνακτα
ἐνθάδε πανδαμάτωρ Μοῖρα θεῶν κτέρισεν.

Ἐπὶ Ζήθου κειμένου ἐν Θήβαις.

Ἑπταπύλων Θηβῶν βασιλεὺς ὅδε κεῖται ὑπόχθων
Ζῆθος, ὃν Ἀντιόπη γείνατο παῖδ᾽ ἀγαθόν.

Ἐπὶ Ὀρφέως κειμένου ἐν Κικονίᾳ.

Θρήϊκα χρυσολύρην Οἰάγρου παῖδα θανόντα
Ὀρφέα ἐν χώρῳ τῷδε θέσαν Κίκονες.

Ἐπὶ Πυλάδου κειμένου ἐν Φωκίδι.

Υἱὸς ὅδε Στροφίου Πυλάδης ἐν Φωκίδι γαίῃ
κεῖται, ἐπεὶ παντὸς μοῖραν ἔπλησε βίου.

Ἐπὶ Ἀταλάντης ἐν Ἀρκαδίᾳ.

Κούρης Ἰασίοιο πολυκλείτης Ἀταλάντης
σῆμα, πέλας στείχων, ἀτρεκές ἐστι τόδε.

Ἐπὶ Πρωτεσιλάου ἐν Χεῤῥονήσῳ ἀναιρεθέντι.

Τόνδ' ὄχθον μνήμην ἀρετῆς χάριν ἐξετέλεσσαν
Ἑλλήνων παῖδες Πρωτεσίλᾳ φθιμένῳ.

Ἐπὶ Πανδάρου.

Τηλεβόλου ῥυτῆρα, Λυκάονος ἀγλαὸν υἱόν,
ἐκ Ζελέας, κατέχει Πάνδαρον ἥδε κόνις.

Ἐπὶ Δόλωνος.

Πατρὶς μὲν κρύπτει με Δόλων', Εὐμήδεος υἱόν·
πᾶσιν ἀπαγγέλλω τοῖς παριοῦσι μαθεῖν.

Ἐπὶ Ῥήσου.

Ὕπνῳ καὶ καμάτῳ δεδμημένον ἐνθάδε Ῥῆσον
Τρῶες δὴ θάψαν Τευκρίδος αἰγιαλῷ.

Ἐπὶ Σαρπηδόνος.

Κᾶρες καὶ Λύκιοι βασιλεῖς Σαρπηδόνα δῖον
Ξάνθου ἐπὶ προχοαῖς ἀενάου ἔθεσαν.

---

V. 100. Fort. πᾶσι δ' ἀπ.

Digitized by Google

*Ἐπὶ Γλαύκου.*

Εὐώδης Κυπάρισσος ὁμοῦ καὶ λάϊνος ὄχθος,
ἐνθάδε τὸν Λύκιον Γλαῦκον ἔχει φθίμενον.

*Ἐπὶ Μέμνονος.*

Μέμνων Τιθωνοῦ τε καὶ Ἠοῦς ἐνθάδε κεῖμαι
ἐν Συρίῃ Βήλου πὰρ ποταμοῦ προχοαῖς.

* * *

## 10. ΑΡΚΕΣΙΛΑΟΥ.

*Εἰς Ἄτταλον.*

Πέργαμος οὐχ ὅπλοις κλεινὴ μόνον, ἀλλὰ καὶ ἵπποις,
πολλάκις αὐδᾶται Πῖσαν ἀνὰ ζαθέην.
εἰ δὲ τὸν ἐκ Διόθεν θεμιτὸν θνατῷ νόον εἰπεῖν,
ἔσσεται εἰσαῦτις πολλὸν ἀοιδοτέρη.

## 11. ΤΟΥ ΑΥΤΟΥ.

Τηλοῦ μὲν Φρυγίη, τηλοῦ δ' ἱερὴ Θυάτειρα,
ὦ Μηνόδωρε, σὴ πατρίς, Καδανάδη.
ἀλλὰ γὰρ εἰς Ἀχέροντα, τὸν οὐ φατόν, ἶσα κέλευθα,
ὡς δεινὸς ἀνδρῶν, πάντοθεν μετρεύμενα.
σῆμα δέ τοι τόδ' ἔρεξεν ἀριφραδὲς Εὔδαμος, ᾧ σὺ
πολλῶν πενεστέων ἦσθα προσφιλέστερος.

---

Nr. 11. V. 5. Fort. ἔρεξ' Εὔδαμος ἀριφραδές.

## 12. ΑΡΧΕΛΑΟΥ.

Εἰς ὑμᾶς κροκόδειλον ἀποφθίμενον διαλύει,
σκορπίοι, ἡ πάντα ζωοθετοῦσα φύσις.

## 13. ΤΟΥ ΑΥΤΟΥ.

Ἐκ νέκυος ταύτην ἵππου γράψασθε γενέθλην,
σφῆκας. ἴδ᾽ ἐξ οἵων οἷα τίθηαι φύσις.

## 14. ΤΟΥ ΑΥΤΟΥ.

Πάντα δι᾽ ἀλλήλων ὁ πολὺς σφραγίζεται αἰών.
ἀνδρὸς γὰρ κοίλης ἐκ μυελοῦ ῥάχεως
δεινὸς γίνετ᾽ ὄφις, νέκυος δειλοῖο σαπέντος,
ὃς νέον ἐκ τούτου πνεῦμα λάβῃ τέραος,
τεθνεότος ζωὴν ἕλκων φύσιν· εἰ δὲ τόδ᾽ ἐστίν,
οὐ θαῦμα βλαστεῖν τὸν διφυῆ Κέκροπα.

## 15. ΑΡΧΙΜΗΛΟΥ.

Τίς τόδε σέλμα πέλωρον ἐπὶ χθονὸς εἵσατο; ποῖος
κοίρανος ἀκαμάτοις πείσμασιν ἠγάγετο;
πῶς δὲ κατὰ δρυόχων ἐπάγη σανίς; ἢ τίνι γόμφοι
τμηθέντες πελέκει τοῦτ᾽ ἔκαμον τὸ κύτος,
ἢ κορυφαῖς Αἴτνας παρισούμενον, ἤ τινι νάσων,
ἃς Αἰγαῖον ὕδωρ Κυκλάδας ἐνδέδεται,

---

Nr. 13. V. 2. σφῆκες, ἴδε ζώων. Vulgo. Nr. 14. V. 4. Fort. ὡς λαβεῖν. Nr. 15. V. 6. ἐνδέχεται. Vulgo.

τοίχοις ἀμφοτέρωθεν ἰσοπλατές; ἦ ῥα Γίγαντες
τοῦτο πρὸς οὐρανίας ἔξεσαν ἀτραπιτούς.
ἄστρων γὰρ ψαύει καρχήσια, καὶ τριελίκτους
θώρακας μεγάλων ἐντὸς ἔχει νεφέων.
πείσμασιν ἀγκύρας ἀπερείδεται, οἷσιν Ἀβύδου
Ξέρξης καὶ Σηστοῦ δισσὸν ἔδησε πόρον.
μανύει στιβαρᾶς κατ' ἐπωμίδος ἀρτιχάρακτον
γράμμα, τίς ἐκ χέρσου τάνδ' ἐκύλισε τρόπιν.
φησὶ γὰρ ὡς Ἱέρων Ἱεροκλέος Ἑλλάδι πάσῃ
καὶ νάσοις καρπῶν πίονα δωροφόρον,
Σικελίας σκαπτοῦχος ὁ Δωρικός. ἀλλὰ Πόσειδον
σῶζε κατὰ γλαυκῶν σέλμα τόδε ῥοθίων.

16. ΑΣΚΛΗΠΙΟΔΟΤΟΥ.

Ζώειν, εἰναλίη Θέτι, Μέμνονα, καὶ μέγα φωνεῖν
μάνθανε, μητρῴῃ λαμπάδι θαλπόμενον,
Αἰγύπτου Λιβυκῇσιν ὑπ' ὀφρύσιν, ὧν ἀποτάμνει
καλλίπυλον Θήβην Νεῖλος ἐλαυνόμενος·
τὸν δὲ μάχης ἀκόρητον Ἀχιλλέα, μήτ' ἐνὶ Τρώων
φθέγγεσθαι πεδίῳ, μήτ' ἐνὶ Θεσσαλίῃ.

17. ΑΣΤΥΔΑΜΑΝΤΟΣ.

Εἴθ' ἐγὼ ἐν κείνοις γενόμην, ἢ κεῖνοι ἅμ' ἡμῖν,
οἳ γλώσσης τερπνῆς πρῶτα δοκοῦσι φέρειν,

---

V. 10. Fort. μελάνων. V. 15. φασὶ. Vulgo. V. 16. καρπὸν δωροφορῶν. Vulg. Nr. 16. V. 3. ἔνθ' ἀποτ. Vulgo.

Digitized by Google

ὡς ἐπ' ἀληθείης ἐκρίθην ἀφεθεὶς παράμιλλος·
    νῦν δὲ χρόνῳ παρέχουσ', οἷς φθόνος οὐχ ἕπεται.

## 18. ΔΑΦΙΤΟΥ ΓΡΑΜΜΑΤΙΚΟΥ.

Πορφύρεοι μώλωπες, ἀποῤῥινήματα γάζης
    Λυσιμάχου, Λυδῶν ἄρχετε καὶ Φρυγίης.

## 19. ΔΙΟΦΑΝΤΟΥ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Πρόβλημα ἀριθμητικόν.

Ὀκταδράχμους καὶ πενταδράχμους χοέας τις ἔμιξε,
    τοῖς ὀβολοῖς ποιεῖν χρηστὸν ἐπιστάμενος·
καὶ τιμὴν ἀπέδωκεν ὑπὲρ πάντων τετράγωνον
    τὰς ἐπιταχθείσας δεξάμενον μονάδας,
καὶ ποιοῦντα πάλιν ἕτερόν σε φέρειν τετράγωνον
    κτησάμενον πλευρὰν σύνθεμα τῶν χοέων.
ὥςτε διάστειλον τοὺς ὀκταδράχμους, πόσοι ἦσαν,
    καὶ πάλι τοὺς ἑτέρους, παῖ, λέγε πενταδράχμους.

## 20. ΔΩΡΙΕΩΣ.

Τοῖος ἔην Μίλων, ὅτ' ἀπὸ χθονὸς ἤρατο βρῖθος,
    τετραετῆ δαμάλην, ἐν Διὸς εἰλαπίναις,

---

Nr. 17. V. 4. Fort. προέχουσ', ᾧ χρ. cum Bentl. Nr. 19. V. 2. ἐπιτεταγμένος. Cod. τοῖς προπόλοισι πιεῖν χρήστ' ἀποταξάμενος. Salm. Fort. τοῖσι πότοις ποιεῖν. V. 7. ποίη σον. Cod.

ὤμοις δὲ κτῆνος τὸ πελώριον, ὡς νέον ἄρνα,
ἤνεγκεν δι' ὅλης κοῦφα πανηγύρεως.
καὶ θάμβος μέν· ἀτὰρ τοῦδε πλέον ἤνυσε θαῦμα
πρόσθεν Πισαίου, ξεῖνε, θυηπολίου.
ὃν γὰρ ἐπόμπευσεν βοῦν ἄζυγον, εἰς κρέα τόνδε
κόψας, πάντα κατ' οὖν μοῦνος ἐδαίσατό νιν.

## 21. ΕΜΠΕΔΟΚΛΕΟΥΣ.

Ἄκρον ἰατρὸν Ἄκρων', Ἀκραγαντῖνον, πατρὸς ἄκρου,
κρύπτει κρημνὸς ἄκρος πατρίδος ἀκροτάτης.
ἢ ἄλλως·
ἀκροτάτης κορυφῆς τύμβος ἄκρος κατέχει.

## 22. ΕΥΗΝΟΥ.

Πολλάκις ἀνθρώπων ὀργὴ νόον ἐξεκάλυψε
κρυπτόμενον, μανίας πουλὺ χερειότερον.

## 23. ΤΟΥ ΑΥΤΟΥ.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως·
ὀρθῶς δ' ἀντιλέγειν, οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος εἷς ὁ παλαιός,
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστω, ἐμοὶ δὲ τάδε.

---

Nr. 23. V. 2. τοῦτ' ἐθέλει. Cod. Athen. V. 4. ἐστί. Stob.

Digitized by Google

τοὺς ξυνετοὺς δ' ἄν τις πείσειε τάχιστα λέγων εὖ,
οἵπερ καὶ ῥάστης εἰσὶ διδασκαλίης.

24. ΤΟΥ ΑΥΤΟΥ.

Πρὸς σοφίᾳ μὲν ἔχειν τόλμαν, μάλα σύμφορόν ἐστι·
χωρὶς δέ, βλαβερὴ καὶ κακότητα φέρει.

25. ΕΡΑΤΟΣΘΕΝΟΥΣ.

Εἰ κύβον ἐξ ὀλίγου διπλήσιον, ὦ 'γαθέ, τεύχειν
φράζεαι, ἢ στερεὴν πᾶσαν ἐς ἄλλο φύσιν
εὖ μεταμορφῶσαι, τόδε τοι πάρα, κἂν σύ γε μάνδρην,
ἢ σιρόν, ἢ κοίλου φρείατος εὐρὺ κύτος,
τῇδ' ἀναμετρήσαιο, μέσας ὅτε τέρμασιν ἄκροις
συνδρομάδας δισσῶν ἐντὸς ἕλῃς κανόνων.
μηδὲ σύ γ' Ἀρχύτεω δυσμήχανα ἔργα κυλίνδρων,
μηδὲ Μενεχμείους κωνοτομεῖν τριάδας
δίζηαι· μηδ' εἴ τι θεουδέος Εὐδόξοιο
καμπύλον ἐν γραμμαῖς εἶδος ἀναγράφεται.
τοῖςδε σύ γ' ἐν πινάκεσσι μεσογράφα μυρία τεύχοις
ῥεῖά κεν, ἐκ παύρου πυθμένος ἀρχόμενος.
εὐαίων Πτολεμαῖε πατήρ, ὅτι παιδὶ συνηβῶν
πάνθ' ὅσα καὶ Μούσαις καὶ βασιλεῦσι φίλα

---

Nr. 25. V. 1. διπλάσιον. Vulg. V. 2. τὴν στερ. Vulg. V. 11. τοῖςδε δὲ ἐν. Vulgo.

Digitized by Google

*αὐτὸς ἐδωρήσω· τὸ δ᾽ ἐς ὕστερον, οὐράνιε Ζεῦ,*
*καὶ σκήπτρων ἐκ σῆς ἀντιάσειε χερός.*
*καὶ τὰ μὲν ὣς τελέοιτο· λέγοι δέ τις ἄνθεμα λεύσσων·*
*τοῦ Κυρηναίου τοῦτ᾽ Ἐρατοσθενέους.*

### 26. *ΕΥΚΛΕΙΔΟΥ.*

*Ἡμίονος καὶ ὄνος φορέουσαι σῖτον ἔβαινον·*
*αὐτὰρ ὄνος στενάχιζεν ἐπ᾽ ἄχθεϊ φόρτου ἑοῖο·*
*τὴν δὲ βαρυστενάχουσαν ἰδοῦσ᾽ ἐρέεινεν ἐκείνη·*
*μῆτερ, τί κλαίουσ᾽ ὀλοφύρεαι, ἠΰτε κούρη;*
*εἰ μέτρον ἓν μοι δοίης, διπλάσιον σέθεν ἦρα·*
*εἰ δὲ ἓν ἀντιλάβοις, πάντως ἰσότητα φυλάξεις.*
*εἰπὲ τὸ μέτρον, ἄριστε γεωμετρίης ἐπιΐστορ.*

### 27. *ΕΥΡΙΠΙΔΟΥ.*

*Ὦ τὸν ἀγήραντον πόλον αἰθέρος, Ἥλιε, τέμνων,*
*ἆρ᾽ εἶδες τοιόνδ᾽ ὄμματι πρόσθε πάθος;*
*μητέρα παρθενικήν τε κόρην, δισσούς τε συναίμους,*
*ἐν ταυτῷ φέγγει μοιριδίῳ φθιμένους.*

### 28. *ΗΔΥΛΟΥ.*

*Ἐξ ἠοῦς εἰς νύκτα, καὶ ἐκ νυκτῶν Πασισωκλῆς*
*εἰς ἠοῦν πίνει τετραχόοισι κάδοις·*

---

**Nr. 26. V. 1.** ***οἶνον.*** **Vulgo. V. 5. Fort.** ***ἓν δοίης μοι.*** **Nr. 28. V. 2.** ***ἠῶ.*** **Vulg.**

εἶτ' ἐξαίφνης που τυχὸν οἴχεται. ἀλλὰ παρ' οἶνον
Σικελίδου παίζει πουλὺ μελιχρότερον.
ἐστὶ δὲ δὴ πουλὺ στιβαρώτερος. ὡς δ' ἐπιλάμπει
ἡ χάρις. ὥςτε, φίλε, καὶ γράφε καὶ μέθυε.

29. ΤΟΥ ΑΥΤΟΥ.

Ἐφθὸς ὁ καλλίχθυς· νῦν ἔμβαλε τὴν βαλανάγραν·
ἔλθῃ μὴ Πρωτεὺς Ἄγις ὁ τῶν λοπάδων·
γίνεθ' ὕδωρ, καὶ πῦρ, καὶ ὃ βούλεται· ἀλλ' ἀπόκλειε.
*　　*　　*　　*
ἥξει γὰρ τοιαῦτα μεταπλασθεὶς τυχὸν ὡς Ζεὺς,
χρυσορόης, ἐπὶ τήνδ' Ἀκρισίου λοπάδα.

30. ΤΟΥ ΑΥΤΟΥ.

Ζωροπόται, καὶ τοῦτο φιλοζεφύρου κατὰ νηὸν
τὸ ῥυτὸν αἰδοίης δεῦτ' ἴδετ' Ἀρσινόης,
ὀρχηστὴν Βῆσαν Αἰγύπτιον, ὃς λιγὺν ἦχον
σαλπίζει, κρουνοῦ πρὸς ῥύσιν οἰγομένου,
οὐ πολέμου σύνθημα, διὰ χρυσέου δὲ γεγωνεῖ
κώδωνος κώμου σύνθεμα καὶ θαλίης,
Νεῖλος ὁποῖον ἄναξ μύσταις φίλον ἱεραγωγοῖς
εὗρε μέλος θείων πάτριον ἐξ ὑδάτων.

---

V. 6. Fort. ὥςτε φίλει. Nr. 30. V. 2. εἰδείης. Cod. V. 5. καὶ πολ. Cod. V. 6. κώθωνος. Vulgo. V. 7. ὁκοῖος. Vulg. V. 8. ἀδύτων. corr. Scaliger.

Digitized by Google

ἀλλ' εἰ Κτησιβίου σοφὸν εὕρεμα τίετε τοῦτο,
δεῦτε, νέοι, νηῷ τῷδε παρ' Ἀρσινόης.

### 31. ΤΟΥ ΑΥΤΟΥ.

Ἡ διαπινομένη Καλλίστιον ἀνδράσι (θαῦμα,
κοὐ ψευδές) νῆστις τρεῖς χόας ἐξέπιεν·
ἧς τόδε σοί, Παφίη, ζωροῖς μέτροισι θυωθὲν
κεῖται πορφυρέης Λέσβιον ἐξ ὑέλου·
ἣν γε σάου πάντως, ὡς καὶ πάλι τῶν ἀπ' ἐκείνης
σοὶ τοῖχοι γλυκερῶν σῦλα φέρωσι πόθων.

### 32. ΤΟΥ ΑΥΤΟΥ.

Ὀψοφαγεῖ Κλειώ· καταμύομεν· ἢν δὲ θελήσῃς,
ἔσθε μόνη· δραχμῆς ἐστιν ὁ γόγγρος ἅπας.
θὲς μόνον ἢ ζώνην, ἢ ἐνώτιον, ἤ τι τοιοῦτον
σύσσημον. τὸ δ' ὁρᾶν * μόνον οὐ λέγομεν.
ἡμετέρη σὺ Μέδουσα· λιθούμεθα ὡς τὰ πάλαι που,
οὐ Γοργοῦς, γόγγρου δ' οἱ μέλεοι λοπάδι.

### 33. ΤΟΥ ΑΥΤΟΥ.

Πίνωμεν· καὶ γάρ τι νέον, καὶ γάρ τι παρ' οἶνον
εὕροιμεν λεπτὸν καί τι μελιχρὸν ἔπος.

---

V. 9. ἀλλὰ Κτ. Vulg. Nr. 31. V. 3. ἧστο δέ οἱ. Vulg. ζωρες μιτρῃσι θυωθέν. Cod. ζωρὸν μετροῦν θυόεντα. Porson. V. 5. πάντων ἀπ'. Cod. V. 6. σκῦλα et πότων. Vulg. Nr. 32. V. 1. Ὀψοφάγει, Κλειοῖ. Br. V. 4. Fort. τὸ δ' ὁρᾶν ὡς μόρον ὀκνέομεν. V. 5. Fort. λιθούμεθα δ' ὡς. Nr. 33. V. 2. Fort. εὕροιμ' ἄν.

ἀλλὰ κάδοις Χίου με κατάβρεχε, καὶ λέγε, παῖζε,
'Ηδύλε· μισῶ ζῆν εἰς κενόν, οὐ μεθύων.

## 34. ΤΟΥ ΑΥΤΟΥ.

Τοῦτο Θέων ὁ μόναυλος ὑπ' ἠρίον ὁ γλυκὺς οἰκεῖ
αὐλητής, μίμων κὴν θυμέλῃσι χάρις.
τυφλὸς ὑπαὶ γήρως οἴχωκε, Σκιρπάλου υἱός,
νήπιον ὅν γ' ἐκάλει Σκίρπαλος Εὐπάλαμον,
κυδαίνων αὐτοῦ τὰ γενέθλια· τοῦτο γὰρ εἶχε,
τὰν παλαμᾶν ἀρετὰν αἴσιμα σημανέων.
ηὔλει δὲ Γλαύκης μεμεθυσμένα παίγνια Μουσέων,
καὶ τὸν ἐν ἀκρήτοις Βάτταλον ἡδυπότην,
ἢ τὸν Κώταλον, ἢ τὸν Πάγκαλον· ἀλλὰ Θέωνα
τὸν καλαμαυλήτην εἴπατε, χαῖρε, Θέων.

## 35. ΗΡΩΔΙΚΟΥ.

Φεύγετ' Ἀριστάρχειοι ἐπ' εὐρέα νῶτα θαλάσσης
Ἑλλάδα, τῆς ξουθῆς δειλότεροι κεμάδος,
γωνιοβόμβυκες, μονοσύλλαβοι, οἷσι μέμηλε
τὸ σφίν, καὶ σφῶϊν, καὶ τὸ μίν, ἠδὲ τὸ νίν.

---

Nr. 34. V. 2. μίμῳ. Vulgo. V. 3. εἶχε καὶ σκίρπαλον υἱόν. V. 4. νήπιόν τ' ἐκάλει. Vulg. V. 5. ἀείδειν αὐτοῦ. Vulg. — Fort. τοῦτο γὰρ εἶλε. V. 6. πᾶν μαρπᾶν ἥδυσμα. Vulg. V. 7. γλεύκους. Br. V. 8. ἀκρης τοῖς. Cod. Ven. ἐν ἀκρήβοις. Br. Nr. 35. V. 4. καὶ τὸ σφῷν. Br.

Digitized by Google

τοῦθ' ὑμῖν εἴη, δυςπέμφελοι· Ἡροδίκῳ δὲ
Ἑλλὰς ἀεὶ μίμνοι, καὶ θεόπαις Βαβυλών.

### 36. ΘΕΑΙΤΗΤΟΥ.

Ἤνδανεν ἀνθρώποις, ὁ δ' ἐπιπλέον ἥνδανε Μούσαις
Κράντωρ, καὶ γήρως ἤλυθεν οὔτι πρόσω.
Γῆ, σὺ δὲ τεθνειῶτα τὸν ἱερὸν ἄνδρ' ὑπόδεξαι·
ἦ ῥ' ὅγε καὶ κεῖθι ζώει ἐν εὐθυμίῃ;

### 37. ΤΟΥ ΑΥΤΟΥ.

εἰς Πυθαγόραν τὸν πύκτην.

Πυθαγόρην τινά, Πυθαγόρην, ὦ ξεῖνε, κομήτην,
ᾀδόμενον πύκτην εἰ κατέχεις Σάμιον,
Πυθαγόρης ἐγώ εἰμι· τὰ δ' ἔργα μου, εἴ τιν' ἔροιο
Ἠλείων, φήσεις αὐτὸν ἄπιστα λέγειν.

### 38. ΘΕΟΚΡΙΤΟΥ ΤΟΥ ΧΙΟΥ.

Ἑρμείου εὐνούχου τε, καὶ Εὐβούλου τόδε δούλου
μνῆμα κενὸν κενόφρων θῆκεν Ἀριστοτέλης,
ὃς διὰ τὴν ἀκρατῆ γαστρὸς φύσιν εἵλετο ναίειν,
ἀντ' Ἀκαδημείας, Βορβόρου ἐν προχοαῖς.

---

Nr. 36. V. 3. ὑποδέξῃ. Vulg. ὑπεδέξω. Br. V. 4. Fort. εὐρυθμίῃ. c. Herm. — Vulgo: καὶ ζώει κεῖθι.

Digitized by Google

## 39. ΘΕΩΝΟΣ ΑΛΕΞΑΝΔΡΕΩΣ.

Γαίης ἐν νώτοισιν ὀχούμενος, ὦ Πτολεμαῖε,
καὶ βροτέης φύσιος δεσμούμενος ἔνδοθι τεθμῶν,
οὐκ ἄστρων δὴ μοῦνον ἀειδίνητον ἀνάγκην,
οὐδὲ πόλοιο φορὰν σὺ διέγνως ἀστατέουσαν·
ἀλλὰ καὶ αὐτά περ ὅττι τελεῖ σημήϊα φαίνεις.
τοὔνεκα δὴ χρειὼ καλέειν σέ τιν᾽ οὐρανιώνων,
αἰθέριόν τε νόον φορέειν, οὐ γήϊνον ἔμπης.
εἰ γὰρ καὶ μερόπεσσι χαμερπέσι συμβιότευσας,
καὶ φύσιος θνητῶν περ ἀλυκτοπέδησιν ἐδέσμου,
ἀλλὰ νόον παθέων ἐν τοῖσι πόνοις ἐκάθηρας,
ἔξω σαρκὸς ἔβης δὲ καὶ ἀχλύος ἰλυοέσσης,
καὶ τελέσεις προέειπας ἐςύστερα τέρμα λαχούσας.

## 40. ΤΟΥ ΑΥΤΟΥ, ἢ ΕΡΜΟΥ.

Ἑπτὰ πολυπλανέες κατ᾽ Ὀλύμπιον ἀστέρες οὐδὸν
εἰλεῦνται, καὶ τοῖσιν ἀεὶ κανονίζεται αἰών·
νυκτιφανὴς Μήνη, στυγνὸς Κρόνος, Ἥλιος ἡδύς,
παστοφόρος Παφίη, θρασὺς Ἄρης, εὔπτερος Ἑρμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ᾽ οὗ φύσις ἐβλάστησεν.
οἱ δ᾽ αὐτοὶ μερόπων ἔλαχον γένος· ἔστι δ᾽ ἐν ἡμῖν
Μήνη, Ζεύς, Ἄρης, Παφίη, Κρόνος, Ἥλιος, Ἑρμῆς.
τοὔνεκ᾽ ἀπ᾽ αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν

---

Nr. 40. V. 2. μετὰ τοῖσιν ἀεὶ δ᾽ ἐπινήσεται αἰών. Stob. Port. μετὰ τοῖσι δ᾽ ἀεὶ περινίσσεται αἰών.

δάκρυ, γέλωτα, χολήν, γένεσιν, λόγον, ὕπνον, ὄρεξιν.
δάκρυ μέν ἐστι Κρόνος· Ζεὺς δ' ἡ γένεσις· λόγος Ἑρμῆς·
θυμὸς Ἄρης· Μήνη δ' ἄρ' ὕπνος· Κυθέρεια δ' ὄρεξις·
Ἠέλιος δὲ γέλως· τούτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ, καὶ κόσμος ἀπείρων.

## 41. ΙΟΒΑ.

Μή με Λεοντῆος τραγικοῦ κιναρηφάγου ἦθος
λεύσσων, Ὑψιπύλην ὡς κακὸν ἦτορ ἔλα·
ἤμην γάρ ποτ' ἐγὼ Βάκχῳ φίλος, οὐδέ τιν' ὧδε
γῆρυν χρυσολόβοις οὔασιν ἠγάσατο.
νῦν δέ με χυτρόποδες κέραμοι καὶ ξηρὰ τάγηνα
χήρωσαν φωνῆς, γαστρὶ χαριζόμενοι.

## 42. ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΒΑΣΙΛΕΩΣ.

### αἴνιγμα εἰς κοντοπαίκτην.

Ἔστιν τι δένδρον τῶν ἀνακτόρων μέσον,
οὗ ῥίζα καὶ ζῇ, καὶ λαλεῖ καρποῖς ἅμα,
μιᾷ δ' ἐν ὥρᾳ καὶ φυτεύεται ξένως,
καὶ καρπὸν αὔξει, καὶ τρυγᾶται ῥιζόθεν.

---

Nr. 41. V. 1. κεναρήφαγον ἦχος. Vulg. V. 2. χεύσσων Ὑψιπύλης ἐς. Vulg. V. 3. τίνων δέ. Vulg. V. 4. χρυσοβόλοις. Vulg. V. 6. F. χαριζόμενα.

Digitized by Google

## 43. ΙΟΥΛΙΑΝΟΥ ΤΟΥ ΑΙΓΥΠΤΙΟΥ.

Ἄγριος οὗτος Ἄδωνις, ὃς εἰς κύνας ὄμματα βάλλει,
σχέτλι' Ἔρως, Παφίης ἄγχι παρισταμένης.

## 44. ΙΠΠΩΝΟΣ.

Ἵππωνος τόδε σῆμα, τὸν ἀθανάτοισι θεοῖσιν
ἶσον ἐποίησεν Μοῖρα καταφθίμενον.

## 45. ΚΑΛΛΙΜΑΧΟΥ.

Κόγχος ἐγώ, Ζεφυρῖτι, παλαίτερος· ἀλλὰ σὺ νῦν με,
Κύπρι, Σεληναίης ἄνθεμα πρῶτον ἔχεις,
ναυτίλον· ὃς πελάγεσσιν ἐπέπλεον, εἰ μὲν ἀῆται,
τείνας οἰκείων λαῖφος ἀπὸ προτόνων,
εἰ δὲ γαληναίη λιπαρὴ θεός, οὖλος ἐρέσσων
ποσσί νιν, ὡς ἔργῳ τοὔνομα συμφέρεται.
ἐκ τ' ἔπεσον παρὰ θῖνας Ἰουλίδος, ὄφρα γένωμαι
σοί τι περίσκεπτον παίγνιον, Ἀρσινόη,
μηδ' ἐμοὶ ἐν θαλάμῃσιν ἔθ', ὡς πάρος (εἰμὶ γὰρ ἄπνους)
τίκτηται νοτερῆς ὤεον Ἀλκυόνης.
Κλεινίου ἀλλὰ θυγατρὶ δίδου χάριν· οἶδε γὰρ ἐσθλὰ
ῥέζειν, καὶ Σμύρνης ἐστὶν ἀπ' Αἰολίδος.

---

Nr. 45. V. 1. Fort. πάλαι τέρυς. V. 6. ποσσὶν ἴν'. Cod. V. 7. ἐς τ' ἐπ. Vulgo.

### 46. ΤΟΥ ΑΥΤΟΥ.

Κρεωφύλου πόνος εἰμί, δόμῳ ποτὲ θεῖον ἀοιδὸν
δεξαμένου· κλαίω δ᾽ Εὔρυτον, ὅσσ᾽ ἔπαθε,
καὶ ξανθὴν Ἰόλειαν. Ὁμήρειον δὲ καλεῦμαι
γράμμα· Κρεωφύλῳ, Ζεῦ φίλε, τοῦτο μέγα.

### 47. ΚΡΑΤΗΤΟΣ ΘΗΒΑΙΟΥ.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
χόρτον ἐμῇ συνεχῶς δότε γαστέρι, ἥ τέ μοι αἰεὶ
χωρὶς δουλοσύνης λιτὸν ἔθηκε βίον.
* * * * * * *
ὠφέλιμον δὲ φίλοις, μὴ γλυκερὸν τίθετε.
χρήματα δ᾽ οὐκ ἐθέλω συνάγειν κλυτά, κανθάρου οἶτον,
μύρμηκός τ᾽ ἄφενος, χρήματα μαιόμενος·
ἀλλὰ δικαιοσύνης μετέχειν, καὶ πλοῦτον ἀγινεῖν
εὔφορον, εὔκτητον, τίμιον εἰς ἀρετήν.
τῶν δὲ τυχὼν Ἑρμῆν καὶ Μούσας ἱλάσομ᾽ ἁγνάς,
οὐ δαπάναις τρυφεραῖς, ἀλλ᾽ ἀρεταῖς ὁσίαις.

### 48. ΛΕΩΝΙΔΑ ΤΟΥ ΤΑΡΑΝΤΙΝΟΥ.

Εὔθυμος ὢν ἔρεσσε τὴν ἐπ᾽ Ἅϊδος
ἀταρπὸν ἕρπων· οὐ γάρ ἐστι δύσβατος,

Digitized by Google

οὐδὲ σκαληνός, οὐδ᾽ ἀνάπλεως πλάνης,
ἰθεῖα δ᾽ ἥ μάλιστα, καὶ κατακλινὴς
ἅπασα, κὴκ μεμυκότων ὁδεύεται.

### 49. ΛΟΥΚΙΑΝΟΥ.

*εἰς τὴν ἑαυτοῦ βίβλον.*

Λουκιανὸς τάδ᾽ ἔγραψα, παλαιά τε μωρά τε εἰδώς,
μωρὰ γὰρ ἀνθρώποις καὶ τὰ δοκοῦντα σοφά.
οὐδὲν ἐν ἀνθρώποισι διακριδόν ἐστι νόημα·
ἀλλ᾽ ὃ σὺ θαυμάζεις, τοῦθ᾽ ἑτέροισι γέλως.

### 50. ΜΑΡΚΕΛΛΟΥ.

Πότνι᾽ Ἀθηνάων ἐπιήρανε, Τριτογένεια,
ἥ τ᾽ ἐπὶ ἔργα βροτῶν ὁράᾳς, Ῥαμνουσιὰς Οὖπι,
γείτονες ἀγχίθυροι Ῥώμης ἑκατοντοπύλοιο,
πίονα δὴ καὶ τόνδε, Θεά, τιμήσατε χῶρον,
δῆμον Δηώοιο φιλόξεινον Τριόπαο,
τόφρα κε καὶ Τριόπειαι ἐν ἀθανάτοις ἀλέγησθον.
ὡς ὅτε καὶ Ῥαμνοῦντα καὶ εὐρυχόρους ἐς Ἀθήνας
ἤλθετε, δώματα πατρὸς ἐριγδούποιο λιποῦσαι,
ὣς τήνδε ῥώεσθε πολυστάφυλον κατ᾽ ἀλωήν,
λήϊά τε σταχύων, καὶ δένδρεα βοτρυόεντα,
λειμώνων τε κόμας ἁπαλοτρεφέων ἐφέπουσαι.

---

Nr. 48. V. 4. δή. Vulgo. Nr. 50. V. 2. ΛΑΙC. Marm. V. 7. Fort. ὡς δ᾽ ὅτε. c. Visc.

ὔμμι γὰρ Ἡρώδης ἱερὴν ἀνὰ γαῖαν ἔηκε,
τὴν ὅσσην περὶ τεῖχος ἐΰτροχον ἐστεφάνωται,
ἀνδράσιν ὀψιγόνοισιν ἀκινήτην καὶ ἄσυλον
ἔμμεναι. ἡ δ᾽ ἐπί οἱ ἐξ ἀθανάτοιο καρήνου
σμερδαλέον σείσασα λόφον κατένευσεν Ἀθήνη,
μή τῳ νήποινον βῶλον μίαν ἢ ἕνα λᾶαν
ὀχλίσσαι, ἐπεὶ οὐ Μοιρέων ἀτρῆες ἀνάγκαι,
ὅς κε θεῶν ἑδέεσσιν ἀλιτροσύνην ἀναθείη.
κλῦτε περικτίονες καὶ γείτονες ἀγροιῶται·
ἱερὸς οὗτος ὁ χῶρος, ἀκίνητοί τε θέαιναι,
καὶ πολυτίμητοι, καὶ ὑποσχεῖν οὖας ἑτοῖμαι·
μηδέ τις ἡμερίδων ὄρχους, ἢ ἐν ἄλσεα δένδρων,
ἢ ποίην χιλῷ εὐαλδέϊ χλωρὰ θέουσαν
δμωὴν κυανέου Ἄϊδος ῥήξειε μάκελλαν,
σῆμα νέον τεύχων, ἠὲ πρότερον κεραΐζων.
οὐ θέμις ἀμφὶ νέκυσσι βαλεῖν ἱρόχθονα βῶλον,
πλὴν ὅ κεν αἵματος ᾖσι, καὶ ἔκγονος ἐσσαμένοιο,
(κείνοις δ᾽ οὐκ ἀθέμιστον) ἐπεὶ τιμάορος ἵστωρ.
καὶ γὰρ Ἀθηναίη τε Ἐριχθόνιον βασιλῆα
νηῷ ἐγκατέθηκε, συνέστιον ἔμμεναι ἱρῶν.
εἰ δέ τῳ ἄκλυτα ταῦτα, καὶ οὐκ ἐπιπείσεταί αὐτοῖς,
ἀλλ᾽ ἀποτιμήσει, μή οἱ νήτιτα γένηται·
ἀλλά μιν ἀπρόφατος Νέμεσις, καὶ ῥόμβος Ἀλάστωρ

---

V. 18. ἀτρειες. Marm. V. 19. αναθηη. Marm. V. 23. Fort. ἀν᾽ ἄλσεα. V. 25. Fort. πήξειε. V. 30. Fort. Ἀθηναίη περ Ἐρ.

*τίσονται, στυγερὴν δὲ κυλινδήσει κακότητα.*
*οὐδὲ γὰρ ἴφθιμον Τριόπεω μένος Αἰολίδαο*
*ὤναθ', ὅτε νηὸν Δημήτερος ἐξαλάπαξεν.*
*τῷ ἤτοι ποινὴν καὶ ἐπωνυμίην ἀλέασθαι*
*χῶρον, μή τοι ἕπηται ἔπι Τριόπειος Ἐριννύς.*

### 51. ΤΟΥ ΑΥΤΟΥ.

*Δεῦρ' ἴτε Θυβριάδες νηὸν ποτὶ τόνδε γυναῖκες,*
*Ῥηγίλλης ἕδος ἀμφὶ θυοσκόα ἱρὰ φέρουσαι.*
*ἡ δὲ πολυκτεάνων μὲν ἔην ἐξ Αἰνεαδάων,*
*Ἀγχίσεω κλυτὸν αἷμα καὶ Ἰδαίης Ἀφροδίτης.*
*γήματο δ' εἰς Μαραθῶνα. θεαὶ δέ μιν Οὐρανιῶναι*
*τίουσιν, Δηώ τε νέη, Δηώ τε παλαιή,*
*τῇσί περ ἱερὸν εἶδος ἐϋζώνοιο γυναικὸς*
*ἄγκειται· αὐτὴ δὲ μεθ' ἡρῴνῃσι νένασται*
*ἐν μακάρων νήσοισιν, ἵνα Κρόνος ἐμβασιλεύει.*
*τοῦτο γὰρ ἀντ' ἀγαθοῖο νόου εἴληχεν ἄποινον.*
*ὥς οἱ Ζεὺς ᾤκτειρεν ὀδυρόμενον παρακοίτην,*
*γήρᾳ ἐν ἀζαλέῳ χήρῃ περικείμενον εὐνῇ·*
*οὕνεκά οἱ παῖδας μὲν ἀμύμονος ἐκ μεγάροιο*
*Ἅρπυιαι κλωθῶες ἀνηρείψαντο μέλαιναι*
*ἡμίσεας πλεόνων· δοιὼ δ' ἔτι παῖδε λιπέσθην*
*νηπιάχω, ἀγνῶτε κακῶν, ἔτι πάμπαν ἀπύστω,*

---

V. 37. *νειον.* Marm. V. 39. *Ἐριννς.* Mar. Nr. 51. V. 2. Forr. *θυοσκόοι.* cum Salm.

*οἵην σφιν νηλὴς κατὰ μητέρα πότμος ἔμαρψεν,*
*πρίν περ γηραιῇσι μιγήμεναι ἠλακάτῃσι.*
*τῷ δὲ Ζεὺς ἐπίηρον ὀδυρομένῳ ἀκόρητον,*
*καὶ βασιλεὺς Διῒ πατρὶ φυὴν καὶ μῆτιν ἐοικώς,*
*Ζεὺς μὲν ἐς Ὠκεανὸν θαλερὴν ἔστειλε γυναῖκα*
*αὔρῃσι Ζεφύροιο κομιζέμεν ἠλυσίῃσιν·*
*αὐτὰρ ὁ ἀστερόεντα περὶ σφυρὰ παιδὶ πέδιλα*
*δῶκεν ἔχειν, τὰ λέγουσι καὶ Ἑρμάωνα φορῆναι,*
*ἦμος ὅτ' Αἰνείαν πολέμου ἐξῆγεν Ἀχαιῶν,*
*νύκτα διὰ δνοφερήν· ὁ δέ οἱ περὶ ποσσὶ σαωτὴρ*
*παμφανόων ἐνέκειτο σεληναίης κύκλος [αἴγλης]·*
*τὸν δὲ καὶ Αἰνεάδαι ποτ' ἐνεῤῥάψαντο πεδίλῳ,*
*. . . . . . . σον . . . εὐηγενέεσσι γεραῖα.*
*οὔ μιν ὀνόσσηται καὶ Κεκροπίδην περ ἐόντα,*
*Τυρσηνῶν ἀρχαῖον ἐπισφύριον γέρας ἀνδρῶν,*
*Ἕρσης ἐκγεγαῶτα καὶ Ἑρμέω, εἰ ἐτεὸν δὴ*
*Κῆρυξ Ἡρώδεω πρόγονος Θησηϊάδαο.*
*τοὔνεκα τιμήεις καὶ ἐπώνυμος, ἡ μὲν ἄνασσαν*
*ἐς βουλὴν ἀγέρεσθαι, ἵνα πρωτόθρονες ἕδραι·*
*Ἑλλάδι δ' οὔτε γένος βασιλεύτερος, οὔτε τι φωνὴν*
*Ἡρώδεω· γλῶσσαν δέ τέ μιν καλέουσιν Ἀθηνέων.*
*ἡ δὲ καὶ αὐτή περ καλλίσφυρος Αἰνειώνη,*
*καὶ Γανυμηδείη, καὶ Δαρδάνιον γένος ἦεν*
*Τρωὸς Ἐριχθονίδαο· σὺ δ', εἰ φίλον ἱερὰ ῥέξαι,*

V. 27. Fort. *αὐγῆς.* c. Visc. V. 29. *νίασιν Αὐσονίων εὐηγ.* Visc. Fort. *ὃς δέ κεν Αὐσονίοις εὐηγενέεσσι γεραστὸς Οὔ μιν....* V. 36. et 44. *οὔτ' ἔτι.* Vulg. V. 40. *διφιλον.* Marm.

καὶ θῦσαι (θυέων ἀτὰρ οὐκ ἀέκοντος ἀνάγκη)
ἔρδ᾽· ἐπεὶ εὐσεβές ἐστι καὶ ἡρώων ἀλεγίζειν.
οὐ μὲν γὰρ θνητή, ἀτὰρ οὐδὲ θέαινα τέτυκται.
τοὔνεκεν οὔτε νεὼν ἱερὸν λάχεν, οὔτε τι τύμβον,
οὐδὲ γέρα θνητοῖς, ἀτὰρ οὐδὲ θεοῖσιν ὅμοια.
σῆμα μέν οἱ νηῷ ἴκελον δήμῳ ἐν Ἀθήνης·
ψυχὴ δὲ σκῆπτρον Ῥαδαμάνθυος ἀμφιπολεύει.
τοῦτο δὲ Φαυστίνῃ κεχαρισμένον ἤσται ἄγαλμα
δήμῳ ἐνὶ Τριόπεω, ἵνα οἱ πάρος εὐρέες ἀγροί,
καὶ χορὸς ἡμερίδων καὶ ἐλαιήεντες ἄρουραι.
οὐ μὲν ἀτιμήσειε θεὰ βασίλεια γυναικῶν
ἀμφίπολον γεράων ἔμεναι καὶ ὀπύονα νύμφην.
οὐδὲ γὰρ Ἰφιγένειαν ἐΰθρονος Ἰοχέαιρα,
οὐδ᾽ Ἕρσην γοργῶπις ἀπητίμησεν Ἀθήνη·
οὐδέ μιν ἡρώνῃσι παλαιῇσιν μεδέουσα
Καίσαρος ἰφθίμοιο παρόψεται ὄμπνια μήτηρ
ἐς χορὸν ἐρχομένην προτεράων ἡμιθεάων,
ᾗ λάχεν Ἠλυσίῃσι χοροστασίῃσιν ἀνάσσειν,
αὐτή τ᾽, Ἀλκμήνη τε, μάκαιρά τε Καδμειώνη.

## 52. ΜΙΧΑΗΛ ΤΟΥ ΨΕΛΛΟΥ.

εἰς τὸν χαλκοῦν ἵππον, τὸν ἐν τῷ Ἱπποδρόμῳ, ἀπηωρημένον τὸν πόδα ἔχοντα.

Ἔμπνους ὁ χαλκοῦς ἵππος οὗτος, ὃν βλέπεις,
ἔμπνους ἀληθῶς, καὶ φριμάξεται τάχα.

---

V. 42. ει δε τοι ευσεβεεσσι. Marm.

τὸν πρόσθιον δὲ τοῦτον ἐξαίρων πόδα,
βαλεῖ σε καὶ λάξ, εἰ παρέλθῃς πλησίον.
δραμεῖν καθορμᾷ, στῆθι, μὴ προσεγγίσῃς·
μᾶλλον δὲ φεῦγε, μὴ λάβῃς τὸ τοῦ λόγου.

53. ΜΝΑΣΑΛΚΟΥ.

Ἁδ' ἐγὼ ἁ τλάμων Ἀρετὰ παρὰ τῆδε κάθημαι
Ἡδονῇ, αἰσχίστως κειραμένα πλοκάμους,
θυμὸν ἄχει μεγάλῳ βεβολημένα, εἴπερ ἅπασιν
ἁ κακόφρων Τέρψις κρεῖσσον ἐμοῦ κέκριται.

54. ΝΙΚΑΙΝΕΤΟΥ.

Οὐκ ἐθέλω, Φιλόθηρε, κατὰ πτόλιν, ἀλλὰ παρ' Ἥρῃ
δαίνυσθαι, Ζεφύρου πνεύμασι τερπόμενος.
ἀρκεῖ μοι κοίτη μὲν ὑπὸ πλευροῖσι χαμεύνα·
ἐγγὺς γὰρ προμάλου δέμνιον ἐνδαπίης,
καὶ λύγος, ἀρχαῖον Καρῶν στέφος. ἀλλὰ φερέσθω
οἶνος, καὶ Μουσέων ἡ χαρίεσσα λύρη,
θυμῆρες πίνοντες ὅπως Διὸς εὐκλέα νύμφην
μέλπωμεν, νήσου δεσπότιν ἡμετέρης.

55. ΝΙΚΟΜΗΔΟΥΣ.

Τὰν παιδὸς καλλίσταν εἰκὼ τάνδε θεοῖο,
Παιᾶνος κούρου ματρὸς ἀπ' ἀρτιτόκου,

---

Nr. 54. V. 1. Ἥρης. Schweig. ἀλλ' ἐπ' ἀρούρῃ. Vulgo.

δαιδάλλων μερόπεσσιν ἐμήσαο, σεῖο, Βοηθέ,
    εὐπαλάμου σοφίης μνᾶμα καὶ ἐσσομένοις.
θῆκε δ' ὁμοῦ νούσων τε κακῶν ζωάγρια Νικο-
    μήδης, καὶ χειρῶν δεῖγμα παλαιγενέων.

56. ΤΟΥ ΑΥΤΟΥ.

Οἷον ἐμαιώσαντο νέον τόκον Εἰλήθυιαι
    ἐκ Φλεγύου κούρης Φοίβῳ ἀκερσεκόμῃ,
τοῖόν τοι Παιὰν Ἀσκληπιὲ σεῖο Βοηθὸς
    χειρὸς ἄγαλμ' ἀγαθῆς τεῦξεν ἑαῖς πραπίσιν.
νηῷ δ' ἐν τῷδε ζωάγρια θῆκεν ὁρᾶσθαι,
    πολλάκι σαῖς βουλαῖς νοῦσον ἀλευάμενος,
σὺς θεράπων, εὐχῆς ὀλίγην δόσιν, οἷα θεοῖσιν
    ἄνδρες ἐφημέριοι τῶνδε φέρουσι χάριν.

57. ΑΛΛΟ.

εἰς Νικομήδην ἐπιτάφιον.

Στήλην ἔθηκαν Νικομήδει συγγενεῖς,
ὃς ἦν ἄριστος ἰητρός, ἐν ζωοῖς ὅτ' ἦν.
πολλοὺς δὲ σώσας φαρμάκοις ἀνωδύνοις,
ἀνώδυνον τὸ σῶμα νῦν ἔχει θανών.

58. ΠΑΝΤΕΛΕΟΥ.

εἰς Καλλίμαχον καὶ Κυναίγειρον.

Ὦ κενεοῦ καμάτοιο, καὶ ἀπρήκτου πολέμοιο.
ἡμετέρῳ βασιλῆϊ τί λέξομεν ἀντιάσαντες;

Digitized by Google

ὦ βασιλεῦ, τί μ' ἔπεμπες ἐπ' ἀθανάτους πολεμιστάς;
βάλλομεν, οὐ πίπτουσι· τιτρώσκομεν, οὐ φοβέονται.
μοῦνος ἀνὴρ σύλησεν ὅλον στρατόν· ἐν δ' ἄρα μέσσῳ
αἱματόεις ἕστηκεν ἀτειρέος Ἄρεος εἰκών.
δένδρον δ' ὡς ἕστηκε σιδηρείαις ὑπὸ ῥίζαις,
κοὐκ ἐθέλει πεσέειν. τάχα δ' ἔρχεται ἔνδοθι νηῶν·
λῦε κυβερνῆτα, νέκυος προφύγωμεν ἀπειλάς.

### 59. ΠΑΡΡΑΣΙΟΥ.

Ἀβροδίαιτος ἀνὴρ, ἀρετὴν δὲ σέβων τόδ' ἔγραψεν
Παῤῥάσιος, κλεινῆς πατρίδος ἐξ Ἐφέσου·
οὐδὲ πατρὸς λαθόμην Εὐήνορος, ὅς νιν ἔφυσε
γνήσιον, Ἑλλήνων πρῶτα φέροντα τέχνης.

### 60. ΤΟΥ ΑΥΤΟΥ.

εἰς τὸν ἐν Λίνδῳ Ἡρακλέα.

Οἷος δ' ἐννύχιον φαντάζετο πολλάκι φοιτῶν
Παῤῥασίῳ δι' ὕπνου, τοῖος ὅδ' ἐστὶν ὁρᾷν.

### 61. ΤΟΥ ΑΥΤΟΥ.

Εἰ καὶ ἄπιστα κλύουσι λέγω τάδε· φημὶ γὰρ ἤδη
τέχνης εὑρῆσθαι τέρματα τῆσδε σαφῆ

---

Nr. 58. V. 7. F. ἐπὶ ῥίζαις. c. Schaefero. Nr. 59. V. 1. ἀρετήν τε. Vulgo. τάδ' ἔγρ. alibi. V. 3. ὃς ἀνέφυσε. Cod. ὅς γ' ἄν. Vulg. Nr. 61. V. 1. καὶ ἄπιστα et κἄπιστα sine εἰ. Vulgo.

Digitized by Google

χειρὸς ὑφ᾽ ἡμετέρης· ἀνυπέρβλητος δὲ πέπηγεν
    ῥῦρος. ἀμώμητον δ᾽ οὐδὲν ἔγεντο βροτοῖς.

62. ΠΙΝΔΑΡΟΥ.

Χαῖρε δὶς ἡβήσας, καὶ δὶς τάφου ἀντιβολήσας,
    Ἡσίοδ᾽, ἀνθρώποις μέτρον ἔχων σοφίης.

63. ΠΛΑΤΩΝΟΣ.

Αἱ Χάριτες τέμενός τι λαβεῖν, ὅπερ οὐχὶ πεσεῖται,
    ζητοῦσαι, ψυχὴν εὗρον Ἀριστοφάνους.

64. ΠΟΣΕΙΔΙΠΠΟΥ.

Δωρίχα, ὀστέα μὲν σὰ πάλαι * κοιμήσατο δεσμῶν
    χαίτης, ἥ τε μύρων ἔμπνοος ἀμπεχόνη,
ᾗ ποτε τὸν χαρίεντα περιστέλλουσα Χάραξον
    σύγχρους ὀρθρινῶν ἥψαο κισσυβίων.
Σαπφῷ, σαὶ δὲ μένουσι φίλης ἔτι καὶ μενέουσιν
    ᾠδῆς αἱ λευκαὶ φθεγγόμεναι σελίδες
οὔνομα σὸν μακαριστόν, ὃ Ναύκρατις ὧδε φυλάξει,
    ἔστ᾽ ἂν ἴκῃ Νείλου ναῦς ἔφαλος τενάγη.

---

Nr. 64. V. 1. σ᾽ ἁπαλά. Vulg. Fort. πάλαι κόνις, ἅμμα τε δεσμῶν. sive οἵ τ᾽ ἀπόδεσμοι χαίτης. V. 5. Σαπφῷ αἱ δέ. Vulgo. V. 8. εἴη et γεγάνῃ. Vulgo.

### 65. ΤΟΥ ΑΥΤΟΥ.

Καὶ περὶ συνθεσίης ἔφαγόν ποτε Μηόνιον βοῦν·
πάτρη γὰρ βρώμην οὐκ ἂν ἐπέσχε Θάσος
Θευγένει. ἅσσα φαγὼν ἔτ' ἐπήτεον· οὕνεκεν οὕτω
χάλκεος ἑστήκω χεῖρα προϊσχόμενος.

### 66. ΤΟΥ ΑΥΤΟΥ.

Οὐ ποταμὸς κελαδῶν ἐπὶ χείλεσιν, ἀλλὰ δράκοντος
εἶχέ ποτ' εὐπώγων τόνδε λίθον κεφαλή,
λευκὰ φαληριόωντα. τὸ δὲ γλυφὲν ἅρμα κατ' αὐτοῦ
τοῦθ' ὑπὸ λυγκείου. βλέμματος ἐγλύφετο,
ψευδεῖ χειρὸς ὅμοιον· ἀποπλασθὲν γὰρ ὁρᾶται
γλύμμα, κατὰ πλατέος δ' οὐκ ἂν ἴδοις προβόλου.
ἦ καὶ θαῦμα πέλει μόχθου μέγα, πῶς ὁ λιθουργὸς
τὰς ἀτενιζούσας οὐκ ἐμόγησε κόρας.

### 67. ΤΟΥ ΑΥΤΟΥ.

Τοῦτο καὶ ἐν ποταμῷ καὶ ἐπὶ χθονὶ τῆς φιλαδέλφου
Κύπριδος ἱλάσκεσθ' ἱερὸν Ἀρσινόης,
ἣν ἀνακοιρανέουσαν ἐπὶ Ζεφυρηΐδος ἀκτῆς
πρῶτος ὁ ναύαρχος θήκατο Καλλικράτης.
ἡ δέ τοι εὔπλοΐην δώσει, καὶ χείματι μέσσῳ
τὸ πλατὺ λισσομένοις ἐκλιπανεῖ πέλαγος.

---

Nr. 67. V. 1. Fort. πόντῳ. V. 3. Ζεφυρίτιδος ἄκρης. corr. Valck.

### 68. ΤΟΥ ΑΥΤΟΥ.

Φυρόμαχον, τὸν πάντα φαγεῖν βορόν, οἷα κορώνην
    παννυχικήν, αὕτη ῥωγὰς ἔχει κάπετος,
χλαίνης ἐν τρύχει Πελληνίδος. ἀλλὰ σὺ τούτου
    καὶ χρῖε στήλην, Ἀττικέ, καὶ στεφάνου,
εἴ ποτέ σοι προκύων συνεκώμασεν. ἦλθε δ' ἀμαυρὰ
    βλέψας ἐκ πελίων νωδὸς ἐπισκυνίων,
* ὁ τριχὶ διφθερίας, μονολήκυθος. ἐκ γὰρ ἀγώνων
    τῶν τότε Ληναϊκῶν ἦλθ' ὑπὸ * Καλλιόπην.

### 69. ΠΡΟΚΛΟΥ.

Ῥηγίνου μελάθροισι τὸν εὐαστὴν Διόνυσον
    δέρκεο, δεξιτερῇ χειρὶ κυπελλοφόρον,
ξανθὴν μὲν σφίγγοντα καρήατος αἴθοπι κισσῷ
    χαίτην, καὶ λαιῇ θυρσοφόρον παλάμῃ,
βαπτὰ δὲ πέπλα φέροντα κατὰ χροὸς αἵματι κόχλου,
    καὶ στικτὴν νεβρίδων ἀμφικρεμῆ χλαμύδα.
αὐτὸν Βάκχον ἄνακτα δόμων ἔντοσθε δέδορκας,
    εὐξείνων εὐχαῖς ἵλαον ἑσταότα.

### 70. ΠΤΟΛΕΜΑΙΟΥ.

Πάνθ' Ἡγησιάναξ τε καὶ Ἕρμιππος τὰ κατ' αἴθρην
    τείρεα, καὶ πολλοὶ ταῦτα τὰ φαινόμενα

---

Nr. 68. V. 2. Fort. πανδοχικὴν ἄτην, ῥ. V. 4. χρεία ἐστή-λην. Cod. V. 7. Fort. ἄθριξ. c. Salm. V. 8. ληναικὴν. Vulg. Fort. κοιλάδ' ὀπήν.

Digitized by Google

βίβλοις ἐγκατέθεντο· ἀποσκόπιοι δ' ἀφάμαρτον.
ἀλλὰ τὸ λεπτολόγου σκῆπτρον Ἄρητος ἔχει.

71. ΠΥΘΕΑ.

Πυθέα μνῆμα τόδ' ἔστ' ἀγαθοῦ καὶ σώφρονος ἀνδρός,
ὃς κυλίκων ἔσχεν πλῆθος ἀπειρέσιον
ἀργυρέων, χρυσοῦ τε, καὶ ἠλέκτροιο φαεινοῦ,
τῶν προτέρων πάντων πλείονα πασάμενος.

72. ΡΙΑΝΟΥ.

Ἥμισυ μὲν πίσσης κωνίτιδος, ἥμισυ δ' οἴνου,
Ἀρχῖν', ἀτρεκέως ἥδε λάγυνος ἔχει·
λεπτοτέρης δ' οὐκ οἶδ' ἐρίφου κρέας· πλὴν ὅγε πέμψας
αἰνεῖσθαι πάντων ἄξιος Ἱπποκράτης.

73. ΣΙΜΩΝΙΔΟΥ.

Αἵδ' ὑπὲρ Ἑλλάνων τε καὶ εὐθυμάχων πολιητᾶν
ἔσταθεν εὐξάμεναι Κύπριδι δαιμόνιαι·
οὐ γὰρ τοξοφόροισιν ἐμήσατο δῖ' Ἀφροδίτα
Μήδοις Ἑλλάνων ἀκρόπολιν προδόμεν.

---

Nr. 70. V. 3. σκοποῦ δ' ἄπο πάντες ἅμαρτον. alii. Nr. 72. V. 1. κωπίτιδος. Vulg. Nr. 73. V. 2. δαιμονίᾳ. alii.

74. ΤΟΥ ΑΥΤΟΥ.

Ἀνδρὸς ἀριστεύσαντος ἐν Ἑλλάδι τῶν ἐφ᾽ ἑαυτοῦ
Ἱππίου Ἀρχεδίκην ἥδε κέκευθε κόνις,
ἣ πατρός τε, καὶ ἀνδρός, ἀδελφῶν τ᾽ οὖσα τυράννων,
παίδων τ᾽, οὐκ ἤρθη νοῦν ἐς ἀτασθαλίην.

75. ΤΟΥ ΑΥΤΟΥ.

Ἀρτέμιδος τόδ᾽ ἄγαλμα, διηκόσιαι δ᾽ ἄρ᾽ ὁ μισθὸς
δραχμαὶ ται Πάριαι, τῶν ἐπίσημα τράγος.
ἀσκητὸς δ᾽ ἐποίησεν Ἀθηναίης παλάμῃσιν
ἄξιος Ἀρκεσίλας υἱὸς Ἀριστοδίκου.

76. ΤΟΥ ΑΥΤΟΥ.

Δημόκριτος τρίτος ἦρξε μάχης, ὅτε πὰρ Σαλαμῖνα
Ἕλληνες Μήδοις σύμβαλον ἐν πελάγει.
πέντε δὲ νῆας ἕλεν δηΐων, ἕκτην δ᾽ ὑπὸ χεῖρα
ῥύσατο βαρβαρικὴν Δωρίδ᾽ ἁλισκομένην.

77. ΤΟΥ ΑΥΤΟΥ.

Δῆμος Ἀθηναίων σε, Νεοπτόλεμ᾽, εἰκόνι τῇδε
τίμησ᾽, εὐνοίης εὐσεβίης θ᾽ ἕνεκα.

---

Nr. 75. V. 2. ἐπίσημ᾽ Ἄρατος. Vulg. Nr. 76. V. 3. ἀπὸ χειρὸς ῥ. βαρβαρικῆς. alii.

78. ΤΟΥ ΑΥΤΟΥ.

Ἦ μέγ' Ἀθηναίοισι φόως γένεθ', ἡνίκ' Ἀριστο-
γείτων Ἵππαρχον κτεῖνε, καὶ Ἁρμόδιος.

79. ΤΟΥ ΑΥΤΟΥ.

Ἦρχεν Ἀδείμαντος μὲν Ἀθηναίοις, ὅτ' ἐνίκα
Ἀντιοχὶς φυλὴ δαιδαλέον τρίποδα·
Ξεινοφίλου δέ τις υἱὸς Ἀριστείδης ἐχορήγει
πεντήκοντ' ἀνδρῶν καλὰ μαθόντι χορῷ.
ἀμφὶ διδασκαλίᾳ δὲ Σιμωνίδῃ ἕσπετο κῦδος
ὀγδωκονταέτει παιδὶ Λεωπρεπέος.

80. ΤΟΥ ΑΥΤΟΥ.

Ἦ σεῦ καὶ φθιμένας λεύκ' ὀστέα τῷδ' ἐνὶ τύμβῳ
ἴσκω ἔτι τρομέειν θῆρας, ἀγρῶστι Λυκάς·
τὰν δ' ἀρετὰν οἶδεν μέγα Πήλιον, ἅ τ' ἀρίδαλος
Ὄσσα, Κιθαιρῶνός τ' οἰονόμοι σκοπιαί.

81. ΤΟΥ ΑΥΤΟΥ.

Μιξονόμου τε πατὴρ ἐρίφου, καὶ σχέτλιος ἰχθὺς
πλησίον ἠρείσαντο καρήατα, παῖδα δὲ νυκτὸς
δεξάμενοι βλεφάροισι, Διωνύσοιο ἄνακτος
βουφόνον οὐκ ἐθέλουσι τιθηνεῖσθαι θεράποντα.

---

Nr. 80. V. 2. ἀγρῶστα. Vulgo. V. 3. Fort. σὰν δ' ἀρ.

## 82. ΤΟΥ ΑΥΤΟΥ.

Μνήμην δ᾽ οὔ τινά φημι Σιμωνίδῃ ἰσοφαρίζειν
ὀγδωκονταέτει, παιδὶ Λεωπρεπέος.

## 83. ΤΟΥ ΑΥΤΟΥ.

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ᾽ ἔμπεδον αἰεί.
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
„οἵη περ φύλλων γενεή, τοιήδε καὶ ἀνδρῶν."
παῦροί μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ,
ἀνδρῶν ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ᾽ ὄφρα τις ἄνθος ἔχῃ πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμόν, πόλλ᾽ ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ᾽ ἔχει γηρασσέμεν, οὔτε θανεῖσθαι,
οὐδ᾽, ὑγιὴς ὅταν ᾖ, φροντίδ᾽ ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος, οὐδέ τ᾽ ἴσασιν,
ὡς χρόνος ἔσθ᾽ ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

## 84. ΤΟΥ ΑΥΤΟΥ.

Οὐκ ἔστιν μείζων βάσανος χρόνου οὐδενὸς ἔργου,
ὃς καὶ ὑπὸ στέρνοις ἀνδρὸς ἔδειξε νόον.

---

Nr. 83. V. 11. νηπίοις ταύτῃ. Vulgo.

Digitized by Google

### 85. ΤΟΥ ΑΥΤΟΥ.

Πατρὶς μὲν Κορκύρα, Φίλων δ᾽ ὄνομ᾽· εἰμὶ δὲ Γλαύκου
υἱός, καὶ νικῶ πὺξ δύ᾽ Ὀλυμπιάδας.

### 86. ΤΟΥ ΑΥΤΟΥ.

Ἴσθμια δίς, Νέμεα δίς, Ὀλύμπια ἐστεφανώθην
οὐ πλάτεϊ νικῶν σώματος, ἀλλὰ τέχνᾳ,
Ἀριστόδαμος Θράσιδος, Ἀλεῖος, πάλᾳ.

### 87. ΤΟΥ ΑΥΤΟΥ.

Τήν ῥά ποτ᾽ Οὐλύμποιο περὶ πλευρὰς ἐκάλυψεν
ὠκὺς ἀπὸ Θρήκης ὀρνύμενος Βορέης,
ἀνδρῶν δ᾽ ἀχλαίνων ἔδακε φρένας, αὐτὰρ ἐθάφθη
ζωή, Πιερίην γῆν ἐπιεσσαμένη,
ἔν τις ἐμοὶ καὶ τῆς χεέτω μέρος. οὐ γὰρ ἔοικε
θερμὴν βαστάζειν ἀνδρὶ φίλῳ πρόποσιν.

### 88. ΤΟΥ ΑΥΤΟΥ.

Φημὶ τὸν οὐκ ἐθέλοντα φέρειν τέττιγος ἄεθλον,
τῷ Πανοπηϊάδῃ δώσειν μέγα δεῖπνον Ἐπειῷ.

---

Nr. 85. V. 2. *νίκη*. Vulgo. Nr. 86. V. 1. *Πύθια*. Br. Nr. 87. V. 2. *ὀξύς*. Br. V. 3. *ἐκάμφθη*. Vulgo.

Digitized by Google

## 89. ΤΟΥ ΑΥΤΟΥ.

Ὦ ξεῖν᾽, εὔϋδρόν ποτ᾽ ἐναίομεν ἄστυ Κορίνθου·
νῦν δὲ μετ᾽ Αἴαντος νᾶσος ἔχει Σαλαμίς.
ἐνθάδε Φοινίσσας νῆας καὶ Πέρσας ἑλόντες
καὶ Μήδους, ἱερὰν Ἑλλάδα ῥυσάμεθα.

## 90. ΣΟΦΟΚΛΕΟΥΣ.

Ἥλιος ἦν, οὐ παῖς, Εὐριπίδη, ὅς με χλιαίνων
γυμνὸν ἐποίησεν· σοὶ δὲ φιλοῦνθ᾽ ἑτέραν
Βοῤῥᾶς ὡμίλησε. σὺ δ᾽ οὐ σοφός, ὃς τὸν Ἔρωτα,
ἀλλοτρίαν σπείρων, λωποδύτην ἀπάγεις.

## 91. ΚΟΡΝΗΛΙΟΥ ΣΥΛΛΑ.

Τόνδε σοι αὐτοκράτωρ Σύλλας ἀνέθηκ᾽, Ἀφροδίτη,
ὥς σ᾽ εἶδον κατ᾽ ὄνειρον ἀνὰ στρατιὴν διέπουσαν,
τεύχεσι τοῖς Ἄρεος μαρναμένην ἔνοπλον.

## 92. ΣΥΝΕΣΙΟΥ.

Ἡ σοφίη στίβον εὗρεν ἐς οὐρανόν· οὐ μέγα θαῦμα.
καὶ νόος ἐξ αὐτῶν ἦλθεν ἐπουρανίων.
ἠνίδε καὶ γυρὰ σφαίρας ἐπετάσσατο νῶτα,
ἶσα δὲ κύκλα τομαῖς οὐχ ὁμαλαῖσι τέμε.

---

Nr. 89. V. 1. ἀνάματος. Plut. Fort. δὲ κατ᾽ Αἴαντος. V. 4. ἱδρυσάμεθα et ῥυόμεθα. alii. Nr. 92. V. 1. ἃ μέγα. Vulgo. V. 3. ἐπετάξατο. Br. V. 4. Fort. ὁμαλαῖς ἔτεμε.

σκέπτεο τείρεα πάντα πρὸς ἄντυγα, τῆς ἔπι Τιτὰν
νύκτα ταλαντεύει καὶ φάος ἐρχόμενος.
δέξο ζωοφόρου λοξώσιας, οὐδέ σε λήσει
κλεινὰ μεσημβρινῆς κέντρα συνηλύσεως.

93. ΦΑΛΑΙΚΟΥ.

Χρυσωτὸν κροκόεντα περιζώσασα χιτῶνα
τόνδε Διωνύσῳ δῶρον ἔδωκε Κλεώ,
οὕνεκα συμποσίοισι μετέπρεπεν· ἶσα δὲ πίνειν
οὔτις οἱ ἀνθρώπων ἤρισεν οὐδαμά πω.

94. ΦΙΛΙΑΔΟΥ ΜΕΓΑΡΕΩΣ.

ἐπὶ τοῖς ἀναιρεθεῖσιν ὑπὸ Περσῶν.

Ἄνδρες τοί ποτ' ἔναιον ὑπὸ κροτάφοις Ἑλικῶνος,
λήματι τῶν αὐχεῖ Θεσπιὰς εὐρύχορος.

95. ΦΙΛΙΠΠΟΥ

τοῦ Μακεδόνων βασιλέως.

Ἄφλοιος καὶ ἄφυλλος, ὁδοιπόρε, τῷδ' ἐπὶ νώτῳ
Ἀλκαίῳ σταυρὸς πήγνυται ἠλίβατος.

---

Nr. 93. V. 1. *Κροσσωτόν.* Toup. V. 4. Fort. *θνητῶν.* c. Herm. sive *οὔτις οἱ ἀνδρῶν.* — *οὐδ' ἅμα πω.* Vulgo.

## 96. ΦΙΛΙΣΚΟΥ.

Νῦν, ὦ Καλλιόπης θύγατερ, πολυήγορε Φρόντι,
δείξεις, εἴ τι φρονεῖς καί τι περισσὸν ἔχεις.
τῷ γὰρ ἐς ἄλλο σχῆμα μεθαρμοσθέντι, καὶ ἄλλοις
ἐν κόσμοισι βίου σῶμα λαβόνθ' ἕτερον,
δεῖ σ' ἀρετῆς κήρυκα τεκεῖν τινα Λυσίᾳ ὕμνον,
δύντα κατὰ φθιμένων, καὶ στέφος ἀθάνατον,
ὅς τό τ' ἐμῆς ψυχῆς δείξαι φιλέταιρον ἅπασι,
καὶ τὴν τοῦ φθιμένου πᾶσι βροτοῖς ἀρετήν.

## 97. ΧΟΙΡΙΛΟΥ.

εἰς τὸν Σαρδαναπάλου τάφον.

Εὖ εἰδὼς ὅτι θνητὸς ἔφυς, σὸν θυμὸν ἄεξε
τερπόμενος θαλίῃσι· θανόντι τοι οὔτις ὄνησις.
καὶ γὰρ ἐγὼ σποδός εἰμι, Νίνου μεγάλης βασιλεύσας.
ταῦτ' ἔχω, ὅσσ' ἔφαγον καὶ ἐφύβρισα, καὶ μετ' ἔρωτος
τέρπν' ἔπαθον· τὰ δὲ πολλὰ καὶ ὄλβια κεῖνα λέλειπται.
ἥδε σοφὴ βιότοιο παραίνεσις ἀνθρώποισιν.

---

Nr. 96. V. 1. ὦ Καλλίπης et φροντίδι δείξεις. Vulg. V. 6. δόντα καταφθίμενον καὶ σοφῷ. Vulg. V. 7. δείξει. Br.

# ΑΔΕΣΠΟΤΑ.

## 98.

Ἄγγελε Φερσεφόνης, Ἑρμῆ, τίνα τόνδε προπέμπεις
εἰς τὸν ἀμείδητον Τάρταρον Ἀΐδεω;
Μοῖρά τις αἰκέλιος τὸν Ἀρίστων' ἥρπασ' ἀπ' αὔρης
ἑπταετῆ· μέσσος δ' ἔστιν ὁ παῖς γενετῶν.
δακρυχαρὴς Πλούτων, οὐ πνεύματα πάντα βρότεια
σοὶ νέμεται; τί τρυγᾷς ὄμφακας ἡλικίης;

## 99.

Ἁγνὸν χρὴ νηοῖο θυώδεος ἐντὸς ἰόντα
ἔμμεναι· ἁγνείη δ' ἐστι, φρονεῖν ὅσια.

## 100.

Ἀγρότα, σὺν ποίμναις τὸ μεσαμβρινὸν ἤν σε βαρύνῃ
δίψος, ἀν' ἐσχατιὰς Κλείτορος ἐρχόμενον,
τῆς μὲν ἀπὸ κρήνης ἄρυσαι πόμα, καὶ παρὰ Νύμφαις
Ὑδριάσι στῆσον πᾶν τὸ σὸν αἰπόλιον.
ἀλλὰ σὺ μήτ' ἐπὶ λουτρὰ βάλῃς χροΐ, μή σε καὶ αὔρη
πημήνῃ, τερπνῆς ἐντὸς ἐόντα μέθης·
φεῦγε δ' ἐμὴν πηγὴν μισάμπελον, ἔνθα Μελάμπους
ῥυσάμενος λύσσης Προιτίδας ἀρτεμέας

Nr. 98. V. 5. ἀεικέλιος. Marm. Nr. 100. V. 6. θερμῆς. Br. V. 8. λουσάμενος. Vulg.

πάντα καθαρμὸν ἔβαψεν ἀπόκρυφον, εὖτ' ἄρ' ἀπ' Ἄργους
οὔρεα τρηχείης ἤλυθεν Ἀρκαδίης.

101.

Ἁδ' ἐγὼ ἁ Φοίβοιο σαφηγορίς εἰμι Σίβυλλα,
τῷδ' ὑπὸ λαϊνέῳ σάματι πυθομένα,
παρθένος αὐδήεσσα τὸ πρίν, νῦν δ' αἰὲν ἄναυδος,
Μοίρᾳ ὑπὸ στιβαρῇ τήνδε λαχοῦσα πέδην·
ἀλλὰ πέλας Νύμφαισι καὶ Ἑρμῇ τῷδ' ὑπόκειμαι,
μοῖραν ἔχουσ' Ἑκάτῳ τῆς τότ' ἀνακτορίης.

102.

Ἁδ' ἐγὼ ἡ τριτάλαινα, καὶ ἀμφοτέρων βασιλήων
Τιβερίου θυγάτηρ, Μαυρικίου δὲ δάμαρ,
ἡ πολύπαις βασίλεια, καὶ ἡ δείξασα λοχείῃ,
ὡς ἀγαθὸν τελέθει καὶ πολυκοιρανίῃ,
κεῖμαι σὺν τεκέεσσι καὶ ἡμετέρῳ παρακοίτῃ,
δήμου ἀτασθαλίῃ, καὶ μανίῃ στρατιῆς.
Τῆς Ἑκάβης ἔτλην πολὺ χείρονα, τῆς τ' Ἰοκάστης,
αἲ αἲ τῆς Νιόβης ἔμπνοος εἰμὶ νέκυς.
ναὶ ναὶ τὸν γενέτην, τί μάτην τὰ νεογνὰ ἔκτειναν,
ἀνθρώπων κακίης μηδὲν ἐπιστάμενα;

V. 9. ἔκοψεν et εὖτ' ἄν. Vulgo. Nr. 102. V. 3. Fort. καλῇ δείξ. V. 9. Fort. εἰ καὶ τὸν γενέτην, τί μάτην τὰ νεόγν' ἀπέκτειναν.

Digitized by Google

ἡμετέροις πετάλοισι κατάσκιος οὐκέτι Ῥώμη.
ῥίζα γὰρ ἐκλάσθη Θρηϊκίοις ἀνέμοις.

103.

Ἆδ' Ἡρακλείδην κατέχει κόνις, ὃν βαρὺς Ἅιδας
εἴρυσεν αἰθέων ἧλικος ἐξ ἀγέλας.
ἄρτι γὰρ εὐμόχθου ἐπὶ γυμνάδος ἁγνὸν ἐφήβου
σχῆμα λαχὼν ἐρατὰν ὤλεσεν ἁλικίαν,
ἄρτι δ' ἀριθμὸν ἐτῶν ἓξ καὶ δέκα τερπνὸς ἀμείβων
Σμερτομάρᾳ στυγερὸν ματρὶ λέλοιπε γόον.

104.

Ἀθάνατος μερόπων οὐδεὶς ἔφυ. τοῦδε Σεβῆρα,
Θησεύς, Αἰακίδαι μάρτυρές εἰσι λόγου.
αὐχῶ σώφρονα τύμβος ἐμαῖς λαγόνεσσι Σεβήραν
κούρην Στρυμονίου παιδὸς ἀμύμον' ἔχων,
οἵην οὐκ ἤνεικε πολὺς βίος, οὐδέ τις οὕτως
ἔσχε τάφος χρηστὴν ἄλλος ὑπ' ἠελίῳ.

105.

ἐπὶ τῷ τοῦ Ἀρίονος ἀναθήματι ἐπὶ Ταινάρῳ.

Ἀθανάτων πομπαῖσιν Ἀρίονα Κυκλέος υἱὸν
ἐκ Σικελοῦ πελάγους σῶσεν ὄχημα τόδε.

---

Nr. 104. V. 1. ἀθανατων. Marm. V. 5. ουπω. Marm.

106.

Αἴδε ποτ' Ἀσίδα γαῖαν ἐπόρθησαν πολύχρυσον,
αἴδε καὶ Ἑλλάδι τὰν δουλοσύναν ἔπορον·
νῦν δὲ Διὸς ναῷ ποτὶ κίονας ὀρφανὰ κεῖται,
τᾶς μεγαλαυχήτου σκῦλα Μακηδονίας.

107.

Εὐνοῦχος στραβὸς ὢν νυκτερίδα ἐπὶ νάρθηκος καθημένην κισσήρει βάλλει καὶ ἀστοχεῖ.

Αἶνός τις ἔστιν, ὡς ἀνήρ τε κοὐκ ἀνὴρ
ὄρνιθα κοὐκ ὄρνιθ' ἰδών τε κοὐκ ἰδὼν
ἐπὶ ξύλου τε κοὐ ξύλου καθημένην
λίθῳ τε κοὐ λίθῳ βάλεν τε κοὐ βάλε.

108.

ἐπὶ τῷ Ὀξύλου ἀνδριάντι ἐν τῇ ἀγορᾷ τῶν Ἠλείων.

Αἰτωλός ποτε τόνδε λιπὼν αὐτόχθονα δῆμον
κτήσατο Κουρῆτιν γῆν δορί, πολλὰ καμών·
τῆς δ' αὐτῆς γενεᾶς δεκατόσπορος Αἴμονος υἱὸς
Ὄξυλος ἀρχαίην ἔκτισε τήνδε πόλιν.

109.

εἰς τὴν Ἀπολλοδώρου Βιβλιοθήκην.

Αἰῶνος σπειρήματ' ἀφυσσάμενος ἀπ' ἐμεῖο
παιδείης, μύθους γνῶθι παλαιγενέας·

---

Nr. 109. V. 1. σπείρημα ἀφ. Vulgo.

Digitized by Google

μηδ' ἐς Ὁμηρείην σελίδ' ἔμβλεπε, μηδ' ἐλεγείην,
μὴ τραγικὴν μοῦσαν, μηδὲ μελογραφίην,
μὴ κυκλίων ζήτει πολύθρουν στίχον· εἰς ἐμὲ δ' ἀθρῶν
εὑρήσεις ἐν ἐμοὶ πάνθ' ὅσα κόσμος ἔχει.

110.

Ἰουνίωρος.

Ἀκταῖς τὴν ὅμορον Σινοητίσιν Ἀφρογένειαν,
ξεῖνε, πάλιν πελάγους βλέψον ἀνερχομένην·
ναοί μοι στίλβουσιν ὑπ' Ἤιονος, ἥν ποτε κόλποις
Δρούσου καὶ γαμετῆς θρέψεν ἄθυρμα δόμος.
ἐκ δὲ τρόπων Πειθώ τε καὶ Ἵμερον ἔσπασε κείνης
πᾶς τόπος, εἰς ἱλαρὴν ἄρτιος εὐφροσύνην·
Βάκχου γὰρ κλισίαις με συνέστιον ἐστεφάνωσεν,
εἰς ἐμὲ τῶν κυλίκων ὄγκον ἐφελκομένη·
πηγαὶ δ' αὖ περὶ πέζαν ἀναβλύζουσι λοετρῶν,
παῖς ἐμὸς ἃς καίει σὺν πυρὶ νηχόμενος·
μή με μάτην, ξεῖνοι, παροδεύετε γειτνιόωσαν
Πόντῳ καὶ Νύμφαις, Κύπριδα, καὶ Βρομίῳ.

111.

Ἀλκῇ, καὶ μύθοισι καὶ ἐν μούσαισι κρατίστους
ἄνδρας ἀγακλειτοὺς τέτροφε Κεκροπίη,

---

V. 5. εἴς με γάρ. alii. Fort. εἰς γὰρ ἔμ' ἀθρ.

ὧν ἕνα καὶ Δέξιππον, ὃς ἱστορίην ἐςαθρήσας
    αἰῶνος δολιχὴν, ἀτρεκέως ἔφρασε.
καὶ τὰ μὲν αὐτὸς ἐπεῖδε, τὰ δ᾽ ἐκ βίβλων ἀναλέξας
    ηὕρατο παντοίην ἱστορίης ἀτραπόν.
ἦ μέγα κλεινὸς ἀνήρ, ὃς νοῦ ἄπο μυρίον ὄμμα
    ἐκτείνας, χρονίους πρήξιας ἐξέμαθε.
φήμη μὲν περίβωτος ἀν᾽ Ἑλλάδα, τὴν ὁ νεανθὴς
    αἶνος Δεξίππῳ δῶκεν ἐφ᾽ ἱστορίῃ.
τοὔνεκα καὶ παῖδες τὸν ἀγακλειτὸν γενετῆρα
    μορφήεντα λίθου θῆκαν ἀμειβόμενοι.

112.

Ἅλμα ποδῶν, δίσκου τε βολὴ, καὶ ἄκοντος ἐρωὴ,
καὶ δρόμος, ἠδὲ πάλη· μία δ᾽ ἔπλετο πᾶσι τελευτή.

113.

Ἄλσος μὲν Μούσαις ἱερὸν λέγε τοῦτ᾽ ἀνακεῖσθαι,
    τὰς βίβλους δείξας τὰς παρὰ ταῖς πλατάνοις,
ἡμᾶς δὲ φρουρεῖν· κἂν γνήσιος ἐνθάδ᾽ ἐραστὴς
    ἔλθῃ, τῷ κισσῷ τοῦτον ἀναστέφομεν.

114.

Ἀμφιτρύων ὅτ᾽ ἔμελλ᾽ ἀγαγέσθαι δεῦρο γυναῖκα
Ἀλκμήνην, θάλαμόν γ᾽ ἐλλέξατο τοῦτον ἑαυτῷ·
Ἀγχάσιος δ᾽ ἐποίησε Τροφώνιος ἠδ᾽ Ἀγαμήδης.

---

Nr. 114. V. 2. Fort. θάλαμόν οἱ ἐλλέξατο τοῦτον, ὃν αὐτῷ Ἀ. c. Herm.

115.

Ἀμφίων μούσαις κιθάρης ἐξήνυσε Θήβης
τείχεα· νῦν δ' ἐπ' ἐμᾶς πατρίδος Ἰλλύριος
ἀδυλόγον μοῦσαν μέθεπον· τῷ καὶ δοκέουσιν
ἀκμῆτες ῥέξειν πείρατα πάντα τέχνας.

116.

Ἀμφότερ', ὠρχεύμην τε, καὶ ἐν Μώσαις ἐδίδασκον
ἄνδρας· ὁ δ' αὐλητὰς ἦν Ἄνακος Φιαλεύς.
Εἰμὶ δὲ Βακχείδας Σικυώνιος· ἦ ῥα θεοῖσιν
τᾷ Σικυῶνι καλὸν τοῦτ' ἀνέκειτο γέρας.

117.

Ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα
οὕτω συγκόλλως, ὥςτε σύναιμα ποιεῖν.

118.

Ἀνδρὶ μὲν αὐλητῆρι θεοὶ νόον οὐκ ἐνέφυσαν·
ἀλλ' ἅμα τῷ φυσᾷν χὠ νόος ἐκπέταται.

119.

Ἀνέρες οἳ πάρος Αὐσονίων πέδον ἵκετε, ξεῖνοι,
βαιὸν ἐπὶ τραφερῇ χθονὶ δερκόμενοι τόδε δῶμα

---

Nr. 115. V. 1. εξησεν. Mur. V. 3. μεθεπων. Id. V. 4. Fort. ῥ' ἕξειν. Nr. 116. V. 4. τοῖς Σικυ. corr. Porson. Nr. 118. Fort. εἰ καὶ ἔφυσαν, Ἀλλ'. Nr. 119. V. 1. Fort. οἵπερ ἐς Αὐσ.

ἀνδρὸς ὀπιζομένου Ζηνὸς νόον αἰγιόχοιο·
ὅς ποτ᾽ ἔδειξε βροτῶν πολυπλάγκτοισιν πραπίδεσσιν
ψυχὴν ἀθανάτην κἀγήραον ἐκ Διὸς αἴσης
μάρτυρα Φοῖβον ἀμυμόνεσιν σελίδεσσι χαράξας.
οὐδ᾽ ἄρα θνητὸς ἔην, ὑπ᾽ ἀνάγκης δ᾽ ὑψιμέδοντος
τύμβῳ σιγαλέῳ πεπεδημένος ἤνυσεν οἶμον,
ἐκ ῥεθέων δ᾽ ἀναστείχων σεμνὸν ἔβη Διὸς οἶκον,
Λητοΐδῃ καὶ Μούσαις βωμὸν ὑπ᾽ ἠέρι τεύξας·
ἰητὴρ δ᾽ Ἀσκληπιάδης μακάρων τρίβον ἤει,
χρημοσύνην δ᾽ ἔλιπεν πολυκήριον ἐν νεκύεσσιν.

120.

Ἄνθεα πολλὰ γένοιτο νεοδμήτῳ ἐπὶ τύμβῳ,
μὴ βάτος αὐχμηρή, μὴ κακὸν αἰγίπυρον,
ἀλλ᾽ ἴα, καὶ σάμψυχα, καὶ ὑδατίνη νάρκισσος,
Οὐίβιε, καὶ περὶ σοῦ πάντα γένοιτο ῥόδα.

121.

Ἄνθρωπος τοῦτ᾽ ἐστί· τίς εἶ βλέπε, καὶ τὸ μένον σε·
εἰκόνα τήνδ᾽ ἐσορῶν, σὸν τὸ τέλος λόγισαι·
καὶ βιότῳ χρῆσαι, μήθ᾽ ὡς ἐς αἰῶνας ἔχων ζῆν,
μήθ᾽ ὡς ὠκύμορος, μὴ γηράσαντά σε πολλοὶ
μαστίξωσι λόγοις, θλιβόμενον πενίῃ.

---

V. 6. ἀμνυμεσιν. Mur. V. 8. ειναλεω. Id. V. 9. δαμαστειχων. Id. Fort. δ᾽ ἀνστείχων. V. 11. δαμασκληπ. Id. Nr. 121. V. 4. ἵνα γηρ. Poc.

122.

Ἀπλήρωτ' Ἀΐδα, τί με νήπιον ἥρπασας ἐχθρῶς;
τί σπεύδεις; οὐ σοὶ πάντες ὀφειλόμεθα;

123.

Ἀργὼ τὸ σκάφος εἰμί· θεῷ δ' ἀνέθηκεν Ἰάσων,
Ἴσθμια καὶ Νεμέοις στεψάμενον πίτυσιν.

124.

Ἀρξάμενοι πρῶτοι τειχίζειν οἵδ' ἀνέθηκαν
Βουλῆς καὶ Δήμου δόγμασι πειθόμενοι.

125.

Ἄρτι γενειάζοντά μ' ὁ βάσκανος ἥρπασε δαίμων·
ὀκτωκαιδεκέτης ἔστιχον εἰς ἀΐδην·
μῆτερ ἐμή, θρήνων ἀποπαύεο, λῆξον ὀδυρμῶν
καὶ κοπετῶν· ἀΐδης οἶκτον ἀποστρέφεται.

126.

Ἄρτι με γευόμενον ζωᾶς βρέφος ἥρπασε δαίμων,
οὐκ οἶδ' εἴτ' ἀγαθῶν αἴτιος, εἴτε κακῶν.

---

Nr. 122. V. 1. εκθροιος. Marm. Nr. 123. V. 2. Νέμεα στεψάμενος. corr. Schaefer.

Digitized by Google

127.

Ἄρτι σε τὸν θάλλοντα νέοις ἐπὶ γυμνάδος ἔργοις,
    ἅβας καλλίστοις ἄνθεσι τερπόμενον,
ἠΐθεον, Πρώταρχε, πατὴρ ἐκαλύψατο τύμβῳ,
    ὀστέα δ᾽ ὀγκωθεὶς οὗτος ἔδεκτο τάφος·
πρόσθεν δ᾽ ὁ πρέσβυς πυκινῷ δεδμημένος ἄλγει
    Ἰσιάδ᾽ ὠκύμορον μύρετο θυγατέρα·
αἰάξας δ᾽ ἄπληστα παλίνδρομον ἔλλαβε πένθος
    Πρώταρχος· γαμετὴν γὰρ στονάχησ᾽ ἰδίην.
λάϊνα δ᾽ ὄγκωσεν τάδε σήματα· τὰς γὰρ ἀφ᾽ ὑμῶν
    ᾅδης γηροτρόφους ἐλπίδας ὠρφάνισεν.

128.

Ἀρχὸν ἐμὲ Θεόδωρον Ἀχαιῶν εἰκόνι τῇδε
    στῆσε Θεμιστοκλέης νεύματι Κεκροπίης.

*   *   *

Ἀρχὸν ὁρᾷς Θεόδωρον, ὃς εὐδικίῃς ἀγανῇσι
    σῶσε Πανελλήνων σώματα καὶ πόλιας.
τοὔνεκά μιν κατὰ ἄστυ Θεμιστοκλέης ἀνέθηκεν
    εἰκόνι λαϊνέῃ· τὼς γὰρ ἄνωγε πόλις·
εὐχόμενος μετέπειτα θεῷ γεννήτορι πάντων,
    καὶ χαλκοῦν στήσειν νεύματι Θευδοσίου.

---

Nr. 127. V. 5. πιννυτω. Marm. V. 7. αιξας. Marm. V. 8. στεναχησειλιην. Ib.

129.

Ἄσβολος οὔτε θεῶν τρομέων ὄπιν, οὔτ᾽ ἀνθρώπων,
ὀξυκόμοιο κρεμαστὸς ἀπ᾽ εὐλιπέος κατὰ πεύκης,
ἄγκειμαι μέγα δεῖπνον ἀμετροβίοις κοράκεσσιν.

130.

Ἀσίδος ἀρχιερῆος ἄγαν κλυτοῦ υἱέα Μίθρου
Λούκιον, ἀθλοθετῆρα πάτρης Σμύρνης ἐρατεινῆς,
εὐγενίᾳ σοφίᾳ τε κεκασμένον ἔξοχον ἀνδρῶν,
Αὐσόνιον δάπεδον, βωμός θ᾽ ὅδε, σῆμά τε κρύπτει.

131.

Ἀσίδος εὐρείης προφερέστατον οὖδας ἁπάντων,
χαίροις χρυσόπολι, Ἱεράπολι πότνια, Νυμφῶν
νάμασιν ἀγλαΐησι κεκασμένον * * *

132.

Ἀσπίδα, φρῦνον, ὄφιν, καὶ Λαδικέας περίφευγε
καὶ κύνα λυσσητήν, καὶ πάλι Λαδικέας.

133.

Ἀττικοῦ Ἡρώδης Μαραθώνιος, οὗ τάδε πάντα
κεῖται τῷδε τάφῳ, πάντοθεν εὐδόκιμος.

---

Nr. 129. V. 3. *ἀμετροβόαις.* alii. Nr. 130. V. 1. *ἀγακλυτοῦ.* Br. V. 3. *ευγενιαν σοφιαισι.* Marm.

## 134.

*εἰς τὰ Ναυμαχικὰ συνταχθέντα παρὰ Βασιλείου Πατρικίου καὶ Παρακοιμωμένου.*

Αὐσονίων σοφίης δεδιδαγμένος ἔξοχα ἔργα,
καὶ στίχας, ἠδὲ φάλαγγας, ἰδ' ἀῤῥαγέας παρατάξεις
ὁπλιτῶν, πρυλέων, κρατερῶν πάλιν ἱπποκορυστῶν,
ἱστορικαῖς σελίδεσσιν, ὑπ' εὐγενέων βασιλήων
δειχθεὶς Αὐσονίων στρατιῆς πανυπέρτατος ἀρχός,
Χαμβδᾶν ἡττήσας, Ἀράβων γένος ἐξενάριξας·
νηῶν δ' ὠκυπόρων δεδαήμεναι εἴ ποτε βούλει,
ἄνδιχα ναυμαχίης ὄφρ' εὐκλέα μήσεαι ἔργα,
βίβλου τῆςδε, φέριστε, νοήματα πάντα κατ' αἶσαν
ὄμμασι σοῖς σκοπίαζε, καὶ ἐν φρεσὶ βάλλεο σῇσιν.
ἔνθεν δή, Βασίλειε, πέδον Κρήτης ἀλαπάξεις,
καὶ γενεὴν ὀλέσεις Καρχηδονίων μεγαθύμων.

## 135.

*εἰς τὸ Κυψελιδῶν ἀνάθημα ἐν Ὀλυμπίᾳ.*

Αὐτὸς ἐγὼ χρυσοῦς σφυρήλατός εἰμι κολοσσός.
ἐξώλης εἴη Κυψελιδῶν γενεά.

## 136.

Βαιὸν ἐπιστήσας ἴχνος ἐνθάδε τύμβον ἄθρησον
παιδὸς ἄφνω μαζῶν μητρὸς ἀποπταμένου·

---

Nr. 134. V. 6. ἥττησας. Vulgo.

ᾤχετο δ᾽ ἐν νεκύεσσι λιπὼν πατρὶ πένθος ἄληκτον,
  δισσὴν πληρώσας πεντάδα τῶν συνόδων.
τοῖος δ᾽ ἦν γεγαώς, οἷος πότ᾽ ἔφυσεν Ἴακχος,
  ἢ θρασὺς Ἀλκείδης, ἢ καλὸς Ἐνδυμίων.

137.

Βιττὼ καὶ Φαινὶς φιλη*ημερη, αἱ συνέριθοι,
  αἱ πενιχραὶ γραῖαι, τῇδ᾽ ἐκλίθημεν ὁμοῦ·
ἀμφότεραι Κῷαι, πρῶται γένος· ὢ γλυκὺς ὄρθρος,
  πρὸς λύχνον ᾧ μύθους ᾔδομεν ἡμιθέων.

138.

ἐπὶ τῇ Ἀράτου εἰκόνι χαλκῇ.

Βουλαὶ μὲν καὶ ἄεθλα, καὶ ἁ περὶ Ἑλλάδος ἀλκὰ
  τοῦδ᾽ ἀνδρὸς στάλαις πλάθεται Ἡρακλέους·
ἄμμες δ᾽ εἰκόν᾽ Ἄρατε τεάν, νόστοιο τυχόντες,
  στάσαμεν ἀντ᾽ ἀρετᾶς ἠδὲ δικαιοσύνας,
σωτῆρος, σωτῆρσι θεοῖς, ὅτι πατρίδι τᾷ σᾷ
  δᾶμον ἴσον, θείαν τ᾽ ὤπασας εὐνομίαν.

139.

Βωμὸν Ἀριστοτέλης ἱδρύσατο τόνδε Πλάτωνος,
  ἀνδρὸς ὃν οὔτ᾽ αἰνεῖν τοῖσι κακοῖσι θέμις.

---

Nr. 136. V. 5. Fort. οἷός ποτε, φασίν, Ἴακχος. Nr. 137. V. 1. Fort. φιλίη μερίς. Nr. 138. V. 6. δαίμον᾽ ἴσον. Vulgo.

ὃς μόνος ἢ πρῶτος θνητῶν κατέδειξεν ἐναργῶς,
οἰκείῳ τε βίῳ καὶ μεθόδοισι λόγων,
ὡς ἀγαθός τε καὶ εὐδαίμων ἅμα γίγνεται ἀνήρ·
οὐ νῦν δ' ἔστι λαβεῖν οὐδένι ταῦτα ποτέ.

140.

Γλαυκία ἐστὶ τάφος· παῖς δ' ἀνέθηκε νέος,
δείξας ἐκ μικροῦ πρὸς πατέρ' εὐσεβίην.
οὐκ ἔφθης, ὦ τλῆμον, ἰδεῖν γόνον, οἷος ἂν ἦν σοι
γηραιῷ τεύχειν οὐ τάφον, ἀλλὰ βίον.
ἡ φθονερὰ δ' ὑμᾶς πάντ' ἀδικοῦσα τύχη
μητρὶ μὲν ἐν γήρᾳ δάκρυ θήκατο, τῇ δὲ γυναικὶ
χηρίαν, δυστήνου παιδὸς ἅμ' ὀρφανίη.

141.

Γράμματα Παῤῥασίοιο, τέχνα Μυός· ἐμμὶ δὲ ἔργον
Ἰλίου αἰπεινᾶς, ἂν ἕλον Αἰακίδαι.

142.

Δέξο ἄναξ Κρονίδα Ζεῦ Ὀλύμπιε καλὸν ἄγαλμα
ἱλάῳ θυμῷ τοῖς Λακεδαιμονίοις.

---

Nr. 140. V. 2. δειζας μειχρου. Marm. V. 7. Fort. στυγνῇ παιδός. Nr. 141. V. 1. γράμμα Πηρασίοιο. Vulgo.

143.

Δεσποίνῃ Νεμέσει, καὶ συνναόισι θεοῖσιν
'Αῤῥιανὸς βωμὸν τόνδε καθιδρύσατο.

144.

Δεύτερον εἰς ἔτος ἄρτι παρερχόμενόν με κραταιὴ
'Ελλάδιον σκολιοῦ νοῦσος ἔπαυσε βίου.

145.

Δηοῦς καὶ Κούρης θεοείκελον ἱεροφάντην,
κυδαίνων πατέρα, στῆσε δόμοις Κλεάδας,
Κεκροπίης σοφὸν ἔρνος, 'Ερώτιον, ᾧ ῥα καὶ αὐτὸς
Λερναίων ἀδύτων ἶσον ἔδεκτο γέρας.

146.

Διφίλου 'Ανθεμίων τόνδ' ἵππον θεοῖς ἀνέθηκεν,
θητικοῦ ἀντὶ τέλους 'Ιππάδ' ἀμειψάμενος.

147.

Δοιὼς 'Ιππομέδοντας ὁμᾶ χθὼν ἅδε καλύπτει,
παῖδά τε, καὶ γενέταν, ἄμφω ἀποφθιμένως,

---

Nr. 144. V. 2. ελλαδινεκενιου. Pococke

παῖδα μὲν ἐς λαιὰν ἐςιόντων χεῖρα τεθέντα,
    δεξιὰ δ' ἀντετάφη γηραὸς Ἱππομέδων.
ἀμφοτέροις δ' ἐπέθηκε χυτὰν κόνιν Ἱπποδάμεια
    μάτηρ Ποικιλίω, ἐκγόνω ἀμφοτέρων,
ὅς σφισι τώςδε τάφως ἐνεώσατο, τείχισε δ' Ἄιδαν,
    πάππῳ καὶ θείῳ λοισθοτάτας χάριτας.

148.

Ἕβδομον εἰς δέκατόν τε βίου λυκάβαντα περῶντα
    Μοῖρά με πρὸς θαλάμους ἅρπασε Φερσεφόνας.
λαμπάδα γὰρ ζωᾶς με δραμεῖν μόνον ἤθελε δαίμων,
    τὸν δὲ μακρὸν γήρως οὐκ ἐτίθει δόλιχον.
ἄρτι δ' ἐφηβείας θάλλων Διονύσιος ἀκμαῖς
    καὶ σελίσιν Μουσῶν, ἤλυθον εἰς Ἀΐδαν.
ἀλλὰ πάτερ μᾶτέρ τε, προλείπετε πικρὸν ὀδυρμόν.
    τέρμα γὰρ εἴς με βίου Μοῖρ' ἐπέκρανε τόδε.

149.

Εἰκόνα σου, Πολύκλεις, ἀνὰ παστάδα τάνδε πολῖται
    θῆκαν· ὁ μυριέτης δ' οὐ μαρανεῖ σε χρόνος·
ἐν βουλαῖς μὲν ἄριστον, ἀγῶσι δὲ τοῖς περὶ πάτρας
    ἄλκιμον, ἐν δὲ βίῳ σώφρονα δερκόμενοι.

150.

Πόλυλλος Πολυλλίδου Παιανεὺς
Εἰκόνα τήνδ' ἀνέθηκε Πολυστράτου αὐτοῦ ἀδελφοῦ,
    μνημόσυνον θνητοῦ σώματος ἀθάνατον.

Digitized by Google

151.

Εἰκόνα τήνδ' ἐςάθρει· πέλεται δὲ τοῦ ἁγνοῦ ὑπάρχου
ἐς Κρητῶν πόλιν, ἣν μοῦνος ἔθηκα νέην.
ἀγχίθυρος δ' ἕστηκα Δίκης πέλας. εἰμὶ Δίκης γὰρ
ἤπιος ἰθυδίκοις, τοῖς δ' ἀδίκοισι δέος.
στῆσε δὲ Καλλείνικος ἐνηής, δόγματι νήσου,
γαίης Ἰλλυρίδος δεύτερον ἠέλιον.

152.

Εἰκοσιὲξ λυκάβασιν ἐγὼ ζήσασα Σαβῖνα
καὶ μησὶν τέτρασιν, εἶθ' ἑνδέκατον πάλιν ἦμαρ,
τῇδε σορῷ κεῖμαι θυγατρὸς μέτα, ἥ με δίωξε
δειξαμένη στοργὴν φιλομήτορα δόγμασι Μοιρῶν.

153.

Εἴκοσί με ζήσαντα καὶ ἑπτὰ μόνους ἐνιαυτοὺς
Παυλῖνον γαίη δέξατο νερτερίη·
καί μοι ἀδελφειὴ κεῖται νέη ἐγγὺς Ὑγείη
ἑπταέτις· τῆς δ' ἦν οὔ τι γλυκιότερον!

154.

Εἰ μὲν θνητὸς ἔφυς, πῶς ἀθάνατόν σ' ἐποίησαν
Μοῦσαι, καὶ Μοιρῶν νῆμ' ἀνέκλωσαν, ἄναξ;

---

Nr. 153. V. 4. γλυκιότερον, Vulgo.

εἰ δ' ἦσθ' ἀθάνατος, πῶς ἐν θνητοῖς σ' ἀριθμοῦσιν;
οὐ μὰ σὲ ταῦτ' ἐχρῆν, σεμνὲ ποιητά, φρονεῖν.
ἀλλ' ἔγνων τἀληθές· ἐπεὶ τὸ σαφὲς διαφεύγει,
ἄνθρωπόν φασιν θεῖέ σ' Ὅμηρε πέλειν.

155.

Εἴ με φιλοῦντα φιλεῖς, δισσὴ χάρις· εἰ δέ με μισεῖς,
τόσσον μισηθείης, ὅσσον ἐγώ σε φιλῶ.

156.

Εἰμὶ Νεοπτόλεμος Κρεσσοῦ, τρισσῶν δ' ἐν ἀδελφῶν,
ἔστασαν Τλωεῖς, κῦδος ἐμὸν δόρατος·
* οὑνεκένων Πισίδας καὶ Ἀγριᾶνες, ἠδ' Ἀγριᾶνας
καὶ Γαλάτας τόσσους ἀντιάσας στόρεσα.

157.

Εἰμὶ Χάραξ ἱερεὺς γεραρῆς ἀπὸ Περγάμου ἄκρης,
ἔνθα ποτὲ πτολέμιζεν Ἀχιλλῆϊ πτολιπόρθῳ
Τήλεφος Ἡρακλῆος ἀμύμονος υἱὸς ἀμύμων.

---

Nr. 155. V. 2. μισηθῆς. corr. Villois. Fort. τῶς μισηθείης.
Nr. 156. V. 1. Fort. δ' ἕν' ἀδελφῶν. V. 2. ἐμοῦ. corr. Gron. V. 3. οὕνεκ' ἐὼν Πισίδης Ἀρκτάνας. Id.

158.

εἰς ἄγαλμα Κλαυδιανοῦ.

Εἰν ἑνὶ Βιργιλίοιο νόον καὶ μοῦσαν Ὁμήρου
Κλαυδιανὸν Ῥώμη καὶ βασιλεῖς ἔθεσαν.

159.

ἐπὶ τῷ Δημοσθένους ἀνδριάντι.

Εἴπερ ἴσην ῥώμην γνώμῃ, Δημόσθενες, εἶχες,
οὔποτ' ἂν Ἑλλήνων ἦρξεν Ἄρης Μακεδών.

160.

Εἰς θρήνους ἐφύλαξας Ἀτίνιαν, ὦ κακὲ δαῖμον,
οὐχ ὁσίως ποινὴν εὐσεβίης κατέθου·
Ῥουστικὸν ἡγεμονῆα πόσιν, καὶ παῖδα τιθηνὸν
Πομπήϊον, μαζῷ θελγόμενον γλυκερῷ,
μητέρα δ' Ἀργογενῆ Πομπηΐαν, ἠδὲ Πούδεντας
υἱὸν καὶ πάππον· φεῦ θανάτων ἀνίσων.
πάππος μὲν γενεῆς προπάτωρ πέλεν· ἠΐθεος δὲ
ᾤχετ' ἔχων οὐδὲν πλὴν δάκρυον πρὸ τάφου.

161.

Εἰσορόων τόδε θαῦμ' Ἀμμώνιον ἡγεμονῆα
πολλὸν ......... μέλπε πορευόμενος·

---

Nr. 158. V. 2. Κλαυδιανῷ. corr. V. D. Nr. 159. V. 1. γνώμη ῥώμην. al. Nr. 160. V. 2. Fort. οὐδ' ὁσίως.

δίψῃ τειρομένοισι μελισταγὲς ἤγαγεν ὕδωρ,
καί ῥ' ὑπ' ἀμηχανίης εὗρε πόρον ὕδασιν·
καὶ τάδε μὲν κατέθηκεν ἐπὶ σκοπέλοις κελαρύζειν,
τὸ πρὶν ξηροτέροις καύμασι τειρομένοις·
τῷ νῦν μηδ' ἀπόληγε, κέλευε δὲ πᾶσιν ὁδίταις
μίμνειν θαρσαλέως τῇδε πορευομένοις.
ἣ χαρίτων πόρον ἔσχεν ἐπιτρέψαντος Ἀρίστου,
ὅς γέ μιν ἡμερίοις δεῖξεν ἀγαλλομένην.

162.

ἐν τῷ Ἀσκληπιείῳ τῶν Παντικαπαιέων, ἐπὶ τῇ ῥαγείσῃ χαλκῇ ὑδρίᾳ διὰ τὸν πάγον.

Εἴ τις ἄρ' ἀνθρώπων μὴ πείθεται, οἷα παρ' ἡμῖν
γίνεται, εἰς τήνδε γνώτω ἰδὼν ὑδρίαν,
ἣν οὐχ ὡς ἀνάθημα θεοῦ καλόν, ἀλλ' ἐπίδειγμα
χειμῶνος μεγάλου θῆχ' ἱερεὺς Στράτιος.

163.

Ἐκ γενεῆς περίβωτον, ἀπ' ἀνθυπάτων καὶ ὑπάρχων,
Πλούταρχον, καθαρῇσιν ἀοίδιμον εὐνομίῃσιν,
προφρονέως Μεγαρῆες ἀειμνήστοις ἐπὶ ἔργοις
εἰκόνι λαϊνέῃ στῆσαν ἀγασσάμενοι.
πάντῃ Πλουτάρχοιο κλέος, πάντῃ δέ τε θαῦμα,
πάντῃ δ' εὐνομίης εὖχος ἀπειρέσιον.

---

Nr. 161. V. 4. Fort. ὕδασιν εὗρε πόρον. V. 8. υμνιν. Poc.

υἱέος Εὐρίοιο, τὸν Ἀλκαθόου ναετῆρες
πολλῶν ἀντ' ἀγαθῶν ἀμφὶ Δίκης τεμένει.

164.

Ἐκ δεκάπεντ' ἀνδρῶν Φοίβου στεφανηφόρος ἱρεὺς
Κρήσκηνς, ἠγάθεός τε Λεόντιος, ἔνσοφοι ἄνδρες,
ὃς μὲν ἀπ' ἀντολίης, ὃς δ' ἄρ' ἀφ' ἑσπερίης,
ὄργια συνρέξαντε θεᾷ παμμήτορι Ῥείῃ
κριοβόλου τελετῆς καὶ ταυροβόλοιο φερίστης,
ἥμασι μυστιπόλοις βωμὸν ὑπερτίθεσαν.

165.

Ἔκ ποτε τῆσδε πόληος ἅμ' Ἀτρείδῃσι Μενεσθεὺς
ἡγεῖτο ζάθεον Τρωϊκὸν ἐς πεδίον,
ὅν ποθ' Ὅμηρος ἔφη Δαναῶν πύκα θωρηκτάων
κοσμητῆρα μάχης ἔξοχον ὄντα μολεῖν.
οὕτως οὐδὲν ἀεικὲς Ἀθηναίοισι καλεῖσθαι
κοσμηταῖς πολέμου τ' ἀμφὶ καὶ ἠνορέης.

166.

Ἕκτον ἐπ' εἰκοστῷ πλήσας ἔτος Ἄβγαρος ἔνθα
ταρχύθη, Μοιρῶν ὡς ἐπέκλωσε μίτος,

---

Nr. 164. V. 1. τε φανηφόρος. Vulgo. Nr. 165. V. 6. Fort. κοσμητὰς cum aliis.

Digitized by Google

ᾧ φθόνος ὥς ἄδικός τις ἀπέσβεσεν ἀρχόμενον φῶς,
λυπήσας τὸ γένος, καὶ φιλίους ἑτάρους·
τύμβον δ' Ἀντωνῖνος ἑῷ θέτο τοῦτον ἀδελφῷ,
οἷσιν ὁ πρὶν βασιλεὺς Ἄβγαρος ἦν γενέτης.

167.

Ἑλλήνων προμαχοῦντες Ἀθηναῖοι Μαραθῶνι
ἔκτειναν Μήδων ἐννέα μυριάδας.

168.

Ἑλλάδος εὐρυχόρου σωτῆρες τόνδ' ἀνέθηκαν,
δουλοσύνης στυγερᾶς ῥυσάμενοι πόλιας.

169.

Ἐνθάδ' ἄναξ ἥρως Φύταλός ποτε δέξατο σεμνὴν
Δήμητραν, ὅτε πρῶτον ὀπώρας καρπὸν ἔφηνεν,
ἣν ἱερὰν συκῆν θνητῶν γένος ἐξονομάζει,
ἐξ οὗ δὴ τιμὰς Φυτάλου γένος ἔσχεν ἀγήρως.

170.

Ἐνθάδε κεῖμαι δάμαρ ὑπάτου ἥρωος ἀγαυοῦ,
Ἀῤῥίου μοι φιλίου, τῷδε μιγεῖσα μόνῳ·
ἦν δέ κεν ἐκ προγόνων ποτὲ τοὔνομα Πουβλιανή μου·
Σκιπιάδαι δ' ἔπελον, εὐγενίῃ δ' ἔπρεπον.

---

Nr. 167. V. 2. χρυσοφόρων Μήδων ἐστόρεσαν δύναμιν. al.

χηρείᾳ τ' αὐτῇ τὸν ἅπαντα χρόνον μείνασα,
    κὠκυμόρων τεκέων πένθεϊ τακομένη.
ἐν βιότῳ δὲ πόνον πουλὺν μάλ' ἔτλην μογέουσα,
    Μούσαισιν μοῦνον τὴν φρένα θελγομένη.

171.

Ἐνθάδε Διάλογος καθαρῷ πυρὶ γυῖα καθήρας,
    ἀσκητὴς σοφίης, ᾤχετ' ἐς ἀθανάτους.
ἐνθάδε Διαλόγοιο σαόφρονος ὀστέα κεύθει
    γυμνάς, ὃς ἀμφ' ἀρετὴν ἔπλετο καὶ σοφίην.
ἀλλὰ τὰ μὲν κεύθει μικρὰ κόνις ἀμφιχυθεῖσα,
    ψυχὴν δ' ἐκ μελέων Οὐρανὸς εὐρὺς ἔχει.

172.

Ἐννεακαιδεκάμηνος ἐγὼ κεῖμαι παρὰ τύμβῳ,
ὃν ποίησε πατὴρ Πρόκλος, Συρίης ἀπὸ γαίης.
οὔνομα δ' ἐστι Πρόκλα· γαίη πατρίς, ῇ παράκειμαι.

173.

Ἐν πολυθαήτῳ τεμένει Διὸς ὑψιμέδοντος
    ἕστηκ', αὐθέντων δημοσίᾳ Σαμίων.

* * *

Ἀθάνατον πάτρᾳ καὶ Ἀριστοκρίτῳ κλέος ἔργων,
    Λύσανδρ', ἐκτελέσας, δόξαν ἔχεις ἀρετᾶς.

---

Nr. 170. V. 7. δανετλῃν. Fabr.

174.

Ἔν τε φίλοισι φίλοιο, καὶ ἰητῆρος ἀρίστου,
παιδείης θ' ἱερῆς ἐγγύθεν ἁψαμένου,
σῶμ' Ἀσκληπιάδου καὶ υἱέος ἐνθάδε Βήρου,
ὡς ἐπέτελλε φίλοις, εἷς ὅδε τύμβος ἔχει.

175.

περὶ Ἀπόλλωνος Δηλίου.

Ἐν φανερᾷ γενόμην, πάτρην δ' ἐμοῦ ἁλμυρὸν ὕδωρ
ἀμφὶς ἔχει· μήτηρ δ' ἔστ' ἀριθμοῖο πάϊς.

176.

εἰς Σάραπιν.

Ἑπτά με φωνήεντα θεὸν μέγαν ἄφθιτον αἰνεῖ
γράμματα, τὸν πάντων ἀκάματον πατέρα·
εἰμὶ δ' ἐγὼ πάντων χέλυς ἄφθιτος, ἣ τὰ λυρώδη
ἡρμοσάμην δίνης οὐρανίοιο μέλη.

177.

Ἑρμῆν Ναϊάδων συνοπάονα θῆκέ με τῇδε
ἐσθλὸς ἀνὴρ κρήνης Κάρπος ἐπ' ἀενάου.

---

Nr. 177. V. 2. ΚΡΑΤΟΕΗ ΗΕΝΑΟΥ. Poc.

Digitized by Google

178.

Ἑρμῆν τὸν κλέπτην τίς ὑφείλετο; θερμὸς ὁ κλέπτης,
ὅς τῶν φηλητέων ᾤχετ' ἄνακτα φέρων.

179.

Ἑσπερίης πάσης χθονὸς ὄβριμον ἰθυντῆρα,
Μάρκελλον, ὁ θρασὺς μάρψε μόρος ταμίην,
Ἑλλάδος ἀγλαὸν ἔρνος, ὅς εὐδαχίῃ Κυκλάδων γῆς
κουφίζων πόλιας, θῆκεν ἐλαφροτέρας.
τοὔνεκα καὶ προθύροισι Δίκης, ἐπιμάρτυρα θεσμῶν
βουλῇ καὶ * πύῤῥον θῆκεν ἐφημοσύνῃ.

180.

αἴνιγμα.

εἰς πρωκτόν.

Ἔστι λαλῶν ἄγλωσσος, ὁμώνυμος ἄῤῥενι θῆλυς,
οἰκείων ἀνέμων ταμίας, δασύς, ἄλλοτε λεῖος,
ἀξύνετα ξυνετοῖσι λέγων, νόμον ἐκ νόμου ἕλκων·
ἓν δ' ἐστὶν καὶ πολλά, καὶ ἂν τρώσῃ τις ἄτρωτος.

181.

αἴνιγμα.

εἰς ἐπιστολήν.

Ἔστι φύσις θήλεια βρέφη σώζουσ' ὑπὸ κόλποις
αὐτῆς· ταῦτα δ' ἄφωνα βοὴν ἵστησι γεγωνὸν
καὶ διὰ πόντιον οἶδμα, καὶ ἠπείρου διὰ πάσης,

Digitized by Google

οἷς ἐθέλει θνητῶν· τοῖς δ᾽ οὐ παρεοῦσιν ἀκούειν
ἔξεστιν, κωφήν τ᾽ ἀκοῆς αἴσθησιν ἔχουσιν.

182.

Εὐρυδίκη Ἱεραπολιῆτις τόνδ᾽ ἀνέθηκε
Μούσαις, εὔϊστον ψυχῇ ἑλοῦσα πόθον.
γράμματα γάρ, μνημεῖα λόγων, μήτηρ γεγαυῖα
παίδων ἡβώντων, ἐξεπόνησε μαθεῖν.

183.

Εὐτελίδας καὶ Χρυσόθεμις τάδε ἔργα τέλεσσαν
Ἀργεῖοι, τέχναν εἰδότες ἐκ προτέρων.

184.

Εὐφρανθεὶς συνεχῶς, γελάσας, παίξας τε, τρυφήσας,
καὶ ψυχὴν ἱλαρῶς πάντων τέρψας ἐν ἀοιδαῖς,
οὐδένα λυπήσας, οὐ λοίδορα ῥήματα πέμψας,
ἀλλὰ φίλος Μουσῶν, Βρομίου, Παφίης τε βιώσας,
ἐξ Ἀσίης ἐλθὼν Ἰταλῇ χθονὶ ἐνθάδε κεῖμαι,
ἐν φθιμένοις νέος ὤν, τοὔνομα Μηνόφιλος.

185.

Ἐχρῆν μὲν στῆσαι σὺν Ἔρωτι φίλῳ σε, Μένανδρε,
ᾧ συζῶν ἐτέλεις ὄργια τερπνὰ θεοῦ·
δῆλος δ᾽ εἶ φορέων αἰεὶ θεόν, ὁππότε καὶ νῦν
σὴν μορφὴν κατιδὼν αὐτίκα πᾶς σε φιλεῖ.

Digitized by Google

186.

Ζηνὶ θεῶν βασιλεῖ μ' ἀκροθίνιον ἐνθάδ' ἔθηκαν
Μενδαῖοι, Σίπτην χερσὶ βιασάμενοι.

187.

Ζηνί μ' ἄγαλμ' ἀνέθηκαν Ὀλυμπίῳ ἐκ Χερονήσου
τεῖχος ἑλόντες Ἀράτου· ἐπῆρχε δὲ Μιλτιάδης σφίν.

188.

Ζηνὸς ἰὼ κραιπναῖσι γεγαθότες ἱπποσύναισι,
κοῦροι ἰὼ Σπάρτας, Τυνδαρίδαι βασιλεῖς,
Αἰνεάδας Τίτος ὔμμιν ὑπέρτατον ὤπασε δῶρον,
Ἑλλήνων τεύξας παισὶν ἐλευθερίαν.

189.

Ζήσας ὡς δεῖ ζῆν, ἀγαθὸς δ' ἐν ἅπασι νομισθείς,
ἠδ' ἀκμὴν νέος ὢν ᾤχετ' ἐς ἡμιθέους.

190.

Ζωΐλος ἡνιόχων προφερέστατος ἐνθάδε κεῖται.

191.

Ἡγεμόνεσσι δὲ μισθὸν Ἀθηναῖοι τάδ' ἔδωκαν,
ἀντ' εὐεργεσίης καὶ μεγάλης ἀρετῆς,

Digitized by Google

199.

εἰς τοὺς Ἠλείους.

Ἦλις καὶ μεθύει, καὶ ψεύδεται. οἷος ἑκάστου
οἶκος, τοίη δὴ καὶ ξυνάπασα πόλις.

200.

Ἤλυθες οὐκ ἀβόατος ἐνὶ τρισσαῖς δεκάδεσσιν,
Θεύδοτε, τὰν ζώοις οἶμον ὀφειλομέναν,
καὶ σὲ τὸν ἐν σπονδαῖσι γεγαθότα πουλὺ μετ' ἀστῶν
μάτηρ αἰάζει μυρομένα πρύτανιν.
πέτρος ὅδε ξείνοισι βοάσεται, ὡς ἀΐδαλος
ἀσφαλὲς ἀνθρώποις οὐθὲν ἔνειμε Τύχα.
εἴης τοι σὺν πατρὶ κεχαρμένος, ὄφρ' ἂν ἐς αἰῶ
Σώστρατος ἐν φθιμένοις μυρίον αἶνον ἔχῃ.

201.

Ἦ μάλα δὴ περὶ σεῖο λυγρὸν πότμον ἔκλυε πάτρα,
ἀλκίμη Ἀμφιλόχων γαῖα θρασυπτολέμων,
οὕνεκεν Ἰλλυριοῖσιν ὑφ' ἱππομάχοισι δαμάσθης·
ὀστέα δ' ἐν νάσῳ τᾷδ' ἕταροι κτέρισαν.
καὶ σοῦ ἀποφθιμένου πιστοὶ φίλοι οὐκ ἐλάθοντο,
Σίννα, φυλόπιδος δ' ἐξέρυσαν στυγερᾶς
Ἀμφίλοχοι θρασέων εὖ εἰδότες ἔργον ἀκόντων,
οἵ σε μέγ' ἀχνύμενοι συγγενῆ ἐκτέρισαν.

---

Nr. 200. V. 7. ὄφρ' ἂν ἐφαψῶ. Σ. alii. Nr. 201. V. 4. νάσοι. Marm. V. 6. σῶμα δὲ φ. ἐξ. Br.

Digitized by Google

202.

Ἦ μάλα δὴ ποθέουσα νέαν ἔτι Κυδίου ἥβην
 ἀσπὶς ἀριζήλου φωτός, ἄγαλμα Διΐ,
ἇς διὰ δὴ πρώτας λαιὸν ποτε πῆχυν ἔτεινεν,
 εὖτ' ἐπὶ τὸν Γαλάταν ἤκμασε θοῦρος Ἄρης.

203.

ἐπὶ τῷ ἀνδριάντι Ἐπαμινώνδου.

Ἡμετέραις βουλαῖς Σπάρτη μὲν ἐκείρατο δόξαν,
 Μεσσήνη δ' ἱερὰ τέκνα χρόνῳ δέχεται,
Θῆβαι δ' ὅπλοισιν μεγάλη πόλις ἐστεφάνωται,
 αὐτόνομος δ' Ἑλλὰς πᾶσ' ἐν ἐλευθερίῃ.

204.

Ἤμην στολάρχης Ποντικῶν νεῶν ἐγώ,
ἐξηρέτμοις πτέρυξιν ἠγλαϊσμένων,
ἀνὰ στρατὸν Κρισπῖνος εὐκλεὴς ἀνήρ·
Ῥάβεννα δ' ἦν μοι πατρίς, ἀρχαία πόλις.
ἔγνως τίς ἤμην, καὶ τίνος γένους κυρῶ.
λοιπὸν φυλάσσου, μή τιν' ἐνθήσῃς τάφῳ,
δίκην θ' ὑφέξῃς παρανόμως τυμβωρυχῶν,
Φίσκῳ τε δώσῃς ⁂ Β καὶ τῇ πόλει ⁂ Α.

205.

Ἦν ἄρα κἀκεῖνοι ταλακάρδιοι, οἵ ποτε Μήδων
 παισὶν ἐπ' Ἠϊόνι, Στρυμόνος ἀμφὶ ῥοάς,

λιμόν τ' αἴθωνα, κρατερόν τ' ἐπάγοντες Ἄρηα,
πρῶτοι δυςμενέων εὗρον ἀμηχανίην.

206.

Ἦν Λακεδαιμόνιος Χείλων σοφός, ὃς τάδ' ἔλεξε·
μηδὲν ἄγαν· καιρῷ πάντα πρόςεστι καλά.

207.

Ἦν ὅτε μοῦνον Ὑγεινον ἀδελφεὸν οἵ με τεκόντες
πένθεον, ἡνίκ' ἐγὼ πενταέτις μόνον ἦν·
παρθένος ἐν γονέεσσιν ἐθήλεον· ἡ δ' ἀγαπητὴ
ἤλυθα τὴν φρικτὴν εἰς ἀΐδαο πόλιν.
ἡ δέ με γειναμένη μήτηρ * βενους Ἀρίτωνος
πολλάκι βοωμένου· χαῖρε, Πρόκλα θύγατερ.

208.

Ἡ πᾶσιν μακάρεσσι βροτοῖσί τε προςφιλὲς αἰεί,
ἀσπασίοισι λόγοις τὸν παριόντα νέμω·
εἰ δὲ θέλεις γνῶναι στήλης τύπον, ὦ παροδῖτα·
Θαλλοῦσάν μ' ἐςορᾷς· μητρὶ δὲ τήνδε χάριν
μνήμης Θάλλος . . . . . . ἀρετῆς εἰδὼς ἱερὸν δή
* * * * *

---

Nr. 205. V. 3. κρυερόν. alii. Nr. 207. V. 2. πενταετηζομένη. Mur. V. 5. Fort. μήτηρ πένθησ' Ἀρ. Nr. 208. V. 2. λοτοις. Poc. V. 4. δὲ om. Marm. V. 5. Fort. Θάλλας ἔθηκ' ἀρ.

Digitized by Google

209.

῾Η ποτε κυδιόωσα * ξανθαῖς ἐπὶ κρατὸς ἐθείραις,
καὶ χαριτοβλεφάροις ὄμμασι λαμπομένη,
χιονέοις τε πρέπουσα προσώποις ἠδὲ παρειαῖς,
καὶ γλυκεροῦ στόματος ὄπα λειριόεσσαν ἱεῖσα
χείλεσι πορφυρέοις ἐλεφαντινέων δι᾽ ὀδόντων,
παντοίην τ᾽ ἀρετὴν περικαλλέϊ σώματι θεῖσα,
ἣν τέκεν Εὐτυχίδῃ σθεναρῷ Κιλικὶς χαριτῶπις,
εἰκοσιπενταέτις Τρυφέρα τῇδ᾽ ἐν χθονὶ κεῖται.
῞Ερμερος δὲ ᾽Αριστομάχοιο πατρὸς καὶ μητέρ[ος]
μνῆμ᾽ ἀλόχῳ φιλίῃ θήκατο κουριδίῃ.

210.

῾Η πολὺ Σειρήνων λιγυρωτέρη, ἡ παρὰ Βάκχῳ
καὶ θοίναις αὐτῆς χρυσοτέρη Κύπριδος,
ἡ λαλίη φαιδρή τε χελιδονίς, ἔνθ᾽ ῾Ομόνοια
κεῖμαι, ᾽Ατιμήτῳ δάκρυα λειπομένη,
τῷ πέλον ἀσπασίη βαιῆς ἄπο· τὴν δὲ τοσαύτην
δαίμων ἀπροϊδὴς ἐσκέδασεν φιλίην.

211.

῾Ηράκλεια πατρίς, Ζεῦξις δ᾽ ὄνομ᾽· εἰ δέ τις ἀνδρῶν
ἡμετέρης τέχνης πείρατά φησιν ἔχειν,
δείξας νικάτω . . . . . . . . . . . . . . . .
. . . . . δοκῶ δ᾽ ἡμᾶς οὐχὶ τὰ δεύτερ᾽ ἔχειν.

Digitized by Google

212.

Ἡρόδοτον Λύξεω κρύπτει κόνις ἥδε θανόντα,
 Ἰάδος ἀρχαίης ἱστορίης πρύτανιν,
Δωριέων πάτρης βλαστόντ' ἄπο, τῶν ἄρ' ἄπλητον
 μῶμον ὑπεκπροφυγών, Θούριον ἔσχε πάτρην.

213.

εἰς ἐγχειρίδιον.

Θάησαί μ'· ἐτεὸν γὰρ ἐν Ἰλίου εὐρέϊ πύργῳ
 ἦν, ὅτε καλλικόμῳ μαρνάμεθ' ἀμφ' Ἑλένῃ.
καί μ' Ἀντηνορίδης ἐφόρει κρείων Ἑλικάων·
 νῦν δέ με Λητοΐδου θεῖον ἔχει δάπεδον.

214.

Θεῖος Ὅμηρος ὅδ' ἐστίν, ὃς Ἑλλάδα τὴν μεγάλαυχον
 πᾶσαν ἐκόσμησεν καλλιεπεῖ σοφίῃ,
ἔξοχα δ' Ἀργείους, οἳ τὴν θεοτείχεα Τροίην
 ἤρειψαν, ποινὴν ἠϋκόμου Ἑλένης·
οὗ χάριν ἔστησεν δῆμος μεγαλόπτολις αὐτὸν
 ἐνθάδε, καὶ τιμαῖς ἀμφέπει ἀθανάτων.

215.

Ἰκαρίοιο τάφος νεοπενθέος. ὦ τάφος, ὅσσην
 συγκλείσας ἀρετῆς εὐκλείην κατέχεις.
οὐκ ἴδρις τραγικῆς μούσης, οὐκ εὔλυρος ἀνήρ,
 οὐκ ἐπέων ῥητὴρ ἄξια σεῖο φράσει,

Digitized by Google

οἷος ἔφυς πραπίδας, οἷος χρόα, οἷος ἰούλους,
ὅσσων θ᾽, ὡς πρέσβυς, κοῦρος ἐὼν κράτεες.
νύμφην δ᾽ ἥν σοι ἐγὼ θεῖος τεὸς ἔτρεφον, οἴ οἴ,
τλήμονα, νυμφεύσων ἥρπασε πρόσθ᾽ Ἀΐδης.
οὐδὲ γάμων ὑμέναιον ἀείσαμεν· ἀλλ᾽ ἄρα μούνω
παρθενικὴν ἐρατὴν σώσατε ὡς αἴδου.

216.

Ἰσοκράτους Ἀφαρεὺς πατρὸς εἰκόνα τήνδ᾽ ἀνέθηκε
Ζηνί, θεούς τε σέβων, καὶ γονέων ἀρετήν.

217.

Ἱστορίας δείξας, καὶ χερσὶν ἅπαντα λαλήσας,
ἔμπειρος Βρομίοιο σοφῆς ἱερῆς τε χορείας,
συμπάσχων κείνοις περ .... κινεῖτο προσώποις,
κοσμήσας πᾶσαν θυμέλην διδαχαῖς πολυδόξοις,
οὗτος ὁ παιδείας θαλερῆς ἐγκώμια λείψας,
κεῖται δὴ γήρᾳ βεβαρημένος. οὐκ ἔθανεν γάρ,
ζώσης ἠϋχόροιο τέχνης ἀρεταῖσι μαθητῶν.

218.

Ἰταλίης ἄρχοντα φιλόπτολιν ἐστήσαντο
Βουλὴ καὶ βασιλεύς, τὸν σοφὸν Εὐσέβιον.

---

Nr. 215. V. 10. Fort. σώσατε κὴς αἴδου. Nr. 217. V. 3. κείνοισιν, ὅσων κιν. Br. Nr. 218. V. 1. ημιης αρχοντας λετιτοαιν. Mur.

Digitized by Google

219.

. . . . . . . . . . . ἴχνεσι . . . . . . . . . ον ὁδῖτα,
κοῦρος, ἐγὼ καλέω σε, θεῷ φίλος, οὐκέτι θνητὸς,
ἠΐθεος, κούροισιν ὁμιλικίῃ πανόμοιος,
πλωτήρων σωτῆρσιν, Ἀμυκλαίοισι θεοῖσιν·
πλωτὴρ καὐτὸς ἐών· πόντου γ' ἐνὶ κύμασι νάσθην·
εὐσεβίῃ τροφέων δὲ λαχὼν τόδε σῆμα πέπαυμαι
νούσων καὶ καμάτοιο καὶ ἄχθεος ἠδὲ πόνοιο·
ταῦτα γὰρ ἐν ζωοῖσιν ἀμείλιχα σάρκες ἔχουσιν·
ἐν δὲ τεθνειῶσιν ὁμηγύριές γε πέλουσιν
δοιαί, τῶν ἑτέρη μὲν ἐπιχθονίῃ πεφόρηται,
ἡ δ' ἑτέρη τείρεσσι σὺν αἰθερίοισι χορεύει·
ἧς στρατιῆς εἷς εἰμί, λαχὼν θεὸν ἡγεμονῆα.

220.

Καὶ γὰρ ἐγὼ κείνων εἰμ', ὦ ξένε, λείψανον οἴκων,
    στῦλος ἐν Οἰνομάου πρίν ποτ' ἐνοῦσα δόμοις·
νῦν δὲ παρὰ Κρονίδην κεῖμαι τάδ' ἔχουσα τὰ δεσμὰ
    τίμιος· οὐδ' ὀλοὴ δαίσατο φλόξ με πυρός.

221.

Κῆρυξ καὶ τάφος εἰμὶ βροτοῦ πάρος ἀρχεχόροιο,
    Εὐτύχου αἰάζων Κῆρα μινυνθαδίην,
ὃς θνητοῖς ψυχὴν πείσας ἐπὶ σώμασιν ἐλθεῖν,
    τὴν αὐτοῦ μέλεος οὐκ ἀνέπεισε μένειν.

---

Nr. 219. V. 9. Fort. ἐν δ' αὖ τ. Nr. 220. V. 4. ἐδέξατο. Vulg.

222.

Κλασθείσας πάτρας σεισμῷ ποτέ, Κάνταβριν ἐς γᾶν
Χαιρήμων ἔπτα, πατρίδα ῥυσόμενος·
Καίσαρι δ' εἰλιχθεὶς περὶ γούνασι, τὰν μεγάλαυχον
ὤρθωσε Τράλλιν, τὰν τότε κεκλιμέναν.
ἀνθ' ὧν συγγενές οἱ τοῦτο βρέτας, ὄφρ' ἐπὶ βωμῷ,
οἷά γε δὴ κτίστας, τάνδε φέροιτο χάριν.

223.

Κλαύδιος Αὐρεόλῳ μετὰ δήϊον ἄρεα Καῖσαρ
τὰ κτέρεα, θνητῶν ὡς θέμις, ἐνδίδοσι.
τῷ γ' ἂν καὶ ζωήν· ἀλλ' οὐκ ἐθέλησε φρόνημα
πᾶσιν ἐπιῤῥήτοις τοῦ στρατοῦ ἀντίβιον.
κεῖνος δ' οἰκτίρμων, καὶ σώματος ἔσχατ' ὀπίζων,
Αὐρεόλου γέφυραν στήσατο τήν τε ταφήν.

224.

Κλαύδιος ἰητὴρ Ἀγαθήμερος ἐνθάδε κεῖμαι,
παντοίης δεδαὼς κραιπνὸν ἄκεσμα νόσου·
ξυνὸν τοῦτο δ' ἐμοὶ καὶ Μυρτάλῃ εἷσα συνεύνῳ
μνῆμα. μετ' εὐσεβέων δ' ἐσμὲν ἐν Ἠλυσίῳ.

---

Nr. 222. V. 5. σύγγνω οἱ τοῦτο. corr. Herm. Nr. 223. V. 3. γ' ἄρ'. Vulgo.

225.

Κλαύσατε πάντες ἐμὸν γοερὸν μόρον οἱ παριόντες,
στάντες ἐμῆς μικρὸν πρόσθε λυγρῆς σποδιῆς·
κλαύσατε τὴν δύστηνον, ἐφ' ᾗ μέγα πένθος ἔχουσι
νυκτὶ καὶ ἠελίῳ δυστοκέες τοκέες,
ἧς ζυγὸν οὐκ εἶδον τὸ γαμήλιον, οὐδ' ὑμέναιον
ᾖσέ τις οἰνοχαρὴς πρόσθεν ἐμῶν θαλάμων.

226.

Κλειτόριοι τόδ' ἄγαλμα θεῷ δεκάτην ἀνέθηκαν,
πολλᾶν ἐκ πολίων χερσὶ βιασάμενοι,
καὶ * μετρεῖτ' Ἀρίστων ἠδὲ Τελεστὰς
αὐτοκασίγνητοι καὶ Λακεδαιμόνιοι.

227.

Κλεοσθένης μ' ἀνέθηκεν ὁ Πόντιος ἐξ Ἐπιδάμνου,
νικήσας ἵπποις καλὸν ἀγῶνα Διός.

228.

Κύριλλος τόδε σῆμα φίλῳ ποιήσατο παιδὶ
Κλειοφόρῳ, τριέτη ὃν ἀφείλετο Μοῖρα κραταιή,
πρὶν γλυκεροῦ βιότοιο ἐς ἠλικίης τέλος ἐλθεῖν.

---

Nr. 226. V. 3. μέτρα ποιείτην. Br. Nr. 228. V. 2. τριέτειον et κρατερή. Marm.

Digitized by Google

ἀλλ' εἴ γ' ἐν φθιμένοισί τις αἴσθησις, τέκνον, ἐστίν,
κοῦφον ἔχοις γαίης βάρος εὐσεβίης ἐνὶ χώρῳ.

229.

Λαΐνεος στήλη με περὶξ ἔχει· ἐκ δέ με παστῶν
νύμφην, κὰκ θαλάμων ἥρπασ' ἄφνως Ἀΐδας
Πόλλαν, λυγρὰ γονεῦσι λιπὼν μνημήϊα τέκνου.

230.

Λαμπάδα νικήσας σὺν ἐφήβοις τήνδ' ἀνέθηκα
Εὐτυχίδης, παῖς ὢν Εὐτυχίδου Ἀσθμονεύς.

231.

Λαοδίκης ὅδε πέπλος, ἔᾳ δ' ἀνέθηκεν Ἀθηνᾷ
πατρίδ' ἐς εὐρύχορον Κύπρου ἀπὸ ζαθέας.

232.

Λείψανα Λουκίλλης διδυματόκου ἐνθάδε κεῖται,
ἧς μεμέριστο βρέφη, ζωὸν πατρί, θάτερον αὐτῇ.

233.

Μαρκέλλης τάφος εἰμί. τίς αὐτὴ γράμματα λέξει.
ἀρτίγαμος κούρη εἴκοσιν οὖσ' ἐτέων.

---

Nr. 230. V. 2. Fort. Ἀθμονεύς. c. Scaligero.

αὐτὴ ἡ γεννήσασα καὶ κηδεύσασα ἐπέγραψα,
    ἄχθος ἔχουσα κραδίῃ πένθεος οὐκ ὀλίγου.

234.

Μάτηρ Μαρκιανοῦ, θυγάτηρ Δημητρίου εἰμί.
    τοὔνομα σιγάσθω· τοῦτ' ἀποκληζομένη,
εὖτέ με Κεκροπίδαι Δηοῖ θέσαν ἱεροφάντιν,
    αὐτὴ ἀμαιμακέτοις ἐγκατέκρυψα βυθοῖς·
οὐκ ἐμύησα δ' ἐγὼ Λακεδαιμονίης τέκνα Λήδης,
    οὐδὲ τὸν εὑράμενον παυσινόσους ἀκέσεις·
οὐδὲ τὸν Εὐρυσθῆϊ δυώδεκα πάντας ἀέθλους
    ἐξανύσαντα μόγῳ καρτερὸν Ἡρακλέα·
τὸν χθονὸς εὐρυχόρου δὲ καὶ ἀτρυγέτης μεδέοντα,
    τὸν καὶ ἀπειρεσίων κοίρανον ἡμερίων,
ἄσπετον ὃς πάσαις πλοῦτον κατέχευε πόλεσσιν,
    Ἀδριανόν, κλεινῆς δ' ἔξοχα Κεκροπίης.

235.

Μή μου ἐνυβρίσσῃς ἁγνὸν τάφον, ὦ παροδῖτα,
    μή σοι μηνίσῃ πικρὸν ἐπ' Ἀγεσίλας,
Περσεφόνα τε κόρα Δαμάτερος· ἀλλὰ παρέρπων
    εἰπὸν Ἀρατείῳ, γαῖαν ἔχοις ἐλαφράν.

---

Nr. 233. V. 3. 4. αὐτὸς ὁ γεννήσας καὶ κηδεύσας ἐπέγραψεν ἄχθος ἔχων. Br. Nr. 235. V. 2. επαγεσιμη. Grut.

236.

Μή μου παρέλθῃς τοὐπίγραμμ', ὁδοιπόρε,
ἀλλὰ σταθεὶς ἄκουε, καὶ μαθὼν ἄπει.
οὐκ ἔστ' ἐν Ἅιδου πλοῖον, οὐ πορθμεὺς Χάρων,
οὐκ Αἰακὸς κλειδοῦχος, οὐχὶ Κέρβερος [κύων].
ἡμεῖς δὲ πάντες οἱ κάτω τεθνηκότες
ὀστέα τέφρα τε γεγόναμεν, ἄλλο δ' οὐδὲ ἕν.
εἴρηκα. δὶ ὀρθῆς ὕπαγε, ὦ ὁδοιπόρε,
μὴ καὶ τεθνηκὼς ἀδόλεσχός σοι φανῶ.

237.

Μηνόφιλον τάφος οὗτος ἔχει, πολυπενθέα παῖδα,
ὃν Χαρίτων τρισσῶν πανεπήρατον εἶδος ἔχοντα
αἰνοτόκων γονέων φθόνος ἥρπασεν, ὃν καθορᾶτε
ὀκτὼ μόνοις ἔτεσιν βεβιωκότα, μησί τε πέντε.

238.

Μήπω γευσάμενος ἥβης ὤλισθον ἐς Ἅιδου,
δάκρυα καὶ στοναχὰς λείψας αἰῶνι γονεῦσιν·
δύςμορος, οὐδ' ἐνόησα βροτῶν ψαῦσαι βιότοιο.
ἑπτὰ μόνους λυκάβαντας δύω καὶ μῆνας ἔζησα,
ὧν τρεῖς ἐξετέλουν Διονύσῳ ὄργια βάζων.
Ἡρόφιλον δ' ἐκάλουν με πατὴρ καὶ πότνια μήτηρ.
ἔγνως, ὦ παροδῖτα, τίς ἤμην. οὐκ ἐγενήθην.

239.

Μητέρι τῇ πάντων Ῥείῃ, τεκέων τε γενέθλῳ,
Ἄττει θ' ὑψίστῳ καὶ συνιέντι τὸ πᾶν,

τῷ πᾶσιν καιροῖς θεμερώτερα πάντα φύοντι,
κριοβόλου τελετῆς ἠδ' ἔτι ταυροβόλου
μυστιπόλος τελέθων, τοῦτον συνθήκατο βωμόν,
δῶρον Ἀπόλλωνος θεῖον ἔχων ἐπίκλην.

240.

Μίσιδι Δημοκράτης ἀλόχῳ περικαλλέα τεῦξε
τόνδε τάφον, μνήμης σωφροσύνης ἕνεκεν.

241.

Μνᾶμ' ἀρετᾶς ἀνέθηκε Ποσειδάωνι ἄνακτι
Παυσανίας, ἄρχων Ἑλλάδος εὐρυχόρου,
Πόντου ἐπ' Εὐξείνου, Λακεδαιμόνιος γένος, υἱὸς
Κλεομβρότου, ἀρχαίας Ἡρακλέος γενεᾶς.

242.

Μνᾶμά τ' ἀλεξάνδρου πολέμου, καὶ μάρτυρα νίκας
Δελφοί με στᾶσαν, Ζανὶ χαριζόμενοι,
σὺν Φοίβῳ πτολίπορθον ἀπωσάμενοι στίχα Μήδων,
καὶ χαλκοστέφανον ῥυσάμενοι τέμενος.

243.

Μνάματ' Ἀπολλωνίας ἀνακείμεθα, τὰν ἐνὶ πόντῳ
Ἰονίῳ Φοῖβος ᾤκισ' ἀκερσεκόμας·

---

Nr. 240. V. 1. περικαλλέϊ. Br. Nr. 241. V. 4. Κλευμβρότου. Schweigh.
Nr. 243. V. 2. Fort. ᾤκισεν Ἰονίῳ Φοῖβος. cum Passovio.

οἱ γᾶς τέρμαθ' ἑλόντες Ἀβαντίδος, ἐνθάδε ταῦτα
ἔστασαν σὺν τοῖς ἐκ Θρονίου δεκάταν.

244.

Μνῆμ' ἀρετῆς, μοίρης τὸ τέλος, φίλον οὔνομα, ΧΡΗΣΤΗ,
σωφροσύνης ἱερᾶς ᾗ τις μέγαν ἔσχεν ἔπαινον,
ἐνθάδε νῦν κατὰ γῆς σῶμ' ἀνέπαυσε πόνων,
τὴν συνετὸν ψυχὴν μακάρων εἰς ἀέρα δοῦσα
πρόσθεν μὲν θνητή, νῦν δὲ θεῶν μέτοχος,
αἰείμνηστος ἅπασι, φίλοισί τε καὶ τεκέεσσι·
τόνδε τάφον σοφίης ἕνεκεν κυδρῇ παράκοιτι
τεῦξε φράσας συνόμευνος, Ἀλεξάνδροιο πολίτης.
* αγεντι εὐψύχει· κἀμὲ μένει τὸ θανεῖν.

245.

ἐπὶ τοῦ Ἀθήνησιν ἐν Πυθίου Ἀπόλλωνος βωμοῦ.

Μνῆμα τόδ' ἧς ἀρχῆς Πεισίστρατος Ἱππίου υἱὸς
θῆκεν Ἀπόλλωνος Πυθίου ἐν τεμένει.

246.

Μνῆμα τόδ' ὑψιφανὲς Δηοῦς ιαι.. οιο δέδορκας
μυρίον ἐν σοφίῃ κῦδος ἐνεγκαμένου,

---

Nr. 244. V. 9. Fort. αἰνετὴ εὐψύχει.

ὃς τελετὰς ἀνέφηνε καὶ ὄργια πάννυχα μύσταις
  Εὐμόλπου, προχέων ἱμερόεσσαν ὄπα,
ὃς καὶ δυςμενέων μόθον οὐ τρέσεν, ἀλλ' ἐσάωσεν
  ἄχραντ' ἀῤῥήτων θέσμια Κεκροπίδαις·
ἇ μάκαρ, ὃν καὶ δῆμος ἐπεστεφάνωσε γεραίρων

* * * * *

247.

Μνήμην τῆς ἰδίας γαμετῆς μετὰ μοῖραν ἄτρεπτον
ἐν στέρνοισιν ἔχων, ἴδιος πόσις, ὢν ἔτι ζωός,
οἷα ἔφυ στήλαις, παροδοιπόρε, τοῦθ' ὑπέγραψα.
πρῶτον μὲν τύπος ἦν αὐτῇ χρυσῆς Ἀφροδίτης,
εἶχε δὲ καὶ ψυχὴν ἀφελῆ στέρνοισι μένουσαν·
ἦν ἀγαθή, νομίμοις δὲ θεοῦ παρεγίνετο πᾶσιν·
οὐδὲν ὅλως παρέβαινε· χαρίζετο λειπομένοισιν·
δουλὶς ὑπάρχουσα στέφανον τὸν ἐλεύθερον ἔσχεν·
ζωοὺς τρεῖς ἐκύησε γόνους, μήτηρ ἐγενήθη
δισσῶν ἀῤῥενικῶν· τὸ δὲ θῆλυ τρίτον κατιδοῦσα
ἠοῦς ἑνδεκάτης ἔλιπε ψυχὴν ἀμερίμνως.
κάλλος δ' αὖ μετὰ μοῖραν Ἀμαζόνος ἔσχεν ἄπιστον,
ὥςτε νεκρᾶς πλέον ἢ ζώσης ἐς ἔρωτα φέρεσθαι.
εἰκοστὸν δὲ βιώσασαν ἀφελῶς ἐνιαυτὸν
Μαρκιανὴν Ἑλίκην ζοφερὸς τάφος ἔνθα καλύπτει.

---

Nr. 247. V. 3. ἐγὼ ἔφυ. Vulg. V. 5. Fort. στέρνοισιν ἐνοῦσαν.

248.

Μοίρη καὶ Λήθη με κατήγαγον εἰς Ἀΐδαο,
οὔπω νυμφείου θαλάμου καὶ παστάδος ὥρης
γευσαμένην· ἀθιγὴς δ' ἔλιπον φάος ἠελίοιο.

249.

Μουνοπάλης νικῶ δὶς Ὀλύμπια Πύθιά τ' ἄνδρας,
τρὶς Νεμέᾳ, τετράκις δ' Ἰσθμῷ ἐν ἀγχιάλῳ,
Χίλων, ὃς Πατρεὺς ἦν· αὐτὰρ ὁ λαὸς Ἀχαιῶν
ἐν πολέμῳ φθίμενον θάψ' ἀρετῆς ἕνεκεν.

250.

Μουσάων πρόπολον τῇδ' Ὀρφέα Θρῇκες ἔθηκαν,
ὃν κτάνεν ὑψιμέδων Ζεὺς ψολόεντι βέλει,
Οἰάγρου φίλον υἱόν, ὃς Ἡρακλῆν ἐδίδαξεν,
εὑρὼν ἀνθρώποις γράμματα καὶ σοφίην.

251.

Μυρί' ἀποφθιμένοιο τάφῳ περὶ τῷδε χυθεῖσα
παιδὸς Ἀλεξάνδρου μύρατο Καλλιόπα,
ὠκύμορον καὶ ἄτεκνον ἐπεὶ θέτο τάνδ' ὑπὸ γαῖαν,
ἑπτακαιεικοσέτους πνεῦμα λιπόντα βίου,
ἵστορα παιδείας, τόξῳ κλυτόν, ᾧ ποκα λῃστὰς
ἀνδροφόνους ἁλίαις κτεῖνεν ἐπὶ Στροφάσιν.
ἀλλ' ἴθι νῦν παροδῖτα, τὸν ἐκ χθονὸς Ἀλκινόοιο
χαῖρ' εἰπών, ἀγαθοῦ παῖδ' ἀγαθὸν Σατύρου.

Digitized by Google

252.

*Μ. ΣΕΜΠΡΩΝΙΟΣ ΝΙΚΟΚΡΑΤΗΣ.*

ἤμην ποτὲ μουσικὸς ἀνήρ,
ποιητὴς καὶ κιθαριστής,
μάλιστα δὲ καὶ συνοδίτης.
    πολλὰ βυθοῖσι καμών,
ἀδοιπορίαις δ' ἀτονήσας,
ἔμπορος εὐμόρφων γενόμην,
φίλοι, μετέπειτα γυναικῶν.
πνεῦμα λαβὼν δάνος οὐρανόθεν,
τελέσας χρόνον, ἀνταπέδωκα·
    καὶ μετὰ τὸν θάνατον
Μοῦσαι τὸ σῶμά μου κρατοῦσιν.

253.

Νᾶμα τὸ Διηνόν, γλυκερὸν ποτόν· ἢν δέ γε πίνῃς,
    παύσῃ μὲν δίψης, εὐθὺ δὲ καὶ βιότου.

254.

Νάξιος εὐεργός με γένει Λητοῦς πόρε, Βύζεω
    παῖς, ὃς πρώτιστος τεῦξε λίθου κέραμον.

255.

Ναὸς μὲν φιάλαν χρυσέαν ἔχει, ἐκ δὲ Τανάγρας
    τᾶς Λακεδαιμονίοις συμμαχίδος γε τεθὲν

---

Nr. 253. V. 1. πίῃς. Vulgo. Nr. 254. V. 1. Εὔεργος. corr. Sylb.

δῶρον, ἀπ' Ἀργείων καὶ Ἀθηναίων καὶ Ἰώνων
τὰν δεκάταν, νίκας εἵνεκα τῶ πολέμω.'

256.

Νηὸν [μὲν] σιγαλόεντα Σαράπιδος ὑψιμέδοντος,
ἠδ' αὐτὸν χρυσοῦ παμφανόωντα βολαῖς,
στήσαντο ζάκορός τε Διόςκορος, ἡ δὲ Κυρίλλου
σύνετις, ἡ μακάρων μή πυτε ληθομένη,
καὶ δύο τῆς αὐτῆς γενεῆς ἕνα θεσμὸν ἔχοντες,
οἷσι μέμηλε κλυτῆς ἔργα νεωκορίης.

257.

Νήπιός εἰμι τυχὼν τύμβου τοῦδ', ὦ παροδῖτα,
ὅσσ' ἔπαθον δὲ βαιῷ τέρματί μου βιοτῆς,
ἐγκύρσας λάνᾳ στήλῃ, τάχα καὶ σὺ δακρύσεις·
ματρὸς ἀπ' ὠδίνων ὡς εἰς φάος ἤγαγον Ὧραι,
ἐκ γαίης με πατὴρ ἐμὸς εἵλατο χερσὶ γεγηθώς,
καί μ' ἀπέλουσε λύθρου κείς σπάργανά μ' αὐτὸς ἔθηκεν·
ηὔχετο δ' ἀθανάτοις, ἅπερ οὐκ ἤμελλεν ἔσεσθαι·
Μοῖραι γὰρ πρῶται περί μου κεκρίκεισαν ἅπαντα·
καί μ' ἔτρεφεν γενέτης μητέρα μου τροφὸν εἰλάμενος·
αὐτίκα δ' ηὐξανόμην εὐερνής, πᾶσι ποθητός.

---

Nr. 256. V. 1. Fort. μὲν delendum. Nr. 257. V. 8. Fort. ἔναντα. V. 9. Fort. γενέτης σὺ τροφόν.

*ἐν δ' ὥραις ὀλίγαις Μοιρῶν σφραγῖδες ἐπῆλθον,*
*αἵ με νόσῳ πῆξαν χαλεπῇ διδύμους περὶ .......*
*ἀλλ' ὁ ταλαίφρων γεννήσας ἰάσατο μοῦνος*
*τοῦτο, δοκῶν ὅτι Μοῖραν ἐμὴν ἰάμασι θέλγει.*
*. . . . καὶ τότε δή μ' ἑτέρα νόσος εἷλε κακίστη,*
*τῆς προτέρης νούσου πουλύ τι χειροτέρη·*
*σῆψιν γὰρ λαιοῦ πεδίον ποδὸς εἶχεν ἐν ὀστοῖς·*
*εἶτ' ἔταμόν με φίλοι γενέτου, καί μ' ὀστέ' ἀνεῖλαν,*
*λύπας καὶ στοναχὰς τοῖς μου τοκέεσσι διδόντα·*
*καὶ ταῦθ' ὡςαύτως ἰάθην πάλιν, ὡς τὰ πάροιθεν·*
*οὐδ' οὕτως γένεσις δεινὴ πλησθεῖσ' ἐκορέσθη·*
*ἀλλ' ἑτέραν πάλι μοι νόσον ἤγαγε γαστρὸς Μοῖρα,*
*σπλάγχνα μοι ὀγκώσασα, καὶ ἐκτήξασα τὰ λοιπά,*
*ἄχρις ὅτου ψυχὴν μητρὸς χέρες εἷλαν ἀπ' ὄσσων.*
*ταῦτ' ἔπαθον βαιῷ τέρματί μου βιοτῆς (ξένε).*
*καὶ κατέλειπον τηκεδόνας τοῖσί με γειναμένοις.*
*αἰνόμορος λείψας τρεῖς συνομαίμονας ἀστεφανώτους.*

### 258.

*Ἐχέμβροτος Ἀρκὰς ἔθηκεν Ἡρακλεῖ.*

*Νικήσας τόδ' ἄγαλμ' Ἀμφικτυόνων ἐν ἀέθλοις,*
*Ἕλλησιν δ' ᾄδων μέλεα καὶ ἐλέγους.*

---

V. 12. Fort. *τῆξαν.* et *περὶ νεφροῖς.* V. 15. Fort. *οὐ δὴν· καὶ.* V. 17. *γαρμου.* Marm.

259.

Νύμφαι Κρηναῖαί με συνήρπασαν ἐκ βιότοιο,
καὶ τάχα που τιμῆς εἵνεκα τοῦτ' ἔπαθον,
νηπίη, οὐδὲ δυοῖν ἐτέοιν τέλος ἐξανύσασα,
Φιλησίη τὴν κλῆσιν, Αὐσονὶς γένος.

260.

Νυμφιδίου θαλάμοιο λιπὼν δυςπενθέα κόσμον,
καὶ γονέων οἰκτρῶν δακρυόεντα δόμον,
κεῖμαι ἐς αὐχμηροὺς καὶ ἀλαμπέας Ἄϊδος εὐνάς,
εἰκοσιτέσσαρ' ἔχων Κασσιόδωρος ἔτη.
ἀπροϊδὴς νοῦσός με συνήρπασε· μουνογενῆ δὲ
νηπίαχον κούρην λείπω ὑπ' ἠέλιον.

261.

Νὺξ μὲν ἐμὸν κατέχει ζωῆς φάος ὑπνοδοτείρη,
ἀλγεινὸν λύσασα νόσων δέμας, ἡδέϊ ὕπνῳ,
λήθης δῶρα φέρουσ' ἐπ' ἐμοὶ πρὸς τέρμασι μοίρης·
ψυχὴ δὲ κραδίης δράμ' ἐς αἰθέρ' ἐπείκελος αὔρῃ,
κοῦφον ἐπαιωροῦσα δρόμου πτερὸν ἠέρι πολλῷ·
καί με θεῶν μακάρων κατέχει δόμος ἄσσον ἰόντα,
οὐρανίοις τε δόμοισι βλέπω φάος Ἠριγενείης.
τιμὴ δ' ἐκ Διός ἐστι σὺν ἀθανάτοισι θεοῖσι

---

Nr. 260. V. 5. μουνογόνην. Toup.

Ἑρμείαο λόγοις, ὅς μ' οὐρανὸν ἤγαγε χειρῶν,
αὐτίκα τιμήσας, καί μοι κλέος ἐσθλὸν ἔδωκεν
οἰκεῖν ἐν μακάρεσσι καὶ οὐρανὸν ἀστερόεντα,
χρυσείοισι θρόνοισι παρήμενον ἐς φιλότητα.
καί με παρὰ τριπόδεσσι καὶ ἀμβροσίῃσι τραπέζαις
ἡδόμενον κατὰ δαῖτα θεοὶ φίλον εἰσορόωσιν,
κρατὸς ἀπ' ἀθανάτοιο * πατρῃσι μειδιόωντες
. . . . . ' . . προχόαισιν ἐπισπένδω μακάρεσσιν.

262.

Ξανθίππην Ἀκύλα μνήμῃ βιότου παρέδωκε,
βωμῷ τιμήσας σεμνοτάτην ἄλοχον,
παρθένον ἧς ἀπέλυσε μίτρην, ἧς ὥριον ἄνθος
ἔσκεν, ἐν ἡμιτελεῖ πανσάμενον θαλάμῳ.
τρεῖς γὰρ ἐπ' εἰκοσίοις τελέωσε βιοῦσ' ἐνιαυτούς,
καὶ μετὰ τούσδ' ἔθανεν τοῦτο λιποῦσα φάος.

263.

Ξεῖνε, Φιλητᾶς εἰμί· λόγων ὁ ψευδόμενός με
ὤλεσε, καὶ νυκτῶν φροντίδες ἑσπέριοι.

264.

Οἵδε Βίτων Κλέοβίς τ' ἐπὶ σώμασιν οἰκείοισι
ζεύγλαν ζευξάμενοι, μητέρα ἣν ἀγέτην,

---

Nr. 261. V. 11. Fort. κατ' οὐρανόν. V. 15. Fort. πατρὸς θεῶν μειδιόωντος. V. 16. Fort. χρυσείαις προχόαισι δ' ἔπι. Nr. 264. V. 2. Fort. μητέρ' ἑήν.

Digitized by Google

*Ἥρας εἰς ἱερόν· λαοὶ δέ μιν ἐζήλωσαν*
*εὐτεκνίας παίδων· ἡ δὲ χαρεῖσα θεᾷ*
*εὔξατο, παῖδε τυχεῖν τοῦ ἀρίστου δαίμονος αἴσης,*
*οὕνεκ᾽ ἐτίμησαν μητέρα τὴν σφετέρην.*
*αὐτὼ δ᾽ εὐνηθέντε, λίπον βίον ἐν νεότητι,*
*ὡς τόδ᾽ ἄριστον ἐὸν καὶ μακαριστότατον.*

265.

*εἰς πάππον ἀκάνθης.*

*Οἶδ᾽ ἐγώ, ὃς νέος ὢν ἐστὶν βαρύς· ἂν δὲ γέρων ᾖ,*
*ἄπτερος ὢν κούφως πέταται, καὶ γῆν ἀφανίζει.*

266.

*Οἵδε πάτρας ἕνεκα σφετέρας εἰς δῆριν ἔθεντο*
*ὅπλα, καὶ ἀντιπάλων ὕβριν ἀπεσκέδασαν·*
*μαρνάμενοι δ᾽ ἀρετῆς καὶ δείματος, οὐκ ἐσάωσαν*
*ψυχάς, ἀλλ᾽ Ἀΐδην κοινὸν ἔθεντο βράβην,*
*οὕνεκεν Ἑλλήνων, ὡς μὴ ζυγὸν αὐχένι θέντες*
*δουλοσύνης, στυγερὰν ἀμφὶς ἔχωσιν ὕβριν.*
*γαῖα δὲ πατρὶς ἔχει κόλποις τῶν πλεῖστα καμόντων*
*σώματ᾽, ἐπεὶ θνητοῖς ἐκ Διὸς ἥδε κρίσις.*
*μηδὲν ἁμαρτεῖν ἐστι θεῶν καὶ πάντα κατορθοῦν·*
*ἐν βιοτῇ Μοῖραν δ᾽ οὔτι φυγεῖν ἔπορον.*

---

Nr. 266. V. 3. Fort. *ἀρετῇ, δίχα δείματος.*

267.

Οἰνία Οἰβώτας στάδιον νικῶν ὅδ' Ἀχαιὸς
πατρίδα Παλείαν θῆκ' ὀνομαστοτέραν.

268.

Οἳ στύγιον χῶρον ὑποναίετε, δαίμονες ἐσθλοί,
δέξασθ' εἰς Ἀΐδην κἀμὲ τὸν οἰκτρότατον,
οὐ κρίσει ἐκ Μοιρῶν ἡρπασμένον, ἀλλὰ βιαίως
αἰφνιδίῳ θανάτῳ μήνιος ἐξ ἀδίκου,
ἄρτι μὲν ἐν προκοπῆς τάξει παρὰ δεσπότῃ ὄντα,
ἄρτι δὲ καὶ γενειῶντ'· οὐδ' εἴκοσι τέρμ' ἐνιαυτῶν
ἐκτελέσας, γοερὸς οὐκ ἐσορῶ τὸ φάος.
τοὔνομά μοι Ὕπατος· λίτομαι δ' ἔτι τὸν συνόμαιμον,
τοὺς δὲ γονεῖς κλαίειν μηκέτι τοὺς τάλανας.

269.

Ὀκτωκαιδεκάτου με καταρχόμενον λυκάβαντος,
ἄρτι τε ῥητορικῆς ἔργα διδασκόμενον,
Λέσβῳ ἐν εὐδένδρῳ βαρυαλγὴς νοῦσος ἐδάμνα,
κοὐκέτ' ἐς ἱμερτὴν γαῖαν ἔβην Ἐφέσου.
αὐτοκασίγνητος δὲ καμὼν μάλα πολλά, τοκεῦσι
πένθος ἐπ' ὠκυάλου νηὸς ἔδωκε φέρων.
ναίω δ' ἡρώων ἱερὸν δόμον, οὐδ' Ἀχέροντος·
τοῖον γὰρ βιότου τέρμα σοφοῖσιν ἔνι.

---

Nr. 268. V. 3. κιαιωι. Mur. V. 7. Fort. γοερῶς. c. Dorv.

Digitized by Google

270.

Ὄντως σῆς ἀρετῆς, Αὐξέντιε, καὶ τόδε θαῦμα,
δείμασθαι ποταμοῦ χειμερίοισι δρόμοις
ἄῤῥηκτον κρηπῖδα σιδηροδέτοισι θεμείλοις,
ὧν ὕπερ εὐρείην ἐξετάνυσσας ὁδόν,
ἣν πολλοὶ καὶ πρόσθεν ἀπειρίησι νόοιο
Κυδναίων ῥείθρων τεῦξαν ἀφαυροτέρην·
σοὶ δ' ὑπὲρ ἀψίδων αἰώνιος ἐῤῥίζωται,
καὶ ποταμὸς πλήθων πρηΰτερος τελέθει.
αὐτὸς τήνδε γέφυραν ἀνασχόμενος τελέσασθαι
ἡγεμόνος Πίθου τοῦ διασημοτάτου,
ὄφρα σε καὶ μετόπισθεν ἔχοι κλέος ἶσον ἐκείνοις,
οἳ Νείλου προχοὰς ζεῦξαν ἀπειρεσίους.

271.

Ὀππιανὸς κλέος εἷλον ἀοίδιμον, ἀλλ' ἐμὲ Μοιρέων
βάσκανος ἐξήρπαξε μίτος, κρυερός τ' Ἀΐδης με
καὶ νέον ὄντα κατέσχε, τὸν εὐεπίης ὑποφήτην.
εἰ δὲ πολύν με χρόνον ζωοῖς μίμνειν φθόνος αἰνὸς
εἴασ', οὐκ ἄν τις μοι ἶσον γέρας ἔλλαχε φωτῶν.

272.

Ὀῤῥίππῳ Μεγαρῆς με δαΐφρονι τῇδ' ἀρίδηλον
μνᾶμα θέσαν, φάμᾳ Δελφίδι πειθόμενοι,

---

Nr. 271. V. 5. εἴασεν. Vulgo.

ὃς δὴ μακίστους μὲν ὅρους ἀπελύσατο πάτρᾳ,
πολλὰν δυσμενέων γᾶν ἀποτεμνομένων·
πρᾶτος δ' Ἑλλάνων ἐν Ὀλυμπίᾳ ἐστεφανώθη
γυμνός, ζωννυμένων τῶν πρὶν ἐνὶ σταδίῳ.

273.

Ὀστέα μὲν καὶ σάρκας ἐμὰς σπιλάδες διέχευαν
ὀξεῖαι, κρημνῶν ἅλμ' ὑποδεξάμεναι·
ψυχὴ δ' αἰθέριον κατέχει πόλον. ἀξυνέτων δὲ
βουλαῖς ἀνθρώπων τοῦδ' ἔτυχον θανάτου.

274.

ἐπὶ τῷ Ἀθήνησιν ἀνδριάντι Κλεοίτου.

Ὃς τὴν ἱππάφεσίν σευ, Ὀλυμπία, εὕρατο πρῶτος,
τεῦξέ με Κλειοίτας υἱὸς Ἀριστοκλέους.

275.

Ὅστις, καὶ τίνος εἰμὶ τὰ πρόσθεν γράμματα φράζει·
ἀμφὶ δ' ἐμῆς μοίρης πᾶς ἐδάκρυσε λεώς·
οὕνεκεν οὐκ ἔφθην χλαῖναν περὶ αὐχένι θέσθαι,
κώμῳ ἐν ἠγαθέῳ παυσάμενος βιότου.

276.

Οὐδὲ Τύχης σε δάμασσε παλιγκλίναντα τάλαντα,
δυσμενέων ὀλοὴν ὕβριν ἀλευάμενον·

Digitized by Google

. . . . . . ἤ σε τέλος θανάτοιο κίχανεν,
    ὡς παύρους προτέρων ἀνέρας ἀγχιθέων·
τῷ ῥα καὶ ἀζόμενος σοφίης ἑὸν ἡγητῆρα
    στῆσεν Ἀλέξανδρος κλεινὸν ἅπασι θεόν.

277.

αἴνιγμα, εἰς ὕπνον.

Οὐ θνητός, οὐδ' ἀθάνατος, ἀλλ' ἔχων τινὰ
σύγκρασιν, ὥστε μήτ' ἐν ἀνθρώπου μέρει
μήτ' ἐν θεοῦ ζῆν· ἀλλὰ φύεσθαί τ' ἀεὶ
καινῶς, φθίνειν τε τὴν παρουσίαν πάλιν.
ἀόρατος ὄψιν, γνώριμος δ' ἅπασιν ὤν.

278.

Οὐκ ἔθανες, Πρώτη, μετέβης δ' ἐς ἀμείνονα χῶρον,
καὶ ναίεις μακάρων νήσους θαλίῃ ἐνὶ πολλῇ,
ἔνθα κατ' Ἠλυσίων πεδίων σκιρτῶσα γέγηθας
ἄνθεσιν ἐν μαλακοῖσι, κακῶν ἔκτοσθεν ἁπάντων·
οὐ χειμὼν λυπεῖ σ', οὐ καῦμ', οὐ νοῦσος ἐνοχλεῖ,
οὐ πείνη σ', οὐ δίψος ἔχει σ'· ἀλλ' οὐδὲ ποθεινὸς
ἀνθρώπων ἔτι σοι βίοτος. ζώεις γὰρ ἀμέμπτως
αὐγαῖς ἐν καθαραῖσιν Ὀλύμπου πλησίον ὄντος.

279.

Οὐκ ἔθος ἐστὶν ἐμοὶ φράζειν γένος, οὐδ' ὄνομ' αὐτό·
    νῦν δ' ἕνεκ' Αἰλιανοῦ πάντα σαφῶς ἐρέω.

Digitized by Google

πατρὶς ἐμοὶ χθὼν πᾶσα, τὸ δ' οὔνομά φασιν Ὅμηρον·
ἔστι δὲ Μουσάων, οὐκ ἐμὸν οὐδὲν ἔπος.

280.

Οὐκ ἤμην, γενόμην· ἤμην, οὐκ εἰμί· τοσαῦτα·
εἰ δ' ἄλλως τις ἐρεῖ, ψεύσεται· οὐκ ἔσομαι.

281.

Οὐρανίων πάντων βασιλεῦ, χαῖρ' ἄφθιτ' Ἄνουβι,
σός τε πατὴρ χρυσοστέφανος πολύσεμνος Ὄσιρις,
αὐτὸς Ζεὺς Κρονίδης, αὐτὸς μέγας ὄβριμος Ἄμμων,
κοίρανος ἀθανάτων, * προτεη μητίεσσι Σάραπις,
σὴ δὲ μάκαιρα θεὰ μήτηρ πολυώνυμος Ἶσις,
ἣν τέκεν Οὐρανὸς εὐφρονίδης ἐνὶ κύμασι πόντου
μαρμαρέοις, θρέψεν δ' Ἔρεβος φῶς πᾶσι βροτοῖσι,
πρεσβίστην μακάρων ἐν Ὀλύμπῳ σκῆπτρον ἔχουσαν,
καὶ γαίης πάσης καὶ πόντου δῖαν ἄνασσαν.

282.

Οὔρεσι Ταλλαίοισιν ἱδρυμένε Μαιάδος Ἑρμῆ,
σπονδὴν καὶ θυσίην δέξο φιλοφρόσυνος,

---

Nr. 280. V. 2. εἰ δέ τις ἄλλος ἐρεῖ. Mur. Nr. 281. V. 4. Fort. προφέρων μητ.

ἣν σοι Σαλλόνιος Μηνᾶς λοιβαῖσι γεραίρει,
κτήσεος ἐξ ὁσίης ψυχικὰ δῶρα διδούς.
καὶ πρὶν μὲν ζώσης ἀλόχου φάος εἰσοροώσης,
σὺν κείνῃ κατ' ἔτος σοὺς ἐγέραιρε τόπους.
ἀνθ' ὧν δ' ἐγχρονίσας ἐπετήσιον οὐκ ἀπέδωκε,
συμβίου ἁγνοτάτας τοῦδε καταφθιμένας,
ἀλγήσας φρένα πολλά, μαθὼν δ' ὅτι δεῖ τά γε θεῖα
τιμᾶν, διπλῇ σοι τήνδ' ἔπορεν θυσίαν.
καὶ σὺ δὲ παντοκράτωρ Ἐριούνιε, τόνδε φυλάσσοις
ζωόν, ὅπως τιμᾷ σὸν δι' ὅλου τέμενος.

283.

Οὔριον ἐκ πρύμνης τὶς ὁδηγητῆρα καλείτω
Ζῆνα, κατὰ προτόνων ἱστίον ἐκπετάσας·
εἴτ' ἐπὶ Κυανέας δίνας δρόμος, ἔνθα Ποσειδῶν
καμπύλον εἱλίσσει κῦμα παρὰ ψαμάθοις,
εἴτε κατ' Αἰγαίην πόντου πλάκα νόστον ἐρευνᾷ,
νείσθω, τῷδε βαλὼν ψαιστὰ παρὰ ξοάνῳ.
ὧδε τὸν εὐάντητον ἀεὶ θεὸν Ἀντιπάτρου παῖς
στῆσε Φίλων, ἀγαθῆς σύμβολον εὐπλοΐης.

284.

εἰς Πυθαγόραν Σάμιον τὸν πύκτην.

Οὗτος πυκτεύσων ἐς Ὀλύμπια παισὶν ἄνηβος
ἤλυθε Πυθαγόρας ὁ Κράτεω Σάμιος.

285.

*ἐπὶ τῷ Μαρκέλλου ἀνδριάντι, ἐν τῷ ἱερῷ τῆς Ἀθη-
νᾶς ἐν Λίνδῳ.*

*Οὗτός τοι Ῥώμης ὁ μέγας, ξένε, πατρίδος ἀστήρ,
Μάρκελλος κλεινῶν Κλαύδιος ἐκ πατέρων,
ἑπτάκι τὰν ὑπάταν ἀρχὰν ἐν ἄρηϊ φυλάξας,
καὶ πολὺν ἀντιπάλων ἐγκατέχευε φόνον.*

286.

*Οὐ φαύλως ἔστησα κατ' ὀφθαλμούς σε, Μένανδρε,
τῆσδέ γ' Ὁμηρείης, φίλτατέ μοι, κεφαλῆς·
ἀλλά σε δεύτερ' ἔταξε σοφὸς κρίνειν μετ' ἐκεῖνον
γραμματικὸς κλεινὸς πρόσθεν Ἀριστοφάνης.*

287.

*Οὐχ ὁσίως ἥρπαξας ὑπὸ [χθόνα], κοίρανε Πλουτεῦ,
πενταέτη νύμφην πᾶσιν ἀγαλλομένην.
οἷα γὰρ ἀρχομένου ῥόδον εὔπνοον εἴαρος ὥρῃ
ἐξέτεμες ῥίζης, πρὶν χρόνον ἐκτελέσαι.
ἀλλ' ἄγ' Ἀλέξανδρα, καὶ Φίλτατε, μηκέτ' ὀδυρμοὺς
ἱμερτῇ κούρῃ σπένδετε μυρόμενοι.
εἶχεν γὰρ χάριν, εἶχεν ἐφ' ἡδυχρόοισι προσώποις,
αἰθέρος ὥστε μένειν ἀθανάτοισι δόμοις.
τοῖς πάρος οὖν μύθοις πιστεύσατε. παῖδα γὰρ ἐσθλὴν
ἥρπασαν, ὡς τερπνήν, Ναΐδες, οὐ Θάνατος.*

Digitized by Google

288.

*εἰς φιλοσόφους.*

*Ὀφρυανασπασίδαι, ῥινεγκαταπηξιγένειοι,*
*σακκογενειοτρόφοι, καὶ λοπαδαρπαγίδαι,*
*εἱματανωπερίβαλλοι, νηλιποκαιβλεπέλαιοι,*
*νυκτιλαθραιοφάγοι, νυκτιπαταιπλάγιοι,*
*μειρακιεξαπάται, καὶ συλλαβοπευσιλαβηταί,*
*δοξοματαιόσοφοι, ζηταρετησιάδαι.*

289.

*Παῖδά με τεθνειῶτα τεὴ κατὰ γαῖα καλύπτει,*
*νηπίαχον, γνωτοῖς πᾶσιν ἄχος Φιλίης,*
*πατρί τ' ἐμῷ μέγα πῆμ' ἔλιπον καὶ μητρὶ ταλαίνῃ,*
*οἳ ἔπορον δεινὴν ἄλγεσιν ἀμπεχόνην.*
*εἰ δὲ θέλεις γνῶναι, τίς καὶ πόθεν, οὔνομα τοὐμόν,*
*Ἔκλεκτός τοι ἐγὼ κικλήσκομαι· αὐτὰρ ἔπειτα*
*Παλλάς μοι μήτηρ, Ταΰγετος γενέτωρ·*
*ἑπτὰ δὲ πεντήκοντ' ἔσχον μῆνας, εἴκοσί θ' ἡμέρας.*

290.

*Παιδὸς μὲν γενετῆρες, ἐπεὶ γέρας ἐστὶ θανόντων,*
*κείροντες κλαίεσκον ἀναισθήτῳ περὶ τύμβῳ·*

---

Nr. 289. V. 1. Fort. *τεθνειῶτ' ἀγαθῇ κατά.* V. 4. Fort. *οἷς ἔπορον.* Nr. 290. V. 1. *πηνος.* Mur. *σκῆνος.* Flestw. corr. — Fort. *ὅ τοι γέρας.*

ψυχὴ δ' εἰς τὸ δίκαιον ἔβη· ἦν δ' οὔνομα τοὐμὸν
Νήδιμος, Ἰταλικῆς ἀδαὴς παῖς, ἥμερος ὄντως·
οὐκ ἤμην ἔμπροσθε πολὺν χρόνον, εἶτ' ἐγενήθην
εἰς ὀλίγον ἐτέων ἐναρίθμιος· ἄστατος αἰὼν
οὐκ ἀνάδραστον ἔχει ἴδιον δρόμον· ἧς δ' ἔλαχέν τις
μοίρης, ταύτην ἐκτελέσει· καὶ γὰρ βασιλῆες.
ταῦτ' ἐπέγραψε πατὴρ ὁ Ζώσιμος, εἵνεκ' ἐμεῖο,
αἰεὶ μνηστὸν ἔχων ψυχῆς πόθον ἀθανάτοιο.

291.

Πανσόφου ὀργὴν ἴσχε Φιλοστράτου, ὃς Κλεοπάτρᾳ
νῦν προσομιλήσας, τοῖος ἰδεῖν ἐφάνη.

292.

Πάντες, Μιλτιάδη, * ταλαρήϊα ἔργα ἴσασιν
Πέρσαι, καὶ Μαραθὼν σῆς ἀρετῆς τέμενος.

293.

Παντοδαπῶν ἀνδρῶν γενεὰς Ἀσίης ἀπὸ χώρας
παῖδες Ἀθηναίων τῷδέ ποτ' ἐν πελάγει
ναυμαχίῃ δαμάσαντες, ἐπεὶ στρατὸς ὤλετο Μήδων,
σήματα ταῦτ' ἔθεσαν παρθένῳ Ἀρτέμιδι.

---

V. 6. ἀναρίθμιος. Mur. Nr. 292. V. 1. Fort. σά γ' ἀρήϊα. sive ταλακάρδια.

294.

Πάντως ὁ χρόνος εὗρε δίκην ἀδίκῳ βασιλῆϊ·
    εὗρε δὲ Μεσσήνης σὺν Διῒ τὸν προδότην
ῥηϊδίως· χαλεπὸν δὲ λαθεῖν θεὸν ἄνδρ᾽ ἐπίορκον.
    χαῖρε Ζεῦ βασιλεῦ, καὶ σάω Ἀρκαδίαν.

295.

Πάτρα Μίλητος τίκτει Μούσαισι ποθεινὸν
    Τιμόθεον, κιθάρας δεξιὸν ἡνίοχον.

296.

Πατρίδος ἐκ Σμύρνης βροτοί μ᾽ Εὐθαλέα καλέεσκον,
    εἵνεκ᾽ ἐμῆς ὥρης καὶ μεγέθους ἐρατοῦ.
ἀλλά με Μοῖρ᾽ ὀλοή, πρὶν ἰούλοις πλῆσαι παρειάς,
    ἥρπασε πὰρ φιλίων, οὓς τοκέας ἐκάλουν.

297.

εἰς εἰκόνα Φαΰλλου πεντάθλου Κροτωνιάτου.

Πέντ᾽ ἐπὶ πεντήκοντα πόδας πήδησε Φαΰλλος·
    δίσκευσεν δ᾽ ἑκατὸν πέντ᾽ ἀπολειπομένων.

298.

Πίστιν ἔχων βασίλειαν ἐμῶν μενέων συνέριθον,
σοί, μάκαρ Ὑψίμεδον, τόνδ᾽ ἱερὸν ἔκτισα νηόν,

Nr. 294. V. 2. *Μεσσήνη.* ap. Polyb. Nr. 295. V. 1. *τὸν Μουσ.* Vulg. Nr. 296. V. 3. *πλῆσα.* corr. Ruhnk.

Ἑλλήνων τεμένη καὶ βωμοὺς ἐξαλαπάξας,
χειρὸς ἀπ' οὐτιδανῆς Ἰοβιανὸς ἔδνον ἄνακτι.

299.

Πιτθεῖδαι Θεόδωρον, ἐπεὶ πόλιν ηὔξησε
πευκαλίμοις ἀγανῆς μήδεσι προστασίης,
ναὶ μὴν καὶ κτεάτιστον ἐπεὶ λίπε πᾶσι νέμεσθαι
ἄργυρον ἐς γενεὴν πᾶσαν ἐπεσσομένην.

300.

Πλείστην δὴ θνητῶν ἀρετὴν πατρί μητρί τε δείξας
κεῖθ' Ἡρακλείδης ὁ Φίλωνος Δήλιος ὧδε.

301.

Ποιητής, ἄθλων τε βραβεύς, αὐτός τε χορηγός,
σοὶ τόδ' ἔθηκεν, ἄναξ, μνῆμα χοροστασίης.
οὐκ ἀφανὴς Ἕλλησιν Ἀριστείδης ἀνέθηκε,
μύθων ἀενάων κύδιμος ἡνίοχος.

302.

ἐπὶ τῷ Ἀθήνησιν πρὸς τῇ Ἀκαδημίᾳ Ἔρωτι.

Ποικιλομήχαν' Ἔρως, σοὶ τόνδ' ἱδρύσατο βωμὸν
Χάρμος ἐπὶ σκιεροῖς τέρμασι γυμνασίου.

---

Nr. 299. V. 1. *ΗΕΞΗΕΕ*. Chandl.

303.

Πολλὰ μεθ' ἡλικίας ὁμοήλικος ἡδέα παίσας,
 ἐκ γαίας βλαστὼν, γαῖα πάλιν γέγονα·
εἰμὶ δ' Ἀριστοκλῆς Πειραιεὺς, παῖς δὲ Μένωνος.

304.

Λουτροῦ ἔπαινος.

Πολλῶν τὸ λουτρὸν αἴτιον δωρημάτων·
χυμοὺς κατασπᾷ, φλέγματος λύει πάχος,
χολῆς περιττὸν ἐκκενοῖ τῶν ἐγκάτων,
τὰς θελξιπίκρους κνησμονὰς κατασθενεῖ,
τὴν βλεπτικὴν αἴσθησιν ὀξύνει πλέον,
ὤτων καθαίρει τοὺς πόρους δυσηκόοις,
μνήμην φυλάττει, τὴν δὲ λήθην ἐκφέρει,
τρανοῖ τε τὸν νοῦν πρὸς νοήσεις εὐθέως,
τὴν γλῶτταν εὐκίνητον εἰς λόγους ἔχει,
ὅλον τὸ σῶμα τῇ καθάρσει λαμπρύνει.

305.

Πραξιτέλους ἤνθουν λαοξόος οὔ τι χερείων,
 ἐς δ' ἐτέων δισσὰς ἤλυθον ὀγδοάδας·
οὔνομα δ' Εὐτυχίδης ψευδώνυμον, ἀλλά με δαίμων
 θῆκεν ἀφαρπάξας ὠκύτατ' εἰς Ἀΐδα.

---

Nr. 303. V. 3. πειραιπαις. Chandl. Nr. 304. V. 6. τῆς ἀκοῆς τοὺς πόρους. Cod.



Digitized by Google

306.

Πρωθήβην ἔτι κοῦρον, ἔτι χνοάοντος ἰούλου
δευόμενον, φθονερὴ Μοῖρα καθεῖλε βίου,
πολλὰ σοφῆς χερὸς ἔργα λελοιπότα. βάσκανε δαῖμον,
οἵας οὐχ ὁσίως ἐλπίδας ἐξέταμες.
ἀλλὰ σύ, Γαῖα, πέλοις ἀγαθὴ κούφη τ' Ἀκυλίνῳ,
καὶ δὲ παρὰ πλευρὰς ἄνθεα λαρὰ φύοις,
ὅσσα κατ' Ἀραβίους τε φέρεις, ὅσα τ' ἐστὶ κατ' Ἰνδούς·
ὡς ἂν ἀπ' εὐόδμου χρωτὸς ἰοῦσα δρόσος
ἀγγέλλῃ τὸν παῖδα θεοῖς φίλον ἔνδοθι κεῖσθαι,
λοιβῆς καὶ θυέων ἄξιον, οὐχὶ γόων.
εἰκοσετῆ τὸν παῖδα θοὴ κατενήρατο Μοῖρα,
κἄστιν ἐν εὐσεβέων ἣν διὰ σωφροσύνην.

307.

Πυνθάνεαι τίς ἔφυν, ξένε, τίς τ' ἐγενήθην.
ὦ παροδῖτα, μάθε, στὰς ὀλίγον πρὸ τάφων·
γεννᾷ μὲν Γλαῦκός με πατήρ, τίκτει δέ με μήτηρ
Χρυσογόνη, καί μευ δύσμορος οὐκ ὄνατο.
τηλόθι γὰρ πάτρης Βιθυνίδος ὤλεσα θυμόν,
ναυτιλίῃ [λυγρῇ] νηΐ τ' ἐμῇ πίσυνος·
κεῖμαι δ' ἐν Σχερίῃ παρὰ θῖν' ἁλὸς ἠνεμόεσσαν,
ὕστατα λυγρὸν ἐμοὶ δερκόμενος πέλαγος.

---

Nr. 307. V. 1. Fort. εἰ τάχα πυνθάνεαι.

Digitized by Google

308.

ἐπὶ τῇ Κλέωνος τοῦ ᾠδοῦ εἰκόνι ἐν Θήβαις.

Πυθέα υἱὸς ὅδ᾽ ἐστὶ Κλέων Θηβαῖος ἀοιδός,
ὃς πλείστους θνητῶν ἀμφέθετο στεφάνους
κρατὸς ἐπὶ σφετέρου, καί οἱ κλέος οὐρανόμηκες·
χαῖρε Κλέων, Θήβας πατρίδ᾽ ἐπευκλεΐσας.

309.

εἰς Μάρκον Κάτωνα.

Πυῤῥόν, πανδακέτην, γλαυκόμματον, οὐδὲ θανόντα
Πόρκιον εἰς Ἀΐδην Φερσεφόνη δέχεται.

310.

Πωπιλίης τάφος οὗτος· ἀνὴρ δ᾽ ἐμὸς αὐτὸν ἔτευξεν
Ὠκεανός, πάσης ἐμπέραμος σοφίης.
κούφη τοιγὰρ ἐμοὶ πέλεται κόνις, ἐν δ᾽ Ἀχέροντι
ὑμνήσω τὴν σήν, ὦ ἄνερ, εὐσεβίην.
μέμνεο κὴν ζωοῖς ἐμέθεν, καὶ πολλάκι τύμβῳ
σπεῖσον ἀπὸ βλεφάρων δάκρυ᾽ ἀποιχομένῃ,
καὶ λέγε Πωπιλίην εὕδειν, ἄνερ· οὐ θεμιτὸν γὰρ
θνήσκειν τοὺς ἀγαθούς, ἀλλ᾽ ὕπνον ἡδὺν ἔχειν.

311.

εἰς βοῦν καὶ τράγον ἐπὶ πίνακος ἀργυροῦ ἐγκεκολαμμένους.

α. Πῶς βοῦς ὑπάρχων, αὔλακας γῆς οὐ τέμνεις,
ἀλλ᾽ ὡς πάροινος ἀγρότης ἀνεκλίθης;

β. πῶς οὐχὶ καὶ σὺ πρὸς νομὰς ἀποτρέχεις,
ἀλλ' ἀργυροῦν εἴδωλον ἕστηκας, τράγε;
α. ἕστηκα τὴν σὴν ἐξελέγχων ἀργίαν.

312.

Ῥεῖθρα Κασωλίνου ποταμοῦ βεβαρημένα νεκροῖς
  δέξατο Τυρσηνῆς ἠϊόνος κροκάλη,
ἡνίκα Φραγγικὰ φῦλα κατέκτανεν Αὐσονὶς αἰχμή,
  ὁππόσα δειλαίῳ πείθετο Βουτελίνῳ.
ὄλβιον ἂν τόδε ῥεῦμα, καὶ ἔσσεται ἀντὶ τροπαίου
  αἵματι βαρβαρικῷ δηρὸν ἐρευθόμενον.

313.

Ῥουφίνου τάφος οὗτος, ὃν Ἀστέριόν ποτ' ἔκληζον,
ὃς προλιπὼν Ῥώμης δάπεδον, Νείλου πόλιν ἐλθών,
καὶ προκοπαῖς λάμψας, πολλοῖσι δὲ πολλὰ παρασχών,
μηδένα λυπήσας, ἀλλ' εἰς τὸ δίκαιον ἀθρήσας,
Μοιρῶν οὐκ ἔφυγεν τρισσῶν μίτον, ἀλλὰ νεκρωθεὶς
τὴν ψυχὴν ἀπέδωκεν ἐς ἀέρα, σῶμα δὲ πρὸς γῆν.
ἀλλὰ καὶ εὐσεβίης ἔσχε κρίσιν ἐν φθιμένοισι,
καὶ πάλιν εἶδε τὸ φῶς νεκρὸς ὤν, καὶ πόντον ἔπλευσε,
καὶ χώρης ἰδίης ἐπέβη· σὺν παισὶ δὲ κεῖται,
ὧν οὐκ εἶδε τέλος θανάτου, πρῶτος γὰρ ἔθνησκε.

---

Nr. 311. V. 3. πῶς δ' οὐχί. Br. Nr. 312. V. 1. Κασουδίνου. Vulg. V. 5. Scr. ὄλβιον οὖν c. Schaefero.

Digitized by Google

ἡ δὲ τέκνων δισσῶν μήτηρ σέμν' ἠδὲ φίλανδρος
καὶ πέλαγος διέπλευσε, καὶ ἤγαγε σῶμα βυθοῖσι,
καὶ καμάτους ὑπέμεινε, καὶ ἐν θρήνοις διέμεινε,
καὶ τύμβῳ κατέθηκε, καὶ αἰῶσιν παρέδωκε.
Δαμοστρατείας ταῦτα τῆς φιλανδρίας.

314.

Σβεννῦντας ποτὲ τούσδε τυραννίδα χάλκεος Ἄρης
εἷλε· Σελινοῦντος δ' ἀμφὶ πύλας ἔθανον.

315.

Σῆμα μὲν ἐν στήλῃ γλυπτῇ θέσαν, ἡνίκ' ἐγὼ μὲν
ἀελίου γλυκερὴν λεῖπον ἐπισκοπίην·
νηλειὴς δέ με δέκτο μυχὸς καὶ ἀλάμπετον οὖδας
αΐδεω μαρ . . . . . . . . . ὑπὸ σκοτίην·
πατρὸς μὲν Δημοσθένεος ἐτέων δέκα κ' εἴκοσί μ' οὖσαν,
ἴστε δέ με τριτάτην ἤματος ὀλλυμένην·
ὦ μητρὸς στυγερῆς καὶ ἀδελφεοῦ εἵνεκ' ἐμεῖο,
νοῦσος ἀκωλύτῳ μόρσιμος εἷλε τύχῃ.

316.

Σῆμά τοι, ὦ γλυκερὴ Τελεσίλλα, ἐνθάδ' ἔθηκεν
Εὐξενίδας ἀλόχῳ, λάχεν ἥν, ὅτι πάντοτε πλήρης

---

Nr. 315. V. 1. επωμεν. Maff. V. 2. επεσχατιην. Id. V. 3. ρηνειης. Id. V. 5. Fort. παῖδα Δημ. V. 6. εστε et τριταιην. Id. V. 8. μορσιμολ. Id. Nr. 316. V. 1. τοιο γλ. Mur. V. 2. η οι παντ.

πίστεος, εὐνοίης, ἀρετῆς, ἀγάπης τε, μένοι τε
ὄφρα καὶ ἐσσομένοισι τεὸν κλέος ἄφθιτον αἰεί.

317.

Σῆμα τόδ' Εὐδαίμων Διονυσίῳ, ὅν ῥ' ἕταρον ὥς
φίλατο, καὶ Μούσαις ἔξοχα φιλαμένῳ.
εἰ καί μοι θυμός, Διονύσιε, τείρεται αἰνῶς
ἀμφὶ σοί, ἀλλ' ἔμπης, οἷα πάρεστι, δέχου
ὕστατα δή, φίλε, δῶρα· τὰ δ' ἄλλα τοι, ὅσσα ἔοικε,
καὶ πάρος Εὐδαίμων δῶκε, καὶ οἰχομένῳ.
ζωὸν μὲν μεθέηκεν ἐλεύθερον, οὐδὲ πάροιθεν
οὔ σύ γ' ἐπειρήθης πώποτε δουλοσύνης.
ἦ γὰρ ἔης αὐτῷ κεχαρισμένος ἐξέτι παίδων,
ἤπιος, ἐσθλὸς ἰδεῖν, εὔνοος, ἀγχίνοος,
καρπαλίμως γράψαι σημήϊα διπλόα φωνῆς
Ἑλλάδος εὖ εἰδὼς ἠδὲ καὶ Αὐσονίων.
* * * * * *

318.

Σῆμα Φιλείνῳ τοῦτο φίλῳ δεῖμεν θεράποντι
Ἱπποκράτης πάσης εἵνεκεν εὐνοΐης.

319.

Σῆς ἕνεκεν, Λητοῦς τοξαλκέτα κοῦρ', ἐπινοίας
τήνδ' ἕλε Νικοκρέων τετράκερων ἔλαφον.

V. 3. μενοιτε. Id. Nr. 319. V. 1. ἐπιπνοίας. corr. Boissonade.

320.

Σμικρὸς οὐ σμικρὸν καλύπτω τύμβος ἄνδρ', ἐπεὶ σοφῶν
δῶρα Μουσέων μέγιστα, τῶν ὅδ' ἔξοχον λαχὼν
Ἁρποκρατίων πρὸς ἀστῶν τρὶς μάκαρ κλεΐζεται,
οὕνεκ' ἦν ῥήτωρ μὲν εἰπεῖν, φιλόσοφος δ' ἃ χρὴ νοεῖν.

321.

Σμικρός, φαλακρός, τραυλὸς ὁ Σταγειρίτης,
λάγνος, προγάστωρ, παλλακαῖς συνημμένος.

* ✲ *

πρὸς τὸν γράψαντα τοῦτο τὸ δίστιχον·

Ἀναλφάβητος οὑτοσὶ στιχογράφος,
ἄνους, ἄφρων, ἄγροικος, αὐθάδης, λάλος.

322.

Σοί, παιῆον ἄναξ, Ἀσκληπιέ, τήνδ' ἀνέθηκεν
εὐξάμενος στήλην λαϊνέην ὁ Βάλης,
νούσου ἐπεί μ' ἀκέσω βαρυαλγέος, οὕνεκα τῶν πρίν,
ὧν πάθον, ἰαθεὶς ἐκ σέθεν, οἶδα χάριν·
τοῦ δ' αὖ μέλλοντος λοιποῦ βίου, ὃν . . .

* * * * * *

Nr. 320. V. 3. κλεισεται. Marm.

323.

Σοὶ πλάκα τήνδ᾽ ἀνέθηκα, κόρη Διὸς ὑδατόεσσα,
πηγὴ Νυμφάων ἄφθιτε, νᾶμα φίλον·
ἔνθα πάλαι βασιλῆες ἀπὸ πτολέμοιο καμόντες
ἔγχεα καὶ κόρυθας κάτθεσαν ἱππολόφους,
ἐξ οὗ δὴ Δορύναμα τεὸς λάχεν οὔνομα χῶρος,
χῶρος ἐλαιηρῇ τερπόμενος λιβάδι.
πάντα δέ σοι νῦν ταῦτα δι᾽ ἐργατίναις παλάμαισι
τρισσὸν ὑπὸ λυκάβαν Γραμματικὸς τελέω.

324.

Σοὶ τόδ᾽ Ἀλέξανδρος Μακεδὼν κέρας ἄνθετο, Παιάν,
κάνθωνος Σκυθικοῦ χρῆμά τι δαιμόνιον,
ὃ Στυγὸς ἀχράντῳ Λουσηΐδος οὐκ ἐδαμάσθη
ῥεύματι, βάσταξεν δ᾽ ὕδατος ἠνορέην.

325.

Σόν ποτε νικήσας, Ζεῦ Ὀλύμπιε, σεμνὸν ἀγῶνα,
τεθρίππῳ μὲν ἅπαξ, μουνοκέλητι δὲ δίς,
δῶρ᾽ Ἱέρων τάδε σοι ἐχαρίσσατο· παῖς δ᾽ ἀνέθηκε
Δεινομένης, πατρὸς μνῆμα Συρακοσίου.

---

Υἱὸς μὲν γε Μίκωνος Ὀνατᾶς ἐξετέλεσσε,
νάσῳ ἐν Αἰγίνᾳ δώματα ναιετάων.

---

Nr. 323. V. 2. ορφιτε. Marm. V. 5. δορυκναμα. Marm.

Digitized by Google

326.

Σπεῖσον ἐμοὶ δακρύων ὀλίγον, ξένε, καί μ' ἐλέησον,
νηπίαχον κούρην ἐν χθονὶ κρυπτομένην·
τέτρατόν ἐστιν ἐμοὶ ζωῆς ἔτος, ἥ μ' ἀνέθρεψεν
θάψ . . . .

327.

Στὰς ξένε, τάνδ' ἄθρησον ἐπὶ στάλᾳ Κλεοπάτραν,
ἂν φθόνος εἰς Ἀΐδαν, οὐ χρόνος ἠγάγετο,
μορφᾶς ᾇ πρωτεῖον ἔχειν δωρήσατο Κύπρις,
ἔργα δ' Ἀθαναία τερπνὰ σαοφροσύνας,
Μοῦσα δὲ καὶ σοφίαν, καὶ πακτίδα τὰν φιλέραστον
συμφωνεῖν ἐρατοῖς δειξαμένα μέλεσι·
καὶ γνοὺς ὡς θνατοῖς οὐδὲν γλυκερώτερον αὐγᾶς,
ζῆθι κάλων τείνας οὔριον εὐφροσύνᾳ.

* * *

εἰ καί σου κεύθει κάλλος νέον, ὦ Κλεοπάτρα,
τύμβος, καὶ φροῦδον σῶμα λέλογχε κόνις,
ἀλλ' ἀρετὰ βιοτᾶς αἰεὶ ζωοῖσι μέτεστι,
ψυχᾶς μανύουσ' εὐκλέα σωφροσύναν.

328.

Στῆσεν Ἀχείριστος στήλην μεγακυδέσιν ἀστοῖς,
πατρὸς τοὔνομ' ἔχων, δημόθεν Εὐπυρίδης,

---

Nr. 326. V. 2. ενυθον. Poc. V. 3. ηιλανεθρευσεν. Ib.

ἐκπρεπέως ἀέθλοισιν ἐπασκήσας καὶ ἐφήβοις,
καὶ στεφάνου κῦδος μοῦνος ἐνεγκάμενος.

329.

Σώφρονα Κρησκεντῖναν ἔχων τάφος ἐνθάδε κεύθω,
τὴν πάσης ἀρετῆς κῦδος ἐνεγκαμένην,
ἥτις ἐνὶ ζωοῖσιν ὅκως ἀνέτελλεν Ἑῷος,
νῦν δύνει δ' ὑπὸ γῆν Ἕσπερος ἐν φθιμένοις.

330.

Τάσδ' ὀστρειογραφεῖς καὶ χρυσελεφαντηλέκτρους
ἀσπίδας ἀσπιδίοις εἵλομεν εὐτελέσιν.

331.

Τάφον τὸν ὄντα πλησίον, βωμόν θ' ἅμα
ἔτευξα κατὰ γῆς Κλαυδία, ἡ καὶ Δεχάς,
Ἀθηνίωνι γλυκυτάτῳ καὶ φιλτάτῳ
ἁγνῷ γενομένῳ συμβίῳ, μνήμης χάριν.

332.

Τέρμα βίου τελέσας * πλισταειος ἐνθάδε κεῖμαι,
ἀσκήσας * * * εἶδος ὑποκρίσεως,

---

Nr. 331. V. 4. ἀγόνῳ. alii. Nr. 332. V. 1. παστλσιος. al. πλεῖστ' αἰνετός. Br. Fort. πᾶσιν φίλος. V. 2. τραγικῆς inserunt. Fort. πάσης.

ὀκτωκαίδεκ' ἔτη ζήσας Ἀσκληπιόδωρος,
Γῆς ὢν πρόσθε γόνος μητέρα Γαῖαν ἔχω.

333.

Τέρπεο καὶ σκηνῆς πολυγηθέος ἔκτοθι μίμνων,
Μεσσαλινοῦ κλεινοῖς ἔργμασιν ἡδόμενος,
οἷς θεάτρου κύκλον περιώσιον ἐξεσάωσε·
πανδαμάτωρ δὲ χρόνος εἶξεν ἀρηγοσύνῃ.

334.

ἐπί τινος ἔργου ἐπιγεγραμμένον ἐν Πυθοῖ.

Τεῦξ' Ἑλικὼν Ἀκεσᾶ Σαλαμίνιος, ᾧ ἐνὶ χερσὶ
πότνια θεσπεσίην Παλλὰς ἔτευξε χάριν.

335.

Τῇδε Ἀλεξάνδρεια κόρη πρόπολος Διονύσου,
κιστοφόρος τε θεᾶς Νειλώτιδος Ἴσιδος ἁγνῆς,
εἴκοσι δὶς πλήσασα χρόνον κεῖται λυκαβάντων.

336.

Τήνδε πόλιν τὸ πάροιθεν ἀγακλειτήν περ ἐοῦσαν,
τείχεσι μαρμαίρουσαν ἐϋστεφάνοις ἐνὶ πύργοις,
καὶ χάρισιν βρύουσαν ὅσαι πτολίεθρ' ὄνε...
εὔστοον, εὐρυάγυιαν, ἐΰδρομον, εὐλοίτειραν,

[τὴν] ἀλὶ περιμάχητον, ἰδὲ χθονὶ πουλυβοτείρῃ,
χεὶρ ὀλοοῖο χρόνοιο διέσπασεν, ἠΰτε νεβρὸν
πόρδαλις ἄγρια ....... ἔβαλλε δέ μιν κατὰ γαίης,
γρηΐ δ' ἐθήκατό μιν πάντ' εἴκελον ἰσχνοπαρείῳ,
κάλλος ἀμαλδύνασα καὶ ἀγλαΐην ἐρατεινήν·
ἀλλὰ Ῥώμης κοίρανος ὁπλότερος Ἰωάννης,
παῖς Δουκοφύτων ἐρικυδῶν βασιλήων,
οἰκτείρας μογέουσαν ἀποφθιμένην τ' ἐλεαίρων,
γῆρας ἀπέξεσεν, ἠδ' ἀκμῆτα τεύξατο γυῖα,
πυκνά τε ..... παρῆα, καὶ ἄψεα λυγρὰ τονώσας,
θήκατο κουριδίην ἀπὸ γρηὸς πενταχορώνου·
τόνδε τε καὶ βασίλειαν, ἄνα χθονὸς ἠδὲ πόλοιο,
κάλλιμον, εὐπατέρειαν, ἐπήρατον, εἶδος ἀρίστην,
ὄψιν ἐπιείκελον Χαρίτεσσιν λευκοπαρείοις,
φυήν θ' ὑψικόμοισιν ἐϊσκομένην κυπαρίττοις,
θείης ἐς λυκάβαντας ἀπειρεσίους συνανάσσειν.

337.

Τὴν Διὸς ἀμφίπολόν με Χελιδόνα, τὴν ἐπὶ βωμοῖς
σπένδειν ἀθανάτων γρηῢν ἐπισταμένην,
εὔτεκνον, ἀστονάχητον, ἔχει τάφος· οὐ γὰρ ἀμαυρῶς
δαίμονες ἡμετέρην ἔβλεπον εὐσεβίην.

---

Nr. 336. V. 7. Fort. ἀγριόθυμος. V. 10. Fort. ἀλλ' ἄρα Ῥώμης. V. 11. Fort. παῖς ὢν Δ. εὐρυκλειτῶν β. V. 13. Fort. τετεύξατο. c. Chandl. V. 14. Fort. πυκνά τε θεὶς τὰ παρ. aut πυκνώσας cum Buttmanno.

Digitized by Google

338.

Τὴν κυανῶπιν Μοῦσαν, ἀηδόνα τὴν μελίγηρυν,
λιτὸς ὕδ' ἐξαπίνης τύμβος ἄναυδον ἔχει,
καὶ κεῖται, λίθος ὥς, ἡ πάνσοφος, ἡ περίβωτος.
Μοῦσα καλή, κούφη σοὶ κόνις ἥδε πέλοι.

339.

Τὴν σεμνῶς ζήσασαν, ἀμώμητόν τε σύνευνον,
Παυλῖναν φθιμένην ἐννέα καὶ δέκ' ἐτῶν
Ἀνδρώνικος ἰητρὸς ἀνήρ, μνήμην ἁγιάζων,
τήνδε πανυστατίην στήσατο μαρτυρίην.

340.

Τὴν σὴν εὔνοιαν καὶ πίστιν, Φαῖδρε, λαλοῦντες
ἐν βιοτῆς μέτροις οὔ ποτε παυσόμεθα.

341.

Τὴν τρίβον ὃς παράγεις, ἄν πως τόδε σῆμα νοήσῃς,
μή, δέομαι, γελάσῃς, εἰ κυνός ἐστι τάφος.
ἐκλαύσθην· χεῖρες δὲ κόνιν συνέθηκαν ἄνακτος,
ὅς μου καὶ στήλῃ τόνδ' ἐχάραξε λόγον.

342.

ἐπὶ τῷ Λαΐδος τάφῳ παρὰ τῷ Πηνειῷ.

Τῆσδέ ποθ' ἡ μεγάλαυχος, ἀνίκητός τε πρὸς ἀλκὴν
Ἑλλὰς ἐδουλώθη κάλλεος ἰσοθέου,

---

Nr. 339. V. 3. ατινσων. Mur. Nr. 340. V. 1. καλουντες. Poc.

Λαΐδος, ἣν τέκνωσεν Ἔρως, θρέψεν δὲ Κόρινθος·
κεῖται δ' ἐν κλεινοῖς Θετταλικοῖς πεδίοις.

343.

αἴνιγμα. περὶ τῆς σκιᾶς.

Τῆς φύσεως ὅσα γαῖα φέρει τροφός, οὐδ' ὅσα πόντος,
οὔτε βροτοῖσιν ἔχει γυίων αὔξησιν ὁμοίαν.
ἀλλ' ἐν μὲν γενέσει πρωτοσπόρῳ ἐστὶ μεγίστη·
ἐν δὲ μέσαις ἀκμαῖς μικρά· γήρᾳ δὲ πρὸς αὐτῷ
μορφῇ καὶ μεγέθει μείζων πάλιν ἐστὶν ἁπάντων.

344.

Τηνώτῳ τόδε σᾶμα τὸ λάϊνον ὤπασ' ὁ δᾶμος,
ὅς ποκ' ἐν ἀμφιάλῳ πρᾶτος * * Ἰθάκᾳ,
καὶ βουλᾷ καὶ χερσὶν ἐς Ἄρεα· παιδὶ δὲ τιμὰν
ἔλλιπε, καὶ κτῆσιν καὶ κλέος ἀθάνατον.

345.

Τίκτε Τύχη, σπεῖρέν τε Σεραπιακὸς ταχύποτμος,
ἄμφω θηλυτέρην παῖδα Σεραπιάδα·
κεῖμαι δ' ἑξαέτις, τύμβον δέ μοι, ὅς μ' ἀτίτηλε,
τεῦξεν, νικήσας πάντας ἐπ' εὐσεβίῃ,
κλεινὸς ἐν ἀνθρώποισι, Δομεστικός, ὅς μ' ἔτι τυτθὴν
οὖσαν δουλοσύνης ἐξάγαγεν στυγερῆς.

---

Nr. 344. V. 2. ενετιιθακαι. Poc. ἔγεντ' Ἰθ. Buttm. Fort. ἔην. V. 3. τιμεαι δε παιδι. Poc.

346.

Τιμῆς ἄρχοντος λογίου χάριν ἐστήσαντο
βουλὴ καὶ βασιλεῖς τὸν σοφὸν Εὐσέβιον.

347.

Τιμόθεος φιλίας τε χάριν, σύνεσίν τε προτιμῶν
Ἰσοκράτους, εἰκὼ τήνδ' ἀνέθηκε θεαῖς.

348.

α. Τίς ἦν σ' ὁ θρέψας; β. ἦν Κίλιξ Ἀθήναιος.
α. χρηστὸν τὸ θρέμμα, τίς καλῇ; β. Νουμήνιος.
α. πόσων δὲ θνήσκεις τῶν ἐτῶν; β. δὶς εἴκοσιν.
α. ἐχρῆν σ' ἔτι ζῆν. β. ἀλλὰ καὶ θανεῖν ἐχρῆν.
α. γενναιά σου καὶ χαῖρε. β. καὶ σύ γ', ὦ ξένε.
σοὶ γὰρ μέτεστιν ἔτι χαρᾶς, ἡμῖν δ' ἅλις.

349.

Τίς μου τὴν Σειρῆνα κακῶς κακὸς ἥρπασε δαίμων;
τίς μου τὴν γλυκερὴν ἥρπασ' ἀηδονίδα;
νυκτὶ μιῇ ψυχραῖσιν ἄφαρ σταγόνεσσι λυθεῖσα
ὤλεο Μοῦσ', ἐτάκη δ' ὄμματ' ἐκεῖνα σέο,
καὶ στόμα πέφρακται τὸ χρύσεον· οὐδὲν ἔτ' ἐν σοὶ
λείψανον, οὐ κάλλους, οὐ σοφίης πέλεται.
ἔῤῥετε μέρμηραι θυμαλγέες· ἄμμοροι ἐσθλῆς
ἐλπίδος ἄνθρωποι· πάντα δ' ἄδηλα Τύχης.

---

Nr. 348. V. 5. Fort. γενναῖα φάσκεις.

350.

Τοῖα παθόντ', οἶμαι, καὶ Τάνταλον αἴθοπος ἰοῦ
μηδαμὰ κοιμίσσαι διψαλέην ὀδύνην.
καὶ Δαναοῖο κόρας τοῖον πίθον οὐκ ἀναπλῆσαι,
αἰὲν ἐπαντλούσας ὑδροφόρῳ καμάτῳ.

351.

Τόνδ' ἀρετῇ προὔχοντα νέων, φίλον ἀθανάτοισι,
μουσοπόλον Φιλότιμον, ὁμώνυμον υἱέα πατρί,
Σύμφορος ἐσθλὸν ἑταῖρον ἀνέστησεν συνέφηβος,
πίστιν καὶ ζώοντι φέρων, μνήμην τε θανόντι.

352.

Τόνδε τοι ἀμβροσίοισιν ἐπὶ πλοκάμοισιν ἔθηκε
κεῖσθαι, Λατοΐδα, χρυσοφαῆ στέφανον,
ὃν πόρεν, Αἰνεαδᾶν ταγὸς μέγας. ἀλλ' Ἑκάεργε
ἀλκᾶς τῷ θείῳ κῦδος ὄπαζε Τίτῳ.

353.

Τὸν Διὸς Ἀλκμήνης τε γόνον τιμαῖσιν ἀέξων
υἱὸς Λασθενέος στῆσεν ἄγαλμα τόδε,
μνήμην ἀθάνατον σώζων πατρός τε καὶ αὐτοῦ
Λαφανέος, κλεινῷ Λοξίου ἐν τεμένει.

Digitized by Google

354.

Τὸν πάσης ἀρετῆς εἰδήμονα φῶτα, Φίλιππον,
πρέσβυν, κ' Ἀονίης ἐμπέραμον σοφίης,
Αὐσονίων Ὕπατον, πατέρα κλυτὸν Ἀντιγόνοιο,
θρέψε Μακηδονίη, δέξατο δ' Ἰταλίη.

355.

Τὸν πινυτὸν κατὰ πάντα, καὶ ἔξοχον ἐν πολιήταις
ἀνέρα, γηραλέου τέρματ' ἔχοντα βίου,
Ἀΐδεω μυχίοιο μέλας ὑπεδέξατο κόλπος,
εὐσεβέων θ' ὁσίην εὔνασεν ἐς κλισίην·
μνῆμα δ' ἀποφθιμένοιο παρὰ τρηχεῖαν ἀταρπὸν
τοῦτο πάϊς κεδνῇ τεῦξε σὺν εὐνέτιδι.
ξεῖνε, σὺ δ' ἀείσας Δημοκλέος υἱέα χαίρειν,
Δημοκλέος στείχοις ἀβλαβὲς ἴχνος ἔχων.

356.

Τὸν σοφίῃ προὔχοντα, καὶ εὐτεκνίης ἀροτῆρα,
τὸν πατέρ' ἡμέτερον πολλοῖσι χρόνοις γεγαῶτα,
τὸν τρὶς ἀριστεύσαντα, σὺν ἐντίμοισι φίλοισιν
Εὐτόνιοι παῖδες πατέρ' Εὐτόνιον τεθνεῶτα
πολλάκις ὑμνήσωμεν ἐνὶ στήλαισι γραφέντα.

---

Nr. 355. V. 7. σὺ δ' ἄρ' εἴπας. corr. Wakef.

357.

Τὸ τετράπλευρον θαῦμα τῶν μεταρσίων,
χρόνῳ φθαρέν, νῦν Κωνσταντῖνος δεσπότης,
ὁ Ῥωμανοῦ παῖς, δόξα τῆς σκηπτουχίας,
κρεῖττον νεουργεῖ τῆς πάλαι θεωρίας.
ὁ γὰρ Κολοσσὸς θάμβος ἦν ἐν τῇ Ῥόδῳ,
καὶ χαλκὸς οὗτος θάμβος ἐστὶν ἐνθάδε.

358.

Τοῦδ' ἀρετὰ καὶ δόξα καθ' Ἑλλάδα, πολλὰ μὲν ἀλκαῖς,
πολλὰ δὲ καὶ βουλαῖς ἔργα πονησαμένου,
Ἀρκάδος αἰχμητᾶ Φιλοποίμενος, ᾧ μέγα κῦδος
ἕσπετ' ἐνὶ πολέμῳ, δούρατος ἁγεμόνι·
μανύει δὲ τρόπαια τετυγμένα δισσὰ τυράννων
Σπάρτας· αὐξαμέναν δ' ἄρατο δουλοσύναν.
ὧν ἕνεκεν Τεγέα μεγαλόφρονα Κραύγιδος υἱὸν
στᾶσεν ἀμωμήτου κράντορ' ἐλευθερίας.

359.

ἐπὶ τοῦ μνήματος Θρασυμάχου τοῦ σοφιστοῦ ἐν Χαλκηδόνι.

Τοὔνομα Θῆτα Ῥῶ Ἄλφα Σὰν Ὗ Μῦ Ἄλφα Χὶ Οὖ Σάν·
πατρὶς Χαλκηδών· ἡ δὲ τέχνη, σοφίη.

360.

εἰς τὴν ἰατρικὴν βίβλον Παύλου Αἰγινήτου.

Τοὔνομά μοι Παῦλος, πατρὶς Αἴγινα· πολλὰ μογήσας,
πᾶσαν ἀκεστορίην βίβλον ἔτευξα μίαν.

361.

Τοῦ πολυκώθωνος τοῦτ᾽ ἠρίον Ἀρκαδίωνος,
ἄστεος ὤρθωσαν τᾷδε παρ᾽ ἀτραπιτῷ
υἷηες Δόρκων καὶ Χαρμύλος· ἔφθιτο δ᾽ ὤνήρ,
ἄνθρωπ᾽, ἐκ χανδῆς ζωροποτῶν κύλικος.

362.

εἰς τὰς ἀπὸ Φυλῆς τὸν Ἀθηναίων δῆμον καταγαγόντας.

Τούσδ᾽ ἀρετῆς ἕνεκα στεφάνοις ἐγέραιρε παλαίχθων
δῆμος Ἀθηναίων, οἵ ποτε τοὺς ἀδίκοις
θεσμοῖς ἄρξαντας πρῶτοι πόλεως καταπαύειν
ἦρξαν, κίνδυνον σώμασιν ἀράμενοι.

363.

Τούσδε θανόντας ἔχει ξείνους τάφος, οἳ περὶ Δῆλον
μαρνάμενοι ψυχὰς ὤλεσαν ἐν πελάγει,
τὴν ἱερὰν ὅτε νῆσον Ἀθηναῖοι κεράϊζον
κοινὸν ἄρη βασιλεῖ Καππαδόκων θέμενοι.

Nr. 361. V. 3. ἔφθη ὁ δ᾽ ὠνήρ. Cod. Venet. V. 4. ἐκ ζωρῆς χανδοποτῶν. corr. Schneider.

364.

Τούςδε ποτὲ φθιμένους ὑπὲρ Ἑλλάδος ἀντία Μήδων
μητρόπολις Λοκρῶν κεύθει ὁμοῦ Ὀπόεις.

365.

Τοῦτον ὃν εἰςοράας τύπον ὄρθιον Ἀντωνίνου
Δωρόθεος Πτελέῃ θήκατο κρυπτόμενον.

366.

Τρεῖς γραμμὰς ἐπὶ πέντε τομαῖς εὑρὼν ἑλικώδεις
Περσεύς, τῶνδ᾽ ἕνεκεν δαίμονας ἱλάσατο.

367.

Τύμβον ὁρᾷς, παροδῖτα, περικλειτῆς Ῥοδογούνης,
ἣν κτάνεν οὐχ ὁσίως λάεσι δεινὸς ἀνήρ·
κλαῦσε δὲ καὶ τάρχυσ᾽ Ἀβιάνιος ἣν παράκοιτιν,
καὶ βαιὴν στήλῃ τῇδ᾽ ἀπέδωκε χάριν.

Ὄνομα τὸ πρίν με πᾶς ἔκλησεν Ἐπαγαθώ·
νῦν δὲ Ῥοδογούνην Βασιλίδος τὸ ἐπώνυμον.

368.

Τύμβος μὲν κρύπτει με τὸν ἐν κόλποισι τραφέντα,
οὔνομα μὲν Πτολεμαῖον· ὁ γεννήσας δὲ Σέλευκος.

Nr. 364. V. 2. κεύθει ὅλων Ὀπ. corr. Heringa. Nr. 367. V. 3. τάρχυσε Λιβάνιος. Br.

πενταετὴς δ' ἱκόμην Ἀίδος δόμον· οἱ δὲ γονεῖς με
μύρονται κενεαῖς ἐλπίσι τειρόμενοι.
ὦ γονέες, τί μάτην κενεῷ προςψύχετε τύμβῳ;
Μοιρῶν γὰρ κλωστῆρι τέλος βιότοιο τέτυκται.

369.

Τύμβος ὅδε κρύπτει κούρης σεμνῆς καὶ ἀμέμπτου
σῶμα κατοιχομένης περικαλλέος, ἧς ἐπιγείων
παρθενικὴν ζώνην οὔ τις ἔλυσε βροτῶν.

370.

Τῷ Διῒ τ' Ἀχαιοὶ τὰ ἀγάλματα ταῦτ' ἀνέθηκαν,
ἔγγονοι ἀντιθέου Ταντα λίδα Πέλοπος.

* * *

Πολλὰ μὲν ἄλλα σοφοῦ ποιήματα, καὶ τόδ' Ὀνατᾶ
ἔργον, ἐν Αἰγίνῃ τὸν τέκε παῖδα Μίκων.

371.

Τῶνδ' ἱερογλώσσων Κλυτιδᾶν γένος εὔχομαι εἶναι,
μάντις ἀπ' ἰσοθέων αἷμα Μελαμποδιδᾶν.

372.

Ὑβλαίῳ κήρυκι τόδ' Ἀρχία, Εὐκλέος υἱῷ,
δέξαι ἄγαλμ' εὔφρων, Φοῖβ', ἐπ' ἀπημοσύνῃ,

Digitized by Google

ὃς τρὶς ἐκήρυξεν τὸν Ὀλυμπίᾳ αὐτὸς ἀγῶνα,
οὔτ᾽ ὑποσαλπίζων, οὔτ᾽ ἀναδείγματ᾽ ἔχων.

373.

Ὕδατα κηραίνοντα βλέπεις, ξένε, τῶν ἄπο χερσὶ
λουτρὰ μὲν ἀνθρώποις ἀβλαβῆ ἐστιν ἔχειν·
ἢν δὲ βάλῃς κοίλης ποτὶ νηδύος ἀγλαὸν ὕδωρ,
ἄκρα μόνον δολιχοῦ χείλεος ἀψάμενος,
αὐτῆμαρ πριστῆρες ἐπὶ χθονὶ δαιτὸς ὀδόντες
πίπτουσιν, γενύων ὀρφανὰ θέντες ἕδη.

374.

Υἱὸς Δινύττα Δάμαρχος τήνδ᾽ ἀνέθηκεν
εἰκόν᾽ ἀπ᾽ Ἀρκαδίας Παῤῥάσιος γενεάν.

375.

Υἱὸς ἐγὼ γενόμην Ἀγαπωμένου, ᾧ με μιγεῖσα
Κουῖντα τέκεν θαλερὴ Ῥηγίῳ ἐν διερῷ·
ἐνδυκέως δὲ τρέφοντες Ἀτίμητόν μ᾽ ἐκάλεσσαν.
δῶρα δὲ Μουσάων καὶ βρέφος ὢν ἀγάπων.
δωδεκετὴς ἦλθον Ῥώμην, φίλε, τῆς με καλύπτει
ἥδε νέον βῶλος, πατρὶ λιπόντ᾽ ἄχεα.

---

Nr. 372. V. 3. Ὀλυμπίας. Vulgo. Nr. 373. V. 1. ὕδατα ταῦτα βλ. φοβερά. Br.

376.

Ὑπνώδης Φίλιος, Κύπριος γένος ἐκ Σαλαμῖνος,
υἱὸς * δυςτονρεν, ἄπλοκον εἶδεν ὄναρ,
Θεσμοφόρους σεμνὰς ποτνίας ἐν φάρεσι λευκοῖς·
ὄψεσι δ' ἐν τρισσαῖς ἥρωα τόνδε σέβειν
ἤνωγον πόλεως φύλακον, χῶρόν τ' ἀπέδειξαν·
ὧν ἕνεκ' ἵδρυσεν τόνδε θεὸν Φίλιος.

377.

Φαιδρὸν ἑταῖρον Ἔρωτος ὁρᾷς, σειρῆνα θεάτρων,
τόνδε Μένανδρον, ἀεὶ κρᾶτα πυκαζόμενον,
οὕνεκ' ἄρ' ἀνθρώπους ἱλαρὸν βίον ἐξεδίδαξεν,
ἡδύνας σκηνὴν δράμασι πᾶσι γάμων.

378.

Φαιστίδος ἦν μητρὸς καὶ Νικομάχου γενετῆρος
τῶν Ἀσκληπιαδῶν δῖος Ἀριστοτέλης.

379.

Φεύγετε τοξοφόρον τοῦτον τὸν Ἔρωτα· τιτρώσκει,
καὶ τούτου περάει σώματα πάντα βέλη.

---

Nr. 376. V. 2. υἱὸς Ἀριστονόου. Br. V. 3. τε αγνας. Chandl.
Nr. 377. V. 3. ἐξεδίδαξα. Al.

380.

Φιλήτῳ τόδε σῆμα κατοιχομένῳ συνομεύνῳ
'Αβασκαντὶς γαμετή, μνημοσύνης ἕνεκεν.

381.

Φλαβιανῷ ἥρωϊ πατὴρ Δῶρος τόδε σῆμα,
ἓξ ἐπὶ τοῖς δέκ' ἔτη μοῦνα βιωσαμένῳ.
Μοῖρα γὰρ Αἰολίδος πάτρης ἀπάνευθε Μυρίνης
θάψε τε, καὶ Μουσῶν εὖνιν ἔθηκ' ἀρετῆς.

382.

Φοῖβε ἄναξ, δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις, σὺ δ' ἐμοὶ κλέος αἰὲν ὀπάζοις.

383.

Φλῶρος Καικιλίου Στάκτης θ' ἅμα δεῦρ' ὑπόκειται,
ἐξ ἄλλου τύμβου δεύτερα κλαιόμενος,
ἓξ ἐτέων ὥρης, ὀλίγον δέμας, ἀλλὰ τέλειον,
τοῖς θρεπτῆρσι λιπὼν ἡλικίης ἔλεον.
[δεύτερα] δ' οὐκ ἄκλαυτον ἔχων τάφον· οὐδὲ γὰρ ἔνθα
φείσαντο, προτέρων μνησάμενοι δακρύων.
δειλαῖαι τροφέων κεῖναι χέρες, αἳ συνέλεξαν
τὴν ὀλίγην σποδιὴν οὐκ ὀλίγης ὀδύνης.

---

Nr. 381. V. 3. αργολιδος. Grut. Nr. 383. V. 4. οσ.... ηρσιν λειπων. Gor.

384.

α. Φράζε τίνος γονέος, σέο τ' οὔνομα, καὶ πόσιν αὔδα,
καὶ χρόνον εἰπέ, γύναι, καὶ πόλεως ὅθεν εἶ.
β. Νίκανδρος γενέτωρ, πατρὶς Πάρος, οὔνομα δ' ἦν μοι
Σωκρατέα· φθιμένην Παρμενίων δ' ἔθετο
σύλλεκτρος τύμβῳ με· χάριν δέ μοι ὤπασε τήνδε,
εὐδόξου ζωᾶς μνῆμα καὶ ἐσσομένοις.
καί με πικρὰ νεαροῖο βρέφους ἀφύλακτος ἐριννὺς
αἱμορύτοιο νόσου τερπνὸν ἔλυσε βίον.
οὐθ' ὑπ' ἐμαῖς ὠδῖσι τὸ νήπιον ἐς φάος ἦγον,
ἀλλ' ὑπὸ γαστρὶ φίλα κεύθεται ἐν φθιμένοις.
τρισσᾶς ἐκ δεκάδος δὲ πρὸς ἓξ ἐτέων χρόνον ἦλθον,
ἀνδρὶ λιποῦσα τέκνων ἀρσενόπαιδα γονάν·
δισσὰ δὲ πατρὶ λιποῦσα καὶ ἱμερτῷ συνομεύνῳ,
αὐτὰ ὑπὸ τριτάτῳ τόνδε λέλογχα τόπον.
α. ἀλλὰ σὺ παμβασίλεια θεά, πολυώνυμε Κούρα,
τήνδ' ἄγ' ἐπ' εὐσεβέων χῶρον, ἔχουσα χερός.
β. τοῖς δὲ παρερχομένοισι θεὸς τέρψιν τινὰ δώη,
εἴπασιν χαίρειν Σωκρατέαν κατὰ γῆς.

385.

Χαίρετ' Ἀριστείδου τοῦ ῥήτορος ἑπτὰ μαθηταί,
τέσσαρες οἱ τοῖχοι, καὶ τρία συψέλια.

---

Nr. 384. V. 7. Fort. χἠμέτερον νεαροῖο βρ. τ' ἀφύλακτος.

386.

*Ἐπὶ τῇ εἰκόνι Αἰτωλοῦ ἐν Θερμοῖς τῆς Αἰτωλίας.*

Χώρης οἰκιστῆρα, παρ᾽ Ἀλφειοῦ ποτὲ δίναις
θρεφθέντα, σταδίων γείτον᾽ Ὀλυμπιάδος,
Ἐνδυμίωνος παῖδ᾽ Αἰτωλὸν τόνδ᾽ ἀνέθηκαν
Αἰτωλοί, σφετέρας μνῆμ᾽ ἀρετῆς ἐσορᾷν.

387.

Ψυχρὸν ὕδωρ δοίη σοι ἄναξ ἐνέρων Ἀϊδωνεύς,
ὦ Μέλαν, ἥβης γάρ σοι ἀπώλετο φίλτατον ἄνθος.

388.

Ὧδ᾽ Ἐπάφου γέννημα σοφοῖς ἐπιείκελος ἀνήρ,
κεῖμαι, Ῥωμαίων σπέρμα πολυκτεάνων,
κληζόμενος Δέκιμος Σερουΐλιος, εἰς ἔτη ἐλθὼν
ἐννέα που δεκάδων καὶ τρία, ὡς ἔλεγον.

389.

Ὠκυδρόμας Λύκος Ἴσθμι᾽ ἅπαξ, δύο δ᾽ ἐνθάδε νίκαις
Φειδώλα παίδων ἐστεφάνωσε δόμους.

390.

Ὦ Λίνε, πάντα θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν
ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σ᾽ ἐθρήνεον αὐταὶ
μυρόμεναι μολπῆσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς.

Digitized by Google

# ΕΠΙΓΡΑΜΜΑΤΑ ΤΙΝΑ ΤΩΝ ΤΩΙ ΚΟΛΟΣΣΩΙ ΤΟΥ ΜΕΜΝΟΝΟΣ ΕΓΓΕΓΡΑΜΜΕΝΩΝ.

391.

Ἔθραυσε Καμβύσης με τόνδε τὸν λίθον,
βασιλέως ἐῴου εἰκόν᾽ ἐκμεμαγμένον.
φωνὴ δ᾽ ὀδυρμὸς ἦν πάλαι μοι, Μέμνονος
τὰ πάθη γοῶσα, ἣν ἀφεῖλε Καμβύσης.
ἄναρθρα δὴ νῦν κἀσαφῆ τὰ φθέγματα
ὀλοφύρομαι, τῆς πρόσθε λείψανον τύχης.

392.

Ἔκλυον αὐδήσαντος ἐγὼ Πόβλιος Βαλβῖνος
φωνὰς τὰς θείας Μέμνονος ἢ Φαμενώφ.
ἦλθον ὁμοῦ δ᾽ ἐρατᾷ βασιληΐδι τῇδε Σαβίνᾳ·
ὥρας δὲ πρώτας ἅλιος ἦρχε δρόμου.
κοιράνου Ἀδριανοῦ πέμπτῳ δεκάτῳ τ᾽ ἐνιαυτῷ·
φῶτα δ᾽ ἔχεσκεν Ἄθυρ εἴκοσι καὶ πίσυρα.
εἰκοστῷ πέμπτῳ δ᾽ ἄματι μηνὸς Ἄθυρ.

393.

Αὐτὸς καὶ γεραρῶ ᾽γὼ Μέμνονα Τιθωνοῖο,
Θηβαίας θάσσοντ᾽ ἄντα Διὸς πόλιος.
ἡδυμελῶς δ᾽ ἄειδ᾽, Αἰγύπτιοι ὡς ἐνέπουσιν
ἱρῆες μύθων παμπαλαίων ἴδριες.

394.

Μέμνονα πυνθανόμαν Αἰγύπτιον ἀλίῳ ἄσαι
    ἀμπόλιν Ἀμμωνίην Θηβαϊκῶν πρὸ πυλῶν·
Ἀδριανὸν δ' ἐσιδὼν τὸν παμβασιλῆ ὁ πρὶν ἄσας
    ἀελίῳ, χαίρειν εἶπ', ἔπος ὀξύτονον·
Τιτὰν δ' ὡς ἐλάων λευκοῖσι δι' αἰθέρος ἵπποις
    τεῖλε, καὶ Ὡράων ἕσπερον ἧκε μέτρον,
ἔσχασε βολοτυπῆς θείην Μέμνων πάλιν αὐδὰν
    ὀξύτονον· χαίρων δ' αὖ τρίτον ἁρμονίην
Κοίρανος Ἀδριανὸς μάλ' ἐσάϊε· τοσσάκι καὐτὸς
    Μέμνονα * * * *

Digitized by Google

Digitized by Google

[672]

24.

Λεῦσσέ με τὸν λυδις ἐδράσαντα,
μηδὲ τρέσῃς, εια.
τᾶμος ἐγὼ γὰρ
πάντα δὲ Γᾶς
ἑρπετά, πάνθ᾽

380.

Φιλήτῳ τόδε σῆμα κατοιχομένῳ συνομεύνῳ
'Αβασκαντὶς γαμετή, μνημοσύνης ἕνεκεν.

381.

Φλαβιανῷ ἥρωϊ πατὴρ Δῶρος τόδε σῆμα,
ἓξ ἐπὶ τοῖς δέκ' ἔτη μοῦνα βιωσαμένῳ.
Μοῖρα γὰρ Αἰολίδος πάτρης ἀπάνευθε Μυρίνης
θάψε τε, καὶ Μουσῶν εὖνιν ἔθηκ' ἀρετῆς.

382.

Φοῖβε ἄναξ, δῶρόν τοι Ὅμηρος καλὸν ἔδωκα
σῇσιν ἐπιφροσύναις, σὺ δ' ἐμοὶ κλέος αἰὲν ὀπάζοις.

383.

Φλῶρος Καικιλίου Στάκτης θ' ἅμα δεῦρ' ὑπόκειται,
ἐξ ἄλλου τύμβου δεύτερα κλαιόμενος,
ἓξ ἐτέων ὥρης, ὀλίγον δέμας, ἀλλὰ τέλειον,
τοῖς θρεπτῆρσι λιπὼν ἡλικίης ἔλεον.
[δεύτερα] δ' οὐκ ἄκλαυτον ἔχων τάφον· οὐδὲ γὰρ ἔνθα
φείσαντο, προτέρων μνησάμενοι δακρύων.
δειλαῖαι τροφέων κεῖναι χέρες, αἳ συνέλεξαν
τὴν ὀλίγην σποδιὴν οὐκ ὀλίγης ὀδύνης.

---

Nr. 381. V. 3. αργολιδος. Grut. Nr. 383. V. 4. ος . . . . . ηρσιν λειπων. Gor.

384.

α. Φράζε τίνος γονέος, σέο τ' οὔνομα, καὶ πόσιν αὔδα,
καὶ χρόνον εἰπέ, γύναι, καὶ πόλεως ὅθεν εἶ.
β. Νίκανδρος γενέτωρ, πατρὶς Πάρος, οὔνομα δ' ἦν μοι
Σωκρατέα· φθιμένην Παρμενίων δ' ἔθετο
σύλλεκτρος τύμβῳ με· χάριν δέ μοι ὤπασε τήνδε,
εὐδόξου ζωᾶς μνῆμα καὶ ἐσσομένοις.
καί με πικρὰ νεαροῖο βρέφους ἀφύλακτος ἐριννὺς
αἱμορύτοιο νόσου τερπνὸν ἔλυσε βίον.
οὐδ' ὑπ' ἐμαῖς ὠδῖσι τὸ νήπιον ἐς φάος ἦγον,
ἀλλ' ὑπὸ γαστρὶ φίλᾳ κεύθεται ἐν φθιμένοις.
τρισσᾶς ἐκ δεκάδος δὲ πρὸς ἓξ ἐτέων χρόνον ἦλθον,
ἀνδρὶ λιποῦσα τέκνων ἀρσενόπαιδα γονάν·
δισσὰ δὲ πατρὶ λιποῦσα καὶ ἱμερτῷ συνομεύνῳ,
αὐτὰ ὑπὸ τριτάτῳ τόνδε λέλογχα τόπον.
α. ἀλλὰ σὺ παμβασίλεια θεά, πολυώνυμε Κούρα,
τήνδ' ἄγ' ἐπ' εὐσεβέων χῶρον, ἔχουσα χερός.
β. τοῖς δὲ παρερχομένοισι θεὸς τέρψιν τινὰ δώη,
εἴπασιν χαίρειν Σωκρατέαν κατὰ γῆς.

385.

Χαίρετ' Ἀριστείδου τοῦ ῥήτορος ἑπτὰ μαθηταί,
τέσσαρες οἱ τοῖχοι, καὶ τρία συψέλια.

---

Nr. 384. V. 7. Fort. χἡμέτερον νεαροῖο βρ. τ' ἀφύλακτος.

386.

Ἐπὶ τῇ εἰκόνι Αἰτωλοῦ ἐν Θερμοῖς τῆς Αἰτωλίας.

Χώρης οἰκιστῆρα, παρ᾽ Ἀλφειοῦ ποτὲ δίναις
θρεφθέντα, σταδίων γείτον᾽ Ὀλυμπιάδος,
Ἐνδυμίωνος παῖδ᾽ Αἰτωλὸν τόνδ᾽ ἀνέθηκαν
Αἰτωλοί, σφετέρας μνῆμ᾽ ἀρετῆς ἐσορᾷν.

387.

Ψυχρὸν ὕδωρ δοίη σοι ἄναξ ἐνέρων Ἀϊδωνεύς,
ὦ Μέλαν, ἥβης γάρ σοι ἀπώλετο φίλτατον ἄνθος.

388.

Ὧδ᾽ Ἐπάφου γέννημα σοφοῖς ἐπιείκελος ἀνήρ,
κεῖμαι, Ῥωμαίων σπέρμα πολυκτεάνων,
κληζόμενος Δέκιμος Σερουΐλιος, εἰς ἔτη ἐλθὼν
ἐννέα που δεκάδων καὶ τρία, ὡς ἔλεγον.

389.

Ὠκυδρόμας Λύκος Ἴσθμι᾽ ἅπαξ, δύο δ᾽ ἐνθάδε νίκαις
Φειδώλα παίδων ἐστεφάνωσε δόμους.

390.

Ὦ Λίνε, πάντα θεοῖσι τετιμένε, σοὶ γὰρ ἔδωκαν
ἀθάνατοι πρώτῳ μέλος ἀνθρώποισιν ἀείδειν
ἐν ποδὶ δεξιτερῷ· Μοῦσαι δέ σ᾽ ἐθρήνεον αὐταὶ
μυρόμεναι μολπῇσιν, ἐπεὶ λίπες ἡλίου αὐγάς.

# ΕΠΙΓΡΑΜΜΑΤΑ ΤΙΝΑ ΤΩΝ ΤΩΙ ΚΟΛΟΣΣΩΙ ΤΟΥ ΜΕΜΝΟΝΟΣ ΕΓΓΕΓΡΑΜΜΕΝΩΝ.

391.

Ἔθραυσε Καμβύσης με τόνδε τὸν λίθον,
βασιλέως ἑῴου εἰκόν᾽ ἐκμεμαγμένον.
φωνὴ δ᾽ ὀδυρμὸς ἦν πάλαι μοι, Μέμνονος
τὰ πάθη γοῶσα, ἣν ἀφεῖλε Καμβύσης.
ἄναρθρα δὴ νῦν κάσαφῆ τὰ φθέγματα
ὀλοφύρομαι, τῆς πρόσθε λείψανον τύχης.

392.

Ἔκλυον αὐδήσαντος ἐγὼ Πόβλιος Βαλβῖνος
φωνὰς τὰς θείας Μέμνονος ἢ Φαμενώφ.
ἦλθον ὁμοῦ δ᾽ ἐρατᾷ βασιληΐδι τῇδε Σαβίνᾳ·
ὥρας δὲ πρώτας ἅλιος ἦρχε δρόμου.
κοιράνου Ἀδριανοῦ πέμπτῳ δεκάτῳ τ᾽ ἐνιαυτῷ·
φῶτα δ᾽ ἔχεσκεν Ἄθυρ εἴκοσι καὶ πίσυρα.
εἰκοστῷ πέμπτῳ δ᾽ ἄματι μηνὸς Ἄθυρ.

393.

Αὐτὸς καὶ γεραρῶ ᾽γὼ Μέμνονα Τιθωνοῖο,
Θηβαίας θάσσοντ᾽ ἄντα Διὸς πόλιος.
ἡδυμελῶς δ᾽ ἄειδ᾽, Αἰγύπτιοι ὡς ἐνέπουσιν
ἱρῆες μύθων παμπαλαίων ἴδριες.

Digitized by Google

394.

Μέμνονα πυνθανόμαν Αἰγύπτιον ἁλίῳ ᾄσαι
　　ἀμπόλιν Ἀμμωνίην Θηβαϊκῶν πρὸ πυλῶν·
Ἀδριανὸν δ' ἐσιδὼν τὸν παμβασιλῆ ὁ πρὶν ᾄσας
　　ἀελίῳ, χαίρειν εἶπ', ἔπος ὀξύτονον·
Τιτὰν δ' ὡς ἐλάων λευκοῖσι δι' αἰθέρος ἵπποις
　　τεῖλε, καὶ Ὡράων ἕσπερον ἧκε μέτρον,
ἔσχασε βολοτυπῆς θείην Μέμνων πάλιν αὐδὰν
　　ὀξύτονον· χαίρων δ' αὖ τρίτον ἁρμονίην
Κοίρανος Ἀδριανὸς μάλ' ἐσάϊε· τοσσάκι καὐτὸς
　　Μέμνονα * * * *

Digitized by Google

Digitized by Google

21. Λ

Λεῦσσέ με τὸν ιλυδις ἐδράσαντα,
μηδὲ τρέσῃς, εια.
τᾶμος ἐγὼ γὰρ
πάντα δὲ Γᾶς
ἑρπετά, πάνθ'

Digitized by Google

rdine legi debent:

σύνας ἦρα τίνων Ἀθάνα
οτεύκτων κατέριψεν αἶπος,
ῳ πόλιν ἠθάλωσεν
ϑεμέϑλων ἄνακτας,
χοις Ἀχαιῶν,
όμιζε δυςκλής·
λευϑον,
Παλλάς.
ῶ
ς.

Digitized by Google

Digitized by Google

Digitized by Google